Greca

Hermogenis ars rhetorica.

Callimachi hymni cũ scholijs

Sententię ex diuersis

Herodiani historiarum libri 8.

Universitäts- und
Landesbibliothek Düsseldorf

Nº 106

Universitäts- und
Landesbibliothek Düsseldorf

...inspecta ei i kar...
...nos i adoptione filio...
...ppositu voluntat...
...sue. in q gratificavit
...q habem redemptio...
...ne peccator. sedm
...habundavit i n...
...dentia. in nota...
...tatis sue. sedm
...it i eo. i dispens...
...u instaurare omn...
...s. i ipso; i q etiā sor...
...sedm ppositu...
...ū voluntatis
...q ante speravim...
...tis ubū veritat...
...credentes signati...
...pigns hereditat...
...mus in laude glo...
...fide uram que...
...ois scos n ce...
...ies et faciens...

Universitäts- und
Landesbibliothek Düsseldorf

...q sapientes nos faciunt ac revelatos ...

...pientie · et revelationis

...ntos oculos cordis uri...

...s vocationis eius · que di...

...a in sanctis · et que sit sup...

...irtutis eius in nos qui credi...

...potentie virtutis eius · qu...

...s illum a mortuis · et c...

...am in celestibus super omne...

...tatem · et virtutem · et dn...

...r nominatur · non solum in h...

... et omnia subiecit sub pe...

...put super omnem eccl...

...lenitudo eius · qui omnia in o...

...eu cum essetis mortui delic...

... aliquando ambulastis ...

...secundum principem potestatis

...filios diffidentie · in q...

...ersati sumus in desider...

...voluntatem carnis · et ...

...natura filii ire · sicut et c...

...iam propter nimiam kar...

...cum essemus mortui pecc...

...o · cuius gratia estis salu...

Universitäts- und
Landesbibliothek Düsseldorf

C. Longolij codex

# ΕΡΜΟΓΕΝΟΥΣ

ΤΕΧΝΗ ΡΗΤΟΡΙΚΗ ΤΕΛΕΙΟΤΑΤΗ.

# HERMOGENIS

ARS RHETORICA ABSOLVTISSIMA.

KOENIGL: BIBLIOTHEK ZU DUSSELDORF



PARISIIS
EXCVDEBAT CHRISTIANVS
*Wechelus sub scuto Basiliensi in uico
Iacobæo anno*
1530.

Universitäts- und
Landesbibliothek Düsseldorf

20 Scr. Gr. 106 [1-4]
2 Be
V316

# ΕΡΜΟΓΕΝΟΥΣ ΤΕΧΝΗ ΡΗΤΟΡΙΚΗ.

## ΠΕΡΙ ΤΩΝ ΣΤΑΣΕΩΝ.

Πολλῶν ὄντων καὶ μεγάλων, ἃ τὴν ῥητορικὴν συνίστησι καὶ τέχνην ποιεῖ, καταληφθέντα τε ἐξ ἀρχῆς δηλαδὴ, καὶ συγγυμνασθέντα τῷ χρόνῳ, σαφῆ τε τὴν ὠφέλειαν παρεχόμενα τῷ βίῳ, κἂν ταῖς βουλαῖς, κἂν τοῖς δικαστηρίοις, καὶ πανταχοῦ, μέγιστον εἶναί μοι δοκεῖ τὸ περὶ διαιρέσεως αὐτῶν καὶ ἀποδείξεως, λέγω δὴ οὐ τὴν ἀπὸ τῶν γενῶν εἰς εἴδη, καὶ ἀπὸ τῶν ὅλων εἰς μέρη (μικρὸν μὲν γὰρ οὐδὲ τοῦτο μέρος ῥητορικῆς, ἀλλ᾽ οὐ περὶ τούτων νυνί) περὶ δὲ τῆς τῶν πολιτικῶν ζητημάτων διαιρέσεως εἰς τὰ λεγόμενα κεφάλαια, ὁ λόγος γινέσθω. ἔστι δὲ ὁ αὐτὸς σχεδὸν τῷ περὶ εὑρέσεως, πλὴν ὅσον οὐ πάντα ἔχει τὰ περὶ εὑρέσεως. καὶ πρῶτόν γε ὅ, τι ἐστὶ πολιτικὸν ζήτημα, ῥητέον. [margin: Ciuilis quaestio.] ἔστι τοίνυν ἀμφισβήτησις [above the line: controuersia] λογικὴ ἐπὶ μέρους, ἐκ τῶν παρ᾽ ἑκάστοις κειμένων νόμων, ἢ ἐθῶν περὶ τοῦ νομισθέντος δικαίου, ἢ τοῦ καλοῦ, ἢ τοῦ συμφέροντος, ἢ καὶ πάντων ἅμα, ἢ τινῶν. τὸ γὰρ ὡς ἀληθῶς τε καὶ καθόλου καλὸν, ἢ συμφέρον, ἢ τὰ τοιαῦτα ζητεῖν, οὐ ῥητορικῆς, τὴν δὲ ἀμφισβήτησιν ταύτην ἀνάγκη περί τε πρόσωπα γίνεσθαι καὶ πράγματα, ὧν πλείστη διαφορὰ, ἣν τοῖς ἐπιγνοῦσι ῥᾴδιον ἤδη τὰς διαιρέσεις συνιδεῖν, τὰς εἰς τὰ κεφάλαια τῶν ζητημάτων, καὶ ὅσα ὅλως διαιρεθῆναι δύναται. τῶν οὖν προσώπων, τὰ μὲν ἔξεστιν οἷα καὶ [margin: Personarum diuisio] δύναται ἐξετάζεσθαι, τὰ δὲ οὔ, τόπον δὲ ἄλλως ἐπέχει προσώπου. τῶν δ᾽ αὖ ἐξεταζομένων ἰσχυροτάτην μὲν ἔχει δύ-

ναμιν, τὰ ὡρισμένα καὶ κύρια, οἷον ὁ Περικλῆς, ὁ Δημοσθένης, καὶ τὰ τοιαῦτα. Δευτέραν δὲ τὰ πρός τι, οἷον πατήρ, υἱός, δοῦλος, δεσπότης. Τρίτην τὰ διαβεβλημένα, οἷον ἄσωτοι, μοιχοί, κόλακες. Τετάρτην τὰ ἠθικά, οἷον γεωργοί, λίχνοι, καὶ τὰ ὅμοια. Πέμπτην τὰ κατὰ συμπλοκὴν δύο προσηγοριῶν, οἷον νέος πλούσιος. τούτων γὰρ ἑκάτερον ἰδίᾳ μὲν σμικρόν, ἢ οὐδὲν ἰσχύει· συμπλακέντα δὲ εἰς ἓν ἄμφω, δύναται κρίσιν ἀναδέξασθαι. Ἕκτην τὰ κατὰ συμπλοκὴν προσώπου καὶ πράγματος, οἷον μειράκιον καλλωπιζόμενον φεύγει πορνείας. Ἑβδόμην τὰ ἁπλᾶ προσηγορικά, οἷον στρατηγός, ῥήτωρ. ταυτὶ δὲ δῆλον μὲν ὡς καὶ καθ' ἓν ἐμπίπτει τοῖς ζητήμασι, καὶ κατὰ πλείονα· αὐτίκα ὁ Δημοσθένης καὶ πατὴρ ἦν δήπου, καὶ ῥήτωρ, καὶ πρεσβευτής. ἤδη δὲ καὶ στρατιώτης. ὅθεν καὶ μείζονα ἔχει δύναμιν τὰ ὡρισμένα καὶ κύρια. ἀλλὰ δεῖ περὶ ἑκάστου τῆς δυνάμεως ἰδίᾳ γνόντα χρῆσθαι, ὡς ἂν ὁ καιρὸς διδῷ. τὰ μὲν οὖν ἐξεταζόμενα τῶν προσώπων ταῦτα. καὶ δεῖ τοῖς ἐγκωμιαστικοῖς ἀκολουθοῦντα τόποις, χρῆσθαι τοῖς ἐμπίπτουσι. οὐκ ἐπιδέχεται δὲ ἐξέτασιν τά τε ἀόριστα, οἷον τὸ, τὶς, καὶ τὰ ἰσάζοντα δι' ὅλου, οἷον δύο νέοι πλούσιοι εἰ ἐπὶ τῷ κρίνοιεν ἀλλήλους. ὃ γὰρ ἄν τις εἴποι κατὰ τοῦ ἑτέρου, ἔσται τοῦτο καὶ κατὰ τοῦ ἑτέρου.

*Negotiorum diuisio*

Ὥσπερ δὲ τῶν προσώπων, οὕτω καὶ τῶν πραγμάτων ἐστὶ διαφορά. καὶ ἰσχυρότατα μὲν ἐξέτασιν ἐπιδέχεται ταῦτα, ἐφ' οἷς τις αὐτὸς ὡς ποιήσας κρίνεται, ὡς ὁ θάπτων τὸ νεοσφαγὲς σῶμα ἐν ἐρημίᾳ, καὶ φωραθείς, καὶ φόνου φεύγων. Δευτέραν δὲ ὅταν ἑτέρου πράξαντος ἄντικρυς εἰς αὐτὸν ἀναφέρηται τὸ κρινόμενον, οἷον, τρισαριστέως εἰκόνα ἔστησαν οἱ πολέμιοι, καὶ προδοσίας κρίνεται. Τρίτην ἃ μεταξὺ τούτων ἐστίν, οἷον, ἔγραψεν ὁ Περικλῆς εἰς φ

φ. Hoc exemplum [illegible] Trapezuntius. ut si Archidamus Lacedaemoniorum dux [illegible]

Δέον

Δέον ἀνηλωκέναι πεντήκοντα τάλαντα, καὶ ἀρχίδαμος δώρων φεύγει. τὸ γὰρ τῶν πεντήκοντα ταλάντων ἀναφέρεται μὲν ἄντικρυς εἰς αὐτὸν οὐδαμῶς, διὰ δὲ τὰ ἄλλα καὶ τοῦτο ἐνδέχεται ἐξετασθῆναι, ὡς ἀναφερόμενον. ἀπέοικε δὲ οὐδὲν τοῦ ζητήματος τούτου καὶ ὁ ἄσωτος, ὁ ἐπὶ τῷ πατρὶ ἀφανεῖ γενομένῳ φόνου φεύγων. καὶ οὐκ ἀγνοῶ γε ὡς ᾠήθησάν τινες μὴ εἶναι ἐνταῦθα τὸ πρᾶγμα κρινόμενον· θαυμάζω δὲ εἰ μὴ κρινομένου πράγματος αἰτίαν τις ἀποδώσει, καὶ τὸ λεγόμενον χρῶμα. ἀπολογήσεται δ' οἶμαι ὁ ἄσωτος, καὶ ἐρεῖ τι. πρᾶγμα δὲ οὐ κρίνεται κατά γε ἐμὲ τὸ ἐξισάζον μόνον. οἷον, πένης καὶ πλούσιος ἑκάτεροι ὡραίας ἔχοντες γυναῖκας κατὰ ταυτὸν ἄμφω πεφωράκασιν ἀλλήλους ἐξιόντας ἐκ τῶν ἀλλήλων οἰκιῶν, καὶ μοιχείας ἀλλήλοις ἀντεγκαλοῦσιν. ἐνταῦθα γὰρ τὰ μὲν πρόσωπα διαλλάττοντα ἐπιδέχεται ἐξέτασιν, τὰ πράγματα δὲ οὔ, διὰ τὸ ἰσάζειν. μετὰ ταῦτα τοίνυν ἐστὶν ἐξ αὐτῶν ἐπιγνῶναι τά τε συνεστῶτα καὶ διαιρεῖσθαι δυνάμενα τῶν ζητημάτων, καὶ ὅσα μὴ συνέστηκε. τὰ μὲν γὰρ ἤτοι ἄμφω καὶ πρόσωπον ἔχοντα, καὶ πρᾶγμα κρινόμενον, ἢ τὸ ἕτερόν γε πάντως, καὶ τοὺς ἐξ ἑκατέρου μέρους λόγους σὺν τῷ πιθανῷ διαφόρους τε καὶ ταῖς πίστεσιν ἰσχυρούς, ἔτι τε ὅπερ ἐστὶ παρὰ τοῖς δικασταῖς, τὸ τῆς κρίσεως ἀφανὲς καὶ μὴ προειλημμένον τῇ κρίσει, δυνάμενόν τε πέρας λαβεῖν συνέστηκε, τὰ δ' οὑτινοσοῦν τούτων ἐνδεᾶ, ἀσύστατά εἰσι. εἰρήσεται δὲ καὶ κατ' εἶδος. καὶ πρῶτόν γε ἀσυστάτων εἶδος τὸ μονομερές, ὧν τὰ τῶν λόγων μὴ ἑκατέρωθεν ἰσχυρά. οἷον πορνοβοσκὸς δέκα νέους κωμάζοντας ἐπὶ τὴν οἰκίαν αὐτοῦ ὄρυγμα ποιήσας ὑποδεξάμενος ἀπέκτεινε, καὶ φεύγει φόνου. Δεύτερον, τὸ ἰσάζον διόλου, οἷον δύο νέοι

λικῶν, καὶ μηδενὸς πρὶν ἢ ἐπανελθεῖν τοὺς διαφυγόντας τῶν Περσῶν. ἔστι δὲ ἐν τούτοις καὶ τὸ προειλημμένον τῇ κρίσει. οἷον, μηδενὸς ἐπιγνῶναι δυναμένου τὴν ἀναίρεσιν, τὴν ἐπὶ τὸν τύραννον, ἔδειξε γυνή τις τῷ ἑαυτῆς ἀνδρί· ὁ δὲ ἀνελθὼν ἀπέκτεινεν ἐκεῖνον, καὶ μοιχείας αὐτῇ ἐγκαλεῖ. θαυμάζω γὰρ εἴ τις αὐτῆς καταψηφιεῖται, κἂν ἐλεγχθῇ μεμοιχευμένη, δι' ἣν ὁ τύραννος ἀνῄρηται. τάχα δὲ ἂν καὶ παρὰ ταῦτα εἴδη τινὰ εὑρεθείη ἄλλα τοιαῦτα. καὶ περὶ μὲν τῶν ἀσυστάτων τοσαῦτα. ἀλλὰ περί γε τῆς τῶν συνεστώτων διαιρέσεως ἤδη λεκτέον. εἴδους γὰρ ἕνεκα καὶ προβλημάτων καὶ τρόπου, περίεργον ἂν εἴη λέγειν ἐν τῷ παρόντι. τὰ μὲν γὰρ εἴδη καὶ τοὺς τρόπους διὰ τοῦτο μανθάνομεν δήπου, ἵνα ταῖς οἰκείαις ἰδέαις τῶν λόγων χρώμενοι, τὰ προβλήματα μελετῶμεν. οἷον δικανικῶς, τὸ δικανικόν· καὶ συμβουλευτικῶς, τὸ συμβουλευτικόν· καὶ πανηγυρικῶς, τὸ ἐπιδεικτικόν, καὶ ἕκαστον, ὡς προσήκει προσφόρως τοῖς ὑποκειμένοις. τοὺς δὲ μήπω περὶ ψιλῆς διαιρέσεως τῆς εἰς τὰ λεγόμενα κεφάλαια τῶν ζητημάτων ἐπεσκεμμένους, μηδὲ αὐτὸ τοῦτο δή, τὰς λεγομένας στάσεις τῶν προβλημάτων εἰδότας, ἀμήχανον δήπου τῶν προειρημένων τι καλῶς γινώσκειν. διδάσκειν οὖν πρό γε ἐκείνων τὸν περὶ ἰδεῶν λόγον, πάντη ἀνόητον. ἄλλως τε κἂν ἐπιχειρήσωμεν τι λέγειν νυνὶ περὶ αὐτῶν, πλείων ἂν ἡμῖν ὁ τοῦ παρέργου λόγος, ἢ ὁ τοῦ ἔργου γένοιτ' ἄν. πραγματείας γὰρ ἰδίας καὶ οὐ σμικρᾶς, εἰ μὴ τῆς μεγίστης καὶ τελεωτάτης δεῖται ὁ περί τε τῶν ἰδεῶν τοῦ λόγου καὶ τῆς χρήσεως αὐτῶν ἑκάστης λόγος. νῦν οὖν περὶ ἐκείνης τῆς διαιρέσεως λεκτέον, τῆς εἰς τὰ κεφάλαια.

διαιρέσει τοίνυν ὀρθῶς ὁ τήν τε διαφορὰν καὶ τὴν δύναμιν τῶν τε προσώπων, καὶ τῶν πραγμάτων, καὶ ἔτι τὴν λεγομένην

στάσιν

Praeiudicatum

Consistens.

Status

στάσιν ἐπιγνῶναι τοῦ ζητήματος, ὅθεν μὲν ἡ εἰρημένη στάσις εἴτε ἀπὸ τοῦ στασιάζειν τοὺς ἀγωνιζομένους, εἴτε ὅθεν οὖν ἑτέροις ἐξετάζειν παρίημι· ὄνομα δὲ ἀφεὶς εἶναι τοῦτο κοινὸν ἢ τὸ συμβεβηκὸς τῶν ζητημάτων ἁπάντων, ὅπως τοῦτο ἐπιγνωσόμεθα, τὴν μέθοδον ἐνταυθοῖ προθεὶς, ποιήσομαι τὴν ἀρχὴν τῆς διαιρέσεως τῶν κεφαλαίων ἀπὸ τοῦ στοχασμοῦ ἀναγκαίως, ὡς αὐτὸς δηλώσει. ἐφεξῆς δὲ καὶ περὶ τῶν ἄλλων λελέξεται. ἡ δ' οὖν μέθοδός ἐστιν ἥδε.

## ΔΙΑΙΡΕΣΙΣ ΤΩΝ ΣΤΑΣΕΩΝ.

Coniectura.

Παντὸς τοίνυν ὁσουοῦν προτεθέντος ζητήματος εἰ συνεστήκει, ἐπισκοπεῖν δεῖ τὸ κρινόμενον, εἰ ἀφανές ἐστιν ἢ φανερόν· κἂν μὲν ἀφανὲς ᾖ, στοχασμὸς ἔσται. ἔστι δὲ στοχασμὸς ἀδήλου πράγματος ἔλεγχος οὐσιώδης, ἀπό τινος φανεροῦ σημείου, ἢ ἀπὸ τῆς περὶ τὸ πρόσωπον ὑποψίας. οἷον πεφώραταί τις θάπτων νεοσφαγὲς σῶμα ἐπ' ἐρημίας, καὶ φόνου φεύγει. ἀπὸ γὰρ τοῦ θάπτειν φανεροῦ ὄντος, ἀφανές τι πρᾶγμα ζητοῦμεν οὐσιωδῶς, τὸ, τίς ὁ φονεύσας. ἂν δὲ ᾖ φανερὸν τὸ κρινόμενον, πάλιν ἐπισκεπτέον, εἰ τέλειόν ἐστιν ἢ ἀτελές. λέγω δὲ ἀτελὲς, ᾧ προστεθέντος τινὸς ὡς λείποντος, ὄνομά τε εὐθὺς γίνεται καὶ οὐκ ἔτι ἔχει ζήτησιν οὐδεμίαν τὸ πρᾶγμα. ἂν γὰρ ᾖ τοιοῦτον, ὁρικὴν ποιεῖ τὴν στάσιν. ἔστι γὰρ στάσις ὁρικὴ, ὀνόματος ζήτησις περὶ πράγματος, οὗ τὸ μὲν πέπρακται, τὸ δὲ λείπει πρὸς αὐτοτέλειαν τοῦ ὀνόματος. οἷον ἐξ ἱεροῦ ἰδιωτικά τις ὑφείλετο χρήματα· νόμου κελεύοντος τὸν μὲν ἱερόσυλον τεθνάναι, τὸν δὲ κλέπτην διπλᾶ διδόναι, ὡς ἱερόσυλος ὑπάγεται, ὁ δὲ, κλέπτης εἶναι λέγει. ἐὰν γὰρ προστεθῇ τὸ, καὶ ἱερὰ εἶναι τὰ χρήματα, σαφὴς

~~finitio~~ Status finitiuus

γεοῦτος

γε οὗτος ἱερόσυλος, καὶ οὐκ ἔτι ἔχει τὸ πρᾶγμα ζήτησιν. ἂν μέντοι φανερὸν ᾖ τὸ τέλειον τὸ κρινόμενον, ἡ ζήτησις περὶ τὴν ποιότητα τοῦ πράγματος ἵσταται. οἷον εἰ δίκαιον, εἰ συμφέρον, εἰ ἔννομον, ἤ τι τῶν τούτοις ἐναντίων. καὶ ὄνομα μὲν γενικὸν τούτῳ, ποιότης. ἤτοι δὲ περί τι πρᾶγμα ἔχει τὴν ζήτησιν, ἢ περὶ ῥητόν. κἂν μὲν περὶ ῥητόν, νομικὴν ποιεῖ τὴν στάσιν, περὶ ὧν ὕστερον ἐροῦμεν. ἂν δὲ περὶ πρᾶγμα, λογικήν. Διαιρήσεις δὲ καὶ τοῦτο δίχα. Qualitas

ἢ γὰρ περὶ μέλλοντος πράγματος ἔχει τὴν ζήτησιν, ἢ περί τινος ἤδη γεγονότος. κἂν μὲν περὶ μέλλοντος, ἔσται πραγματική. πραγματικὴ γάρ ἐστιν ἀμφισβήτησις περὶ πράγματος μέλλοντος, εἰ δεῖ γενέσθαι τόδε τι, ἢ μὴ γενέσθαι. δοῦναι ἢ μὴ δοῦναι. οἷον, βουλεύονται Ἀθηναῖοι, εἰ χρὴ θάπτειν τοὺς ἐν Μαραθῶνι πεσόντας τῶν βαρβάρων. ἂν μέντοι πεπραγμένον ᾖ περὶ οὗ ἡ κρίσις ἤδη, κοινὸν μὲν ὄνομα τούτῳ δικαιολογία, ὥσπερ ἐκείνῳ ποιότης. πάλιν δὲ αὖ καὶ τοῦτο διαιρήσεις δίχα. ἢ γὰρ ἐρεῖ τι πεποιηκέναι, ὡς ἀδίκημα ὁ φεύγων καὶ κατά τι κεκωλυμένον, ἢ οὔ. κἂν μὲν μηδαμῶς φάσκῃ κεκωλῦσθαι τὸ πεπραγμένον, ἀντίληψιν ποιεῖ. Negotialis status πραγματική

Ἔστι γὰρ ἀντίληψις ἀνευθύνου πράγματος εἶναι δοκοῦντος, ὡς ὑπευθύνου κατηγορία. οἷον γεωργὸς φιλοσοφοῦντα τὸν υἱὸν ἀποκηρύσσει. ἐὰν δὲ ὁμολογῇ τι πεποιηκέναι, ὡς ἀδίκημα, ὄνομα μὲν πάλιν γενικὸν τούτῳ ἀντίθεσις. Διαιρήσομεν δὲ οὕτω καὶ τοῦτο. ἤτοι γὰρ εἰς ἑαυτὸν ἀναδέχεται πᾶν ὁ φεύγων τὸ γεγονὸς, ἢ εἴς τι τῶν ἔξωθεν αὐτὸ μεθίστησι. κἂν μὲν εἰς ἑαυτὸν ἀναδέχεται, ποιεῖ ἀντίστασιν. ἀντίληψις

Compensatio sup. vit. Γίνεται γὰρ ἀντίστασις ὅταν ὁμολογῶν ὁ φεύγων πεποιηκέναι τι, ὡς ἀδίκημα, ἀντιστᾷ ἕτερόν τι εὐεργέτημα μεῖζον δι' αὐτοῦ τοῦ ἀδικήματος πεπραγμένον. ἂν δὲ εἴς τι τῶν ἔξωθεν, ἤτοι εἰς αὐτὸν τὸν παθόντα ἢ ἀντίστασις

εἰς ἄλλο τι. κἂν μὲν εἰς τὸν παθόντα, ποιεῖ ἀντέγκλημα. γίνεται γὰρ ἀντέγκλημα, ὅταν ὁμολογῶν ὁ φεύγων πεποιηκέναι τι ὡς ἀδίκημα, ἀντεγκαλῇ τῷ πεπονθότι, ὡς ἄξιον παθεῖν ἃ πέπονθεν. ἂν δὲ εἰς ἕτερόν τι μεθιστᾷ, πάλιν διαιρετέον. ἢ γὰρ εἰς ὑπεύθυνόν τι δυνάμενον γενέσθαι πρᾶγμα ἢ πρόσωπον, μεθίστησι τὸ ἔγκλημα, ὁμολογῶν τι πεποιηκέναι, ὡς ἀδίκημα, καὶ ποιεῖ μετάστασιν, ἢ ὡς οὐ δυνάμενον ὑπεύθυνον γενέσθαι, ἀνεύθυνον δὲ πάντη, καὶ πεποίηκε συγγνώμην. μεταστάσεως μὲν παράδειγμα ὁ πρεσβευτής, ὃν εἴσω τριάκοντα ἡμερῶν δέον ἐξιέναι λαβόντα παρὰ τοῦ ταμίου χιλίας δραχμὰς εἰς ἐφόδιον, μὴ λαβὼν, καὶ διὰ τοῦτο μὴ ἐξελθὼν, εἶτα κρινόμενος. συγγνώμης δὲ παράδειγμα οἱ δέκα στρατηγοὶ, οἱ διὰ τὸν χειμῶνα μὴ ἀνελόμενοι τὰ σώματα, καὶ κρινόμενοι. εἰ δέ τις ἡμῖν περὶ τούτων ἀμφισβητεῖ, συγγνώμης λέγω καὶ μεταστάσεως, ἀκριβέστερον ἐν τῷ περὶ ἀντιθέσεως λελέξεται. τὰς μὲν οὖν λογικὰς τῶν στάσεων ἐκ τούτων ἐπιγνωσόμεθα, τὰς δ᾽ αὖ νομικὰς οὕτω. πρῶτον μὲν περὶ ῥητὰ ἀνάγκη τὴν ζήτησιν ἐνταῦθα γίνεσθαι. ῥητὰ δὲ λέγω, οἷον νόμους, διαθήκας, ψηφίσματα, ἐπιστολὰς, κηρύγματα ὡρισμένα, πάντα ἁπλῶς τὰ ἐν ῥητοῖς. ταύτην δὲ τὴν ζήτησιν ἤτοι περὶ ἓν, ἢ καὶ πλείονα γίνεσθαι συμβαίνει ῥητά. λέγω δὲ πλείονα, κἂν ἕν τι ῥητὸν εἰς δύο μέρη διαιρῆται, καὶ μέρει μὲν ὁ ἕτερος, μέρει δὲ ὁ ἕτερος τῶν δικαζομένων χρώμενοι φαίνωνται. ἂν μὲν οὖν ἡ περὶ ἓν ῥητὸν ἡ ζήτησις ἤτοι περὶ τὰς τούτου διανοίας, καὶ μόνας ἢ καθ᾽ αὑτὸ θάτερον τῶν μερῶν, ῥητὸν καὶ διάνοια γίνεται. γίνεται δὲ ῥητὸν καὶ διάνοια, ὅταν τοῦ ἑτέρου τὸ ῥητὸν προβαλλομένου, καὶ ὡς ἐπὶ τὸ πλεῖστόν γε τοῦ διώκοντος, θατέρου δὲ μέρους χρῆται ταῖς διανοίαις. οἷον ξένος ἐπὶ τὸ τεῖχος ἐὰν ἀνέλθοι, τεθνάτω. πολιορκίας οὔ-

σης

σης ἀνελθὼν ὡς ἠρίστευσε, καὶ ὑπάγεται τῷ νόμῳ. ἢ τοῦτο μὲν οὐχί, τῷ ῥητῷ δὲ προστίθησί τι πρᾶγμα, εἰς ταυτὸν ἄγων τὸ ἄγραφον τῷ ἐγγράφῳ, καὶ ποιεῖ συλλογισμόν. ἔστι δὲ συλλογισμὸς, ἀγράφου πράγματος πρὸς ἔγγραφον παράθεσις, εἰς ταυτὸν συνάγοντός τινος τὸ ἄγραφον τῷ ἐγγράφῳ. οἷον τὸν δὲ ἑταίρας μὴ λέγειν, ἐκ πόρνου τινὰ γεγονότα λέγειν κωλύει τις. εἰ μέντοι περὶ δύο ῥητὰ ἢ καὶ πλείονα, ἢ καὶ ἓν εἰς δύο διαιρούμενον ἡ ζήτησις εἴη, ἀντινομία γίνεται. ἔστι γὰρ ἀντινομία, δύο ἢ καὶ πλειόνων ῥητῶν ἢ καὶ ἑνὸς διαιρουμένου μὴ φύσει ἐναντίων, κατὰ περίστασιν δὲ μάχη. καὶ ὅλως, διπλῆ τίς ἐστι ζήτησις, ῥητοῦ καὶ διανοίας. οἷον ὁ ἀποκήρυκτος μὴ μετεχέτω τῶν πατρῴων, καὶ ὁ ἐπιμείνας χειμαζομένῃ νηὶ δεσπότης ἔστω τῆς νεώς. ἀποκήρυκτος ἐπέμεινε χειμαζομένῃ νηὶ, καὶ εἴργεται αὐτῆς ὡς πατρῴας. τοῦ δὲ κατὰ διαίρεσιν ῥητοῦ, ποιοῦντος ἀντινομίαν, παράδειγμα τόδε. ἡ βιασθεῖσα ἢ γάμον ἢ θάνατον αἱρείσθω τοῦ βιασαμένου, δύο τις κατὰ ταυτὸν ἐβιάσατο κόρας, καὶ ἡ μὲν θάνατον αὐτοῦ, ἡ δὲ γάμον αἱρεῖται. ἡ μέντοι ἀμφιβολία καὶ ἀπ' αὐτοῦ τοῦ ὀνόματός ἐστι φανερά. ἔστι γὰρ ἀμφιβολία ἀμφισβήτησις περὶ ῥητὸν, ἐκ προσῳδίας ἢ διαστάσεως συλλαβῶν γινομένη. ἐκ μὲν προσῳδίας, οἷον ἑταίρα χρυσία εἰ φοροίη, δημοσία ἔστω. περιφώραταί τις φοροῦσα, καὶ ἡ μὲν τὰ χρυσία φησὶν εἶναι δημόσια, προπαροξυτόνως ἀναγινώσκουσα τὸν νόμον, οἱ δὲ, οὐ τὰ χρυσία, ἀλλ' αὐτὴν δημοσίαν εἶναι, παροξυτόνως ἀναγινώσκοντες: περὶ δὲ διάστασιν συλλαβῶν, οἷον. Δύο ἦσαν τῷ παῖδες, λέων καὶ πανταλέων, τελευτῶν διέθετο οὕτως. ἐχέτω τὰ ἐμὰ πάντα λέων, καὶ ἑκάτερος ἀντιποιεῖται πάντων. ὁ μὲν, ὑφ' ἓν ἀναγινώσκων πανταλέων, ὁ δὲ, διιστὰς πάντα, εἶτα λέων.

ταύτας μὲν οὖν οὕτως ἐπιγνωσόμεθα, τὴν δὲ μετάληψιν οὐκ ἔθ' ὁμοίως. ἀλλ' ὅταν ἡ ζήτησις ἡ περὶ τοῦ εἰ δεῖ τὸν ἀγῶνα εἰσελθεῖν. ἐν γὰρ τῇ μεταλήψει, οὔτε εἰ ἔσται τι, προηγουμένως ζητήσεις, καθάπερ ἐν στοχασμῷ, οὔτε τί ἐστι, καθάπερ ἐν ὅρῳ, οὔτε ὁποῖόν τί ἐστι ἐν τοῖς λοιποῖς. ἀλλ' αὐτὸ, εἰ δεῖ ζητῆσαί τι τούτων. παραγραφὴ γάρ ἐστι. Δύο δὲ αὐτῆς εἴδη. ἡ μὲν. γὰρ ἐστὶν ἔγγραφος, ἀπὸ ῥητοῦ τινος λαμβάνουσα τὴν ζήτησιν, ἡ δὲ ἄγραφος. καὶ ἡ μὲν ἔγγραφός ἐστιν ἀπαγωγὴ τῆς εὐθυδικίας, κατὰ παραγραφὴν ἀπὸ ῥητοῦ τινος, περὶ οὗ ἡ ζήτησις. οἷον δὶς περὶ τῶν αὐτῶν δίκας μὴ εἶναι. φόνου κρινόμενός τις ἀπέφυγεν. ὕστερον αὐτῷ χρωμένῳ ἀνεῖλεν ὁ θεὸς, ἀνδροφόνης οὐ χρῶ. καὶ πάλιν φεύγει. κατὰ ῥητὸν καὶ διάνοιαν ἡ πρώτη ἐξέτασις. εἶθ' ἑξῆς τὸ στοχαστικὸν εἰ ἐφόνευσέ που. ἡ δὲ ἄγραφός ἐστι μὲν ἀπαγωγὴ τῆς εὐθυδικίας καὶ αὐτὴ κατὰ παραγραφὴν ἀπὸ ῥητοῦ. τὴν ζήτησιν δὲ οὐ περὶ ῥητὸν ἔχει, ἀλλὰ περί τι τῶν περὶ τὸ πρᾶγμα, τόπον, ἢ χρόνον, ἢ πρόσωπον, ἢ αἰτίαν, ἢ τρόπον. ὅταν τὸ μὲν πρᾶγμα συγχωρῶμεν, ἓν δέ τι τούτων αἰτιώμεθα δή που λαμβάνοντες. οἷον ἐξῆν ἀποκτιννῦναι καὶ τὸν μοιχὸν καὶ τὴν μοιχευομένην. τὸν μοιχὸν ἀποκτείνας τις μόνον, χρόνῳ ὕστερον ἐπὶ τῷ τάφῳ τοῦ μοιχοῦ δακρύουσαν εὑρὼν, ἀπέκτεινε τὴν γυναῖκα, καὶ φόνου φεύγει. τὸν γὰρ τόπον ἐνταῦθα, καὶ τὸν χρόνον αἰτιώμεθα δήπουθεν. τὰς μὲν οὖν λεγομένας στάσεις οὕτως ἐπιγνωσόμεθα. περὶ δὲ τῆς καθ' ἑκάστην διαιρέσεως ἤδη λεκτέον. εἰδέναι μέντοι χρὴ ὡς τὰ περὶ στοχασμοῦ λεχθησόμενα, περὶ οὗ δὴ πρῶτον ἀναγκαίως λελέξεται, σχεδὸν εἰς ἅπαντα συντελεῖ τὰ μετὰ ταῦτα. διὸ καὶ εἰκότως μακρότερα ἔσται.

## ΠΕΡΙ ΣΤΟΧΑΣΜΟΥ.

Ὁ στοχασμὸς τοίνυν διαιρεῖται. ὅτε καὶ πρόσωπα ἔχοι καὶ πράγματα κρινόμενα. παραγραφικῷ ἐστιν, ὅτε ἐλέγχων ἀπαιτήσει, βουλήσει, δυνάμει, τοῖς ἀπ' ἀρχῆς ἄχρι τέλους, ἀντιλήψει, μεταλήψει, μεταθέσει αἰτίας, πιθανῇ ἀπολογίᾳ, ποιότητι κοινῇ, τὸ παραγραφικὸν γίνεται κατὰ τρόπους τέσσαρας. ἤτοι ἀπὸ τοῦ λείποντος, οἷον ἀσώτου πατὴρ ἀφανὴς γέγονε, καὶ φόνου φεύγει. ἀξιώσει γὰρ δεικνύναι πρῶτον εἰ ἀνῄρηται. ἢ ἀπὸ τοῦ ὑπερβάλλοντος, οἷον δέκα νέοι συνώμοσαν μὴ γῆμαι καὶ φεύγουσι κακοῦ βίου. ἕκαστος γὰρ αὐτῶν ἀξιώσει κρίνεσθαι ἰδίᾳ. ἢ ὅτι ἀφ' ὧν ἕτεροι πεποιήκασιν, οὐ δεῖ κρίνεσθαι. ὡς ὁ ἀριστεύς, οὗ εἰκόνα ἔστησαν οἱ πολέμιοι, καὶ προδοσίας φεύγων. ἢ κατὰ χρόνον, οἷον δειλοῦ παῖς ἠρίστευσε, καὶ μοιχείας κρίνει τὴν γυναῖκα. τοσούτοις γάρ φησιν ὕστερον χρόνοις μὴ δεῖν κρίνεσθαι. τοῦτο δὲ ἐπὶ μὲν ἑκατὸν ἐτῶν εἰ γίνοιτο, ἰσχυρόν ἐστι, καὶ τελεία γίνεται παραγραφή. ἄλλως δὲ ἀσθενὲς μέν ἐστι, συλλαμβάνει δ' οὖν σμικρὸν τῷ χρωμένῳ. τὸ δὲ ἐπὶ ἑκατὸν παράδειγμα, ὃ δή φαμεν τελείαν εἶναι μετάληψιν καὶ παραγραφήν, κριθείς τις φόνου ἀπέφυγεν, ὕστερον χρωμένῳ αὐτῷ, ὁ θεὸς, ἀνεῖλεν, ἀνδροφόνοις οὐ χρῶ, καὶ πάλιν φεύγει. δὶς δὲ περὶ τῶν αὐτῶν κωλύουσιν οἱ νόμοι κρίνεσθαι. παραγράφεται οὖν καὶ γίνεται τὸ πρῶτον ζήτημα νομικὸν ἐκ παραγραφῆς. ἡ τῶν ἐλέγχων ἀπαίτησις διπλῆ ἐστιν, ἢ γὰρ εἰσὶν οἱ μάρτυρες, ἢ οὔ. οἷον μνωμένῳ τινὶ κόρην, ἡ μήτηρ ἔφη τῆς κόρης θᾶττον τεθνήξεσθαι αὐτήν, ἢ ἐκείνῳ δοθήσεσθαι. ἀπέθανεν ἐν σημείοις φαρμάκων ἡ παῖς. εἶτα βασανίζων ὁ πατὴρ τὰς θεραπαινίδας, περὶ μὲν τῆς φαρ-

μακείας ἀκήκοε πλέον οὐδὲν, μοιχείαν δὲ τῆς γυναικὸς πρὸς τὸν μνηστῆρα. καὶ φαρμακείας κρίνει τὴν γυναῖκα. ἐνταῦθα γάρ εἰσιν οἱ μάρτυρες, αἱ θεραπαινίδες δηλονότι. οὔκουν ἀπαιτήσει τοὺς μάρτυρας, ἀλλὰ διαβαλεῖ, ὅτι μὴ δεῖ πιστεύειν. φύσει γὰρ ἐχθρὸν τὸ δοῦλον τοῖς δεσπόταις, καὶ ὅτι οὐδὲ τοὺς ἐλευθέρους πάντας ἀξιοπίστους ὑπολαμβάνοντες, σχολῇ γ' ἂν

Testiũ cõprobaº

τοῖς δούλοις πιστεύσαιμεν, καὶ πλεῖον δ' ἂν εὕροις. δεῖ δὲ καὶ ἀντιτιθέναι τοῖς μάρτυσι τοὺς μάρτυρας, πότεροι μᾶλλον ἀξιοπιστότεροι, καὶ ἀντεξετάζειν, ὡς ἐν τῷ κατὰ Κόνωνος ὁ Δημοσθένης. τοῦτο γάρ σοι καθόλου περὶ μαρτύρων ἔστω τεχνικὸν θεώρημα, ἢ διαβάλλειν αὐτούς, ὅτι πρὸς χάριν, ἢ δι' ἔχθραν, ἢ διά τινα οἰκειότητα αὐτοῖς μαρτυροῦσιν, ἢ διὰ κέρδος τι οἰκεῖον, ἢ διὰ τὸ μὴ εἶναι δι' ἡλικίαν ἀξιοπίστους. εἰ δὲ μὴ εἶεν μάρτυρες, ὁ μὲν φεύγων χρήσεται ἀπαιτῶν αὐτοὺς τοῖσδε. προσώπῳ, οἷον τίς ὁ δούς; πράγματι, οἷον τί δούς; τόπῳ, οἷον ποῦ; τρόπῳ, οἷον πῶς; χρόνῳ, οἷον πότε; αἰτίᾳ, οἷον διατί; καὶ τούτοις χρήσεται πᾶσιν ἢ τοῖς ἐμπίπτουσι· ὁ δὲ κατήγορος, ἀποφανεῖ διὰ τῶν πραγμάτων, ἔλεγχον ἀξιοπιστότερον τὸν διὰ τῶν μαρτύρων. οὔτε γὰρ πεπεισμένα τὰ πράγματα οὔτε χαριζόμενά τῳ λέξει, ὥσπερ οἱ μάρτυρες πολλάκις, ἀλλ' οἷά ἐστι φύσει, τοιαῦτα καὶ ἐξεταζόμενα φαίνεται. ἡ βούλησις καὶ ἡ δύναμις, ἀπὸ τῶν παρακολουθούντων τῷ προσώπῳ γίνεται, δηλονότι τῶν ἐγκωμιαστικῶν. καὶ ὅτε μὲν εἴη τὸ πρόσωπον ὡρισμένον, πάντα σχεδὸν ἐμπεσεῖται. εἰ δέ τι τῶν ἄλλων, κατὰ τὰ εὑρισκόμενα χρησόμεθα. οἷον νέος πλούσιος. ἔχει γὰρ ἐνταῦθα ἡλικίαν καὶ τύχην ἐξετάσαι, καὶ τὰ παρακολουθοῦντα τούτοις, τὰ ἐγκωμιαστικὰ δηλονότι. ἔστι δὲ τάδε γένος, ἀγωγή, παίδευσις, ἡλικία, φύσις ψυχῆς

σις ψυχῆς καὶ σώματος, ἐπιτηδεύματα, πράξεις, ὃ καὶ ἰσχυρότατον κεφάλαιον. τύχη, οἷον πλούσιος ἢ πένης, καὶ τὰ τοιαῦτα. ταῦτα δὲ ἔστιν ἀμφοῖν μὲν ἰσχύει ἀφ' ἑκατέρου μέρους ἐξεταζόμενα καὶ ἐπὶ τῆς βουλήσεως καὶ ἐπὶ τῆς δυνάμεως, μᾶλλον δέ τινα ἐν τῷ ἑτέρῳ. ὥσπερ γὰρ τὰ τῆς τύχης οἰκειότερά ἐστι τῆς δυνάμεως, οὕτω καὶ τὰ τῆς ἡλικίας, τῆς βουλήσεως. ὁρῶντα οὖν ταῦτα δεῖ πλεονάζειν ἔνθα ἂν μᾶλλον ἐικειούμενόν τι αὐτῶν φαίνηται. βούλησιν δὲ καὶ δύναμιν ἐξετάζειν οὐχὶ τῶν κρινομένων μόνων προσώπων δεῖ, ἀλλ' ὅσαπερ ἂν ἔχοι τὸ πρόβλημα. αὐτίκα τὸν τοὺς ἀποκηρύκτους τρέφοντα νέον πλούσιον, καὶ φεύγοντα τυραννίδος ἐπιθέσεως ὁ κρίνων, μάλιστα ἰσχύει τῆς ποιότητος τῶν ἀποκηρύκτων ἐξεταζομένης. διὸ δεῖ σκοπεῖν ἐν ἅπασι τοῖς στοχασμοῖς περὶ πάντων τῶν προσώπων, ἃ ἐπιδέχεται κρίσιν. τὰ ἀπ' ἀρχῆς ἄχρι τέλους ἐστὶ μὲν ὡς ἐπιτοπλεῖστον τοῦ κατηγόρου, γίνεται δὲ καὶ αὐξάνεται ἀφ' ὧνπερ καὶ ἡ τῶν ἐλέγχων ἀπαίτησις. ἔστι δὲ τάδε, τίς; τί; ποῦ; πῶς; πότε; διατί; κἂν μὲν ᾖ τοῦ κατηγόρου μόνου ταῦτα, τὰ ἑξῆς ἔσται κεφάλαια πάντα πλὴν τῆς μεταλήψεως τοῦ φεύγοντος. ὡς ἐγχωροίη πᾶσι χρῆσθαι. ἐὰν δὲ κοινὰ ᾖ τὰ ἀπ' ἀρχῆς ἄχρι τέλους, εὑρίσκεται γάρ ποτε καὶ οὕτως ἔχων στοχασμός, ἔσται καὶ τὰ λοιπὰ κεφάλαια κοινὰ ἀμφοῖν. παράδειγμα τοῦ κοινὰ ἔχοντος τὰ ἀπ' ἀρχῆς ἄχρι τέλους. ἀπέκειτο κατά τινος γραφὴ τυραννίδος ἐπιθέσεως, μετεώρου τῆς δίκης οὔσης, ὁ ἀδελφὸς αὐτοῦ ἀριστεύσας ᾔτησεν εἰς τὸ γέρας ἀναίρεσιν τῆς γραφῆς, καὶ ἔλαβεν. ἐτυράννησεν ἐκεῖνος, καὶ καθελὼν αὐτὸν, οὗτος συνεδότος φεύγει. τῇ μὲν γὰρ ἀναιρέσει τῆς γραφῆς καὶ τοῖς περὶ ταῦτα ὁ κατήγορος χρήσεται, τῷ δὲ ἀπεκτονέναι καὶ τοῖς περὶ τοῦτο ὁ

φεύγων,

Universitäts- und
Landesbibliothek Düsseldorf

φεύγων, καὶ δεῖ ἀμφοτέρους λῦσαι τὰ ἀλλήλων. μόνου δὲ τοῦ φεύγοντος γενέσθαι τὰ ἀπ᾽ ἀρχῆς ἄχρι τέλους ἀδύνατον. ἡ ἀντίληψις οὐκ ἀεὶ ἐμπίπτει, ἀλλ᾽ ἐὰν μὲν ἀφ᾽ ὧν αὐτὸς πεποίηκε κρίνηταί τις, πάντως ἐμπεσεῖται καὶ ἡ ἀντίληψις. ἐὰν δὲ ἀφ᾽ ὧν ἄλλοι, οὐκ ἔτι. ἔστι δὲ τοιοῦτον, οἷον ὅτι ἔξεστι καὶ οὐ κεκώλυται, παράδειγμα αὐτοῦ, νέος πλούσιος πάντας τοὺς ἀποκηρύκτους τρέφει, καὶ τυραννίδος ἐπιθέσεως φεύγει. ἐρεῖ γὰρ ὅτι ἔξεστι τρέφειν οὓς βούλεταί τις. ἡ μετάληψις ἀεὶ ἐναντία ἐστὶ τῇ ἀντιλήψει, οὐκ ἐν στοχασμῷ μόνον, ἀλλ᾽ ὅλως ἔνθα ἂν εὑρίσκηται. καὶ ἐὰν τὸ ἕτερον μέρος τῶν ἀντιδίκων ὁποτερωνοῦν τούτων χρήσηται, τῇ ἀντιλήψει λέγω, ἢ τῇ μεταλήψει, τὸ δ᾽ ἑτέρῳ πάντως τὸ ἕτερον χρήσεται. γίνεται δὲ ἡ μετάληψις κατά τε ἔνστασιν καὶ ἀντιπαράστασιν. καὶ ἡ μὲν ἔνστασις βίαιόν τι ἐστί, φήσει γὰρ μὴ ἐξεῖναι. ἡ δὲ ἀντιπαράστασις κατασκευάζει ὅτι, εἰ καὶ ἔξεστιν, ἀλλ᾽ οὐχ οὕτως, οὐδὲ ἐπὶ τούτοις. οἷον μειράκιον καλλωπιζόμενον φεύγει πορνείας, καὶ βιάσεται ὁ διώκων μὴ ἐξεῖναι καλλωπίζεσθαι ἀνδράσιν. εἶτα ὅτι, εἰ καὶ ἔξεστιν, οὐχ οὕτως οὐδὲ ἐπὶ τοιούτοις. ποτέρῳ δὲ πρότερον χρηστέον, τῇ ἐνστάσει, ἢ τῇ ἀντιπαραστάσει οὐ ῥᾴδιον εἰπεῖν. ἄλλοτε γὰρ ἄλλην, διὰ τὰς φύσεις τῶν πραγμάτων, λαμβάνει τάξιν. δεῖ δὲ ὁρᾶν, μὴ σφόδρα ἀναιδὲς ἐν τισὶν ᾖ τὸ ἐξ ἀρχῆς φάσκειν μὴ ἐξεῖναι, δεύτερον δὲ τιθέμενον, μᾶλλον ἰσχύειν δύναται, καὶ ὡς ἂν ἡ χρεία μᾶλλον ἀπαιτεῖ μεθοδεύειν. ἡ μετάθεσις τῆς αἰτίας πρὸς τὰ ἀπ᾽ ἀρχῆς ἄχρι τέλους γίνεται. ἐκεῖνα δὲ ἤτοι ἐν λόγοις ἐστὶν, ἢ ἐν ἔργοις, ἢ ἐν πάθεσι. κἂν μὲν ἐν λόγοις ᾖ, κατὰ ῥητὸν καὶ διάνοιαν ἡ μετάθεσις τῆς αἰτίας εἰσάγεται. οἷον νέος πλούσιος νύκτωρ κωμάσας, ἐπὶ τὸ δεσμωτήριον ἐβόησε, θαῤῥεῖτε ὦ δεσμῶται,

οὐκ εἰς

οὐκ εἰς μακρὰν λυθήσεσθε, καὶ φεύγει τυραννίδος ἐπιθέσεως. ἐνταῦθα γὰρ ὁμολογῶν εἰρηκέναι, τίνι διανοίᾳ εἶπε, σκοπεῖν ἀξιοῖ. ἐὰν δὲ ἐν ἔργοις ᾖ τὰ ἀπ᾽ ἀρχῆς ἄχρι τέλους, ἡ μετάθεσις τῆς αἰτίας θετικῶς ἐξετάζεται, οἷον, πεφώραταί τις ἐπ᾽ ἐρημίας θάπτων νεοσφαγὲς σῶμα, καὶ φεύγει φόνου. θέσιν γὰρ προφανεῖ· ἐρεῖ γὰρ ὅτι καλὸν, τὸ τοὺς ἀτάφους θάπτειν· ἐὰν δὲ ἐν πάθεσι, συγγνωμονικῶς ἡ μετάθεσις τῆς αἰτίας γίνεται. οἷον συνεχῶς εἰς τὴν ἀκρόπολιν νέος πλούσιος ἀφορῶν, δακρύει, καὶ φεύγει τυραννίδος ἐπιθέσεως· ἐλεήσας γάρ φησι τοὺς τυραννουμένους, οὕτω διετέθην. εἰδέναι δὲ δεῖ ὅτι ταῦτα μὲν πάντα ἐν πᾶσι στοχασμοῖς εὑρίσκεται, πλεονάζει δὲ ἕκαστον ἐν τῷ οἰκείῳ. ἔτι ἡ μετάθεσις τῆς αἰτίας, ἂν μὲν ἀφ᾽ ὧν ἕτεροι πεποιήκασιν, ἡ κρίσις γίνηται, ἔσται καὶ πεπλασμένη καὶ ἐναντία πως ἑαυτῇ. οἷον τρισαριστέως εἰκόνα ἔστησαν οἱ πολέμιοι, καὶ φεύγει προδοσίας. ἐρεῖ γὰρ θαυμάζοντας αὐτὸν ἐκείνους στῆσαι, ἢ προτρέποντας τοὺς παρ᾽ αὐτοῖς, ἢ ἐξιλεουμένους αὐτὸν, ἢ ἄλλως φθόνον κινῆσαι βουλομένους. ταῦτα γὰρ πάντα εἶναι ἀληθῆ οὐ δύναται. διὸ, φαμὲν καὶ πεπλανημένα δεῖν χρώματα ἐν τῷ τοιούτῳ στοχασμῷ εὑρίσκεσθαι. ἐὰν δὲ ἀφ᾽ ὧν αὐτὸς πεποίηκε κρίνηταί τις, ἢ ἕν τι ἐρεῖ, ἢ καὶ πλείονα, ἀλλ᾽ ἀκόλουθά γε ἀλλήλοις. οἷον νύκτωρ τις μεταντῶν, ληστείας φεύγει. ἐρεῖ γὰρ διὰ τοῦτο νύκτωρ, ὅτι αἰσχύνεται, καὶ ὅτι οὐ βούλεται δυσοιώνιστος εἶναι, μεθ᾽ ἡμέραν προσαντῶν τοῖς ἐντυγχάνουσι, καὶ ὅτι μᾶλλον τηνικαῦτα διδόασιν οἱ ἄνθρωποι, ἀνειμένοι ἤδη τῇ γνώμῃ, καὶ εἴ τι τοιοῦτον. ταῦτα γὰρ πολλὰ ὄντα οὐκ ἐναντιοῦται ἀλλήλοις. ἡ πιθανὴ ἀπολογία ἀναστρέφουσά ἐστι πρὸς τὰ ἀπ᾽ ἀρχῆς ἄχρι τέλους·

οἷς γὰρ ὁ ἕτερος χρήσηται ὡς σημείοις τοῦ εἶναί τι, τούτοις ὁ ἕτε-
ρος ὡς σημείοις χρῆται τοῦ μὴ εἶναί τι· οἷον ὅπου ἀφορμᾶς ἐ-
δάκρυσε, τυραννήσεις. καὶ μὴν εἰ ἔμελλον τυραννεῖν, οὐκ ἂν
ἀφεώρων, ὥς τε εἶναι καταφανής. τὸ δὲ κεφάλαιον τοῦτο,
ἔστιν ὅτε ἐκλείπει. καὶ ἐκλείπει γε, ὅταν τὰ σημεῖα ἀφ' ὧν ἡ
κρίσις, ἀναγκαίως ἑπόμενα ᾖ τῷ πράγματι, ἐφ' ᾧ ἡ κρί-
σις· οἷον, τῷ ἐπιτιθεμένῳ τυραννίδι, ἀναγκαῖον ὅπλα πα-
ρασκευάσασθαι. σκέψαι τοίνυν, σκηπτοῦ κατενεχθέντος εἰς τὴν
Περικλέους οἰκίαν, εὕρηνται χίλιαι πανοπλίαι, καὶ φεύγει τυ-
ραννίδος ἐπιθέσεως· οὐ δύναται εἰπεῖν ἐνταῦθα τὸ, εἰ ἔμελ-
λον τυραννεῖν, οὐκ ἂν ὅπλα παρεσκευασάμην. ἐν τοῖς τοιούτοις
τὰ ἀπ' ἀρχῆς ἄχρι τέλους ὁ κατήγορος καὶ ὁρικῶς ἐξετάσει.
ἔστιν ὅτε, ὡς ἐπὶ τοῦ καλλωπιζομένου μειρακίου καὶ πορνείας
φεύγοντος· αὐτὸ γὰρ τὸ καλλωπίζεσθαι καθ' ἑαυτὸ, πορνείαν
ἐρεῖ ὁ κατήγορος βιαίως· ἡ μέντοι πιθανὴ ἀπολογία κἀνταῦ-
θα ἐκλέλοιπεν· ἀντεισακτέον δὲ εἰς τὸ καθ' ἑαυτὴν κεφάλαιον
τὸ μὴ ἀντιστρέφειν τὸ πρᾶγμα, τούτῳ γὰρ ἔξεστι καὶ μόνῳ ἰσχυ-
ρίζεσθαι ἐνταῦθα· οἷον οἱ μὲν μέλλοντες τυραννεῖν ὅπλα πα-
ρασκευάζονται, οὐ μὴν οἵ γε παρασκευαζόμενοι, καὶ τυραννίδι ἐ-
πιτίθενται· ἔστι γὰρ καὶ ἄλλου τινὸς ἕνεκα παρασκευάζεσθαι ὅπλα.
καὶ πάλιν, οἱ μὲν πορνεύοντες καλλωπίζονται, οὐ μὴν οἵ γε
καλλωπιζόμενοι, πάντως καὶ πορνεύουσιν· ἔστι γὰρ καὶ δι' ἄλ-
λο τι καλλωπίζεσθαι· καὶ ἐρεῖ δηλαδὴ ὅσα κἂν τῇ μεταθέσει τῆς
αἰτίας. ἡ κοινὴ ποιότης, οἱ ἐπίλογοί εἰσι καὶ αἱ δευτερολογίαι.
γίνονται δὲ ἐν παντὶ ζητήματι, οὐκ ἐν στοχασμῷ μόνον, ὑπὸ
μὲν τῶν κατηγόρων τοπικῶς μετὰ τὰς ἀποδείξεις κατατρε-
χόντων τοῦ ἐγκλήματος. οἷον κατὰ τυράννου ἢ πόρνου, ἢ

ὅτι ἂν ᾖ

ὅ, τι ἄρ᾽ ἦν τὸ ἔγκλημα. καὶ ἐπανακεφαλαιουμένων γε ἑκά-
στα τῶν ἐπικαίρων, ὡς ὁ Δημοσθένης. οἷον, συλλογίσασθαι δὴ
βούλομαι τὰ κατηγορημένα, ἀπέδειξα μηδὲν ἀληθὲς ἀπηγγελ-
κότα, καὶ τὰ ἑξῆς· ὑπὸ δὲ τῶν φευγόντων, ἀνακεφαλαιουμέ-
νων καὶ αὐτῶν μὲν ὁμοίως τοῖς ἄλλοις, οὐχ ὁμοίως δὲ χρω-
μένων, ἀλλ᾽ ἐλεεινολογουμένων τε καὶ πάθη κινούντων. ἐν-
ταῦθα καὶ παραγωγαὶ χρήσιμαι τῶν παίδων καὶ γυναικῶν
καὶ φίλων, καὶ ὅσα τοιαῦτα, ἃ ὁ κατήγορος ἀναιρήσει δηλαδὴ ἢ
τῷ συμφέροντι· κοινὰ δὲ ἀμφοῖν τὰ τελικὰ λεγόμενα κε-
φάλαια ἐνταῦθα, τὸ νόμιμον, τὸ δίκαιον, τὸ συμφέρον, τὸ
δυνατὸν, τὸ ἔνδοξον· ὅλως τε οἱ ἐπίλογοι λαμβάνονται μὲν
ἀφ᾽ ὧν περ καὶ τὰ προοίμια, καὶ ἰσχύουσί γε τὰ αὐτά. πά-
θους γὰρ ψυχῆς ἕνεκα εἰσάγεται ἄμφω, οἷον φόβου, ἢ ὀργῆς,
ἢ ἐλέου, ἢ φθόνου, ἢ τινος τοιούτου. διαφέρει δὲ ἀλλήλων
τῷ, τὰ μὲν προοίμια παρασκευάζειν πρὸς τὸ δέξασθαι ἢ ἀ-
ποθέσθαι τόδε τι πάθος τῆς ψυχῆς· τοὺς δὲ ἐπιλόγους, ἢ αὔ-
ξειν ἢ μειοῦν διὰ τῶν κεφαλαίων, τό, τε ἤδη τέλεον ἐξαίρειν,
καὶ ὅλως ἐν τούτοις διαφέρουσιν οἱ ἐπίλογοι καὶ τὰ προοίμια
τῷ, τοὺς ἐπιλόγους λελύσθαι τε ἤδη κατὰ τὸν ῥυθμὸν, καὶ
ἐπὶ πλεῖον ἕκαστον προάγεσθαι τῶν εὑρισκομένων, ἀλλὰ μὴ διὰ
βραχέων, ὥσπερ ἐν τοῖς προοιμίοις, ἀκριβέστερον δὲ ἐν τῷ πε-
ρὶ προοιμίου λελέξεται ταῦτα. ἡ μὲν δὴ τοῦ τελείου τε καὶ ἁ-
πλοῦ στοχασμοῦ διαίρεσις, αὕτη. εἰσὶ δέ τινες καὶ ἀτε-
λεῖς αὐτῶν στοχασμοί, καὶ αὖ διπλοῖ, τέλειοί τε καὶ ἀτε-
λεῖς, ἐν οἷς διπλῇ καὶ τῇ διαιρέσει χρώμεθα, περὶ ὧν λεκτέον.
Ἀτελὴς ἐκ μόνων πραγμάτων συνεστώς ἐστιν, ὅταν τὸ πρό-
σωπον μὴ ᾖ κρινόμενον, ἑνὸς ὄντος τοῦ πράγματος.

 οἷον θαπτόντων

οἷον θάπτων τις νεοσφαγὲς σῶμα ἐπ' ἐρημίας περιφώραται, καὶ φόνου φεύγει, οὗτος βούλησιν μὲν καὶ δύναμιν οὐκ ἔχει, τοῖς δὲ ἄλλοις διαιρεῖται πᾶσιν, ὁμοίως τῷ τελείῳ. ἀτελὴς δὲ ἐκ μόνων προσώπων ἁπλοῦς, οὐ γίνεται κατά γε ἐμὲ, στοχασμός· καὶ τοῖς γε ἐπεσκεμμένοις τὰ εἰρημένα ὀλίγῳ πρότερον περὶ τῶν κρινομένων πραγμάτων, σαφέστατον εἶναι τοῦτο νομίζω. τεθείκασι δ' οὖν τινες ὡς ἀτελοῦς ἁπλοῦ παράδειγμα, λέγοντες μόνον τὸ πρόσωπον κρίνεσθαι, ἐνταῦθα, ἀσώτου πατὴρ ἀφανὴς γέγονε, καὶ φόνου φεύγει. πρῶτον οὖν ἐρήσομαι αὐτοὺς, εἰ οὐκ ἔστιν ἐνταῦθα τὰ ἀπ' ἀρχῆς ἄχρι τέλους; καὶ μὴν ἔστι, τὸ, ἐκ ποδῶν εἶναι τὸν πατέρα. τοῦτο δὲ οὐ τοῦ προσώπου, ἀλλὰ τοῦ πράγματός ἐστιν. ἀλλὰ μετάθεσιν αὐτὸν τῆς αἰτίας οὐκ ἀπαιτήσομεν; ἀλλὰ καὶ τοῦτο. εἰ δὲ μὴ, τίς ἔσται ἀπολογία; πῶς οὖν ἀγωνιεῖται μὴ ἔχων πρᾶγμα; τί δέ; τῇ πιθανῇ ἀπολογίᾳ οὐ χρήσεται; οἶμαι καὶ τοῦτο. πῶς οὖν ἀτελὴς ὁ τοιοῦτος; ἀλλ' ἧττον ἰσχύει τὰ πράγματα ἐνταῦθα, ἢ ἐν τῷ θάπτοντι τὸ νεοσφαγὲς σῶμα. καὶ γὰρ ἐν πᾶσι στοχασμοῖς ἧττον ἰσχύει τὰ ἀπ' ἀρχῆς ἄχρι τέλους, ὅταν ἀφ' ὧν ἄλλοι πεποιήκασι, κρίνεταί τις. ἄλλως τε καὶ ὅταν μὴ εἰς αὐτὸν ἄντικρυς ἀναφέρηται, ὡς ἐπὶ τοῦ ἀρχιδάμου τοῦ κρινομένου δώρων, ἐπειδὴ ἔγραψεν ὁ περικλῆς ἐν τοῖς λογισμοῖς εἰς δέον ἀνηλωκέναι πεντήκοντα τάλαντα. Ἁπλοῦς μὲν οὖν στοχασμὸς ἐκ μόνων προσώπων οὐκ ἔστι, κατά γε ἐμὲ, διπλοῦς δέ ἐστι. πρῶτον δὲ περὶ τοῦ τελείου διπλοῦ λεκτέον. Διπλοῦς τέλειος γίνεται, ὅταν δύο πρόσωπα καὶ δύο πράγματα κρινόμενα ἔχῃ, οἷον αἰσχίνης καὶ Δημοσθένης ἀπὸ τῆς παρὰ φίλιππον ἥκοντες πρεσβείας, ἀντεγκαλοῦσιν ἀλλήλοις δώρων.

ἐπειδὴ ὁ μὲν χρυσίον εὕρηται κατορύττων ὁ Δημοσθένης, ὁ δὲ ἀπολογίαν παραπρεσβείας γεγραφὼς ὁ Αἰσχίνης. ἐνταῦθα ἡ μὲν τῶν ἐλέγχων ἀπαίτησις, ἐπειδὴ ἰσάζει, ἐκλέλοιπε· τοῖς δὲ λοιποῖς κεφαλαίοις ἐπ' ἀμφοτέρων χρηστέον διπλῶς· οἷον, ἐγὼ μὲν οὐκ ἂν ἠβουλήθην παραπρεσβεῦσαι διὰ τόδε, σὺ μέντοι ἠβουλήθης ἂν διὰ τόδε. καὶ ἐπὶ τῶν ἄλλων ὁμοίως, ἓν πρὸς ἓν ἀντιτιθέντες, ἐξετάσομεν. τὸ γὰρ διελεῖν καὶ χωρὶς μὲν ἀπολογήσασθαι δι' ὅλων τῶν κεφαλαίων, χωρὶς δὲ κατηγορῆσαι πάλιν τοῖς αὐτοῖς κεφαλαίοις, οὐκ ἀγωνιστικόν, ἀλλὰ σφόδρα ὕπτιον. συμπλέκειν οὖν δεῖ· διπλοῦς δὲ ἁπλῶς ἐκ μὲν τῶν πραγμάτων, ὅταν μόνα τὰ πράγματα κρίνηται. οἷον δύο ῥήτορες πρεσβεύσαντες παρὰ τύραννον καὶ ἐπανήκοντες, ἀλλήλοις ἀντεγκαλοῦσι δώρων· ἐπειδὴ ὁ μὲν, χρυσίον εὕρηται κατορύττων, ὁ δὲ ἀπολογίαν παραπρεσβείας συγγεγραφώς. ἐνταῦθα γὰρ τὰ μὲν πρόσωπα ἰσάζοντα οὐκ ἐπιδέχεται ἐξέτασιν, τὰ δὲ πράγματα διαφέροντα ἐξετασθήσεται. πάλιν οὖν ἡ μὲν βούλησις καὶ δύναμις ἐκλέλοιπε· τοῖς δὲ ἄλλοις ὁμοίως διαιρεθήσεται κεφαλαίοις, οἷσπερ καὶ ὁ τέλειος διπλοῦς, κατὰ ἀντεξέτασιν· ἐκ δὲ αὖ μόνων προσώπων διπλοῦς γίνεται στοχασμὸς, ὅταν μόνα τὰ πρόσωπα κρίνηται. οἷον ἐπὶ σημείοις φαρμάκων ἀριστεὺς ἐτελεύτα, μητρυιὰν ἔχων καὶ αἰχμάλωτον παλλακίδα, καὶ ἀντεγκαλοῦσιν ἀλλήλαις. ἐνταῦθα μόνη βούλησις καὶ ἡ δύναμις ἐξετάζεται, ἃ δὴ καὶ φύσει τοῦ προσώπου εἰσὶν ἴδια· τὰ δὲ ἄλλα πάντα ἰσάζει.

ἔστι παρὰ ταῦτα, ἕτερα εἴδη στοχασμῶν διπλῶν τρία, οὓς καλοῦμεν συνεζευγμένους, ὅ, τε ἐμπίπτων, καὶ ὁ προκατασκευαζόμενος, καὶ ὁ συγκατασκευαζόμενος. καὶ ὁ μὲν ἐμπίπτων

γίνεται, ὅταν ἐν τῇ μεταθέσει τῆς αἰτίας ὁλόκληρον τὸ ζήτημα ἐμπέσῃ, καὶ ἀναγκαῖον γένηται καὶ αὐτὸ διελεῖν τελείως. οἷον, ἔδει τὸν ἁλόντα προδοσίας, δεδέσθαι παρὰ τῷ στρατηγῷ μέχρις ἂν εἴπῃ τοὺς συνειδότας· ἁλούς τις προδοσίας στρατηγὸς, ἐδέδετο παρὰ τῷ συστρατήγῳ, ὁ δὲ ἀπέκτεινεν αὐτὸν ὡς ἐπὶ τῇ γυναικὶ εὑρὼν, καὶ συνειδότος φεύγει. ἐνταῦθα γὰρ μετὰ τὰ ἀπ' ἀρχῆς ἄχρι τέλους, χρωμένου τῇ μεταθέσει τῆς αἰτίας, τῇ λεγούσῃ, ὅτι μοιχὸν ἀπέκτεινα, τῷ φεύγοντι εὕρηται ζήτημα ἕτερον, τὸ, εἰ ἐκεῖνον εἰκὸς δεσμώτην ὄντα μοιχεῦσαι, καὶ εἰ τὴν γυναῖκα εἰκὸς τῷ τοιούτῳ ἑαυτὴν ἐπιδοῦναι, καὶ μετὰ τὴν τούτου διαίρεσιν, πάλιν ἐπὶ τοῦ προτέρου στοχασμοῦ πιθανὴν ἀπολογίαν ὁ φεύγων ἥξει. προκατασκευαζόμενος δὲ γίνεται, ὅταν πρὸ τοῦ ζητήματος ἕτερον ἀναγκαῖον ᾖ ζητῆσαι στοχαστικῶς, ὡς ὂν, ἢ οὐκ ὄν. οἷον πλούσιος στρατηγὸς πένητος ἐχθροῦ παῖδας τρεῖς ὡς προδιδόντας συνέλαβε, καὶ τοὺς μὲν δύο ὁμολογήσαντας ἐν ταῖς βασάνοις ἀπέκτεινε· τὸν δὲ τρίτον πρὸ τῶν βασάνων ὁμολογήσαντα προδιδόναι, καὶ μὴ ἐπεξιόντα τὸν πατέρα, κρίνει συνειδότος. ἐφ' ἑκατέρου γὰρ δεῖ πρότερον συσταθῆναι, τοῦ μὲν πλουσίου τὸ εἶναι ἐκείνους προδιδόντας, τοῦ δὲ πένητος τὸ μὴ εἶναι· μεθ' ὃ κατὰ συγχώρησιν δὲ τοῦ τὸ καὶ προδεδωκέναι ἐκείνους ὁ πένης, τὸ καθ' αὑτὸν ἀπολογήσεται. συγκατασκευαζόμενος δὲ γίνεται, ὅταν τὰ σημεῖα τοῦ πράγματος δι' ἀλλήλων κατασκευάζηται, οἷον ἔδει τοὺς δεσμώτας λελύσθαι τοῖς θεσμοφορίοις· μοιχείαν ὑπονοήσας τις πρὸς τὸν οἰκέτην τῆς γυναικὸς, δήσας ἐκεῖνον ἀπεδήμησε· λυθεὶς τοῖς θεσμοφορίοις ὑπὸ τῆς γυναικὸς ἀπέδρα ὁ οἰκέτης, μετὰ ταῦτα εὕρηται ὁ ἀνὴρ πεφονευμένος, καὶ συνειδότος ἡ

γυνὴ φεύ

γυνὴ φεύγει. τό, τε γὰρ ὑπὸ τοῦ οἰκέτου αὐτὸν πεφονεῦσθαι, διὰ τῆς μοιχείας κατασκευάζεται, τό, τε εἶναι τὴν μοιχείαν διὰ τὸ ὑπ' ἐκείνου αὐτὸν ἀνῃρῆσθαι, καὶ ὅλον δι' ἀλλήλων· δῆλον δὲ ὅτι καὶ μετὰ τῶν ἄλλων, τῆς τε ὑπονοίας τοῦ ἀνδρὸς καὶ τοῦ λῦσαι αὐτὸν τὴν γυναῖκα, καὶ εἴ τι εἴη ἕτερον. διαφέρει δὲ τοῦ προκατασκευαζομένου, ὅτι ἐκεῖ μὲν κεχώρισται ἀλλήλων τὰ ζητήματα, ἐνταῦθα δὲ δι' ἀλλήλων κατασκευάζεται πάντα. ὁ ἀπὸ γνώμης παρὰ τούτους ἐστὶν στοχασμὸς, ὃς ψιλῇ τῇ γνώμῃ δὴ ἐξετάζεται, φανεροῦ ὄντος καὶ τοῦ πράγματος, καὶ τοῦ πράξαντος· οἷον ἐν δόξῃ μανίας μητρυιὰ, τὸν μὲν ἤδη ἔτρωσε, τὸν δὲ πρόγονον ἀπέκτεινε, καὶ ἀνενεγκοῦσα φεύγει φόνου· διαφέρει δὲ συγγνώμης ὁ τοιοῦτος στοχασμὸς, ὅτι ἐκεῖ μὲν ἐφ' ὃ μεθίστησιν ὡμολόγηται. οἷον ἔλεος, ἢ βάσανοι καὶ τὰ τοιαῦτα, ἐνταῦθα δὲ εἰ μέμηνε ζητεῖται δή που ἢ οὔ. τάχα δ' ἂν παρὰ ταῦτα καὶ ἄλλα εἴδη στοχασμῶν εὑρεθείη, περιττὸν δὲ εἰς ἄπειρον πραγματεύεσθαι. νομίζω γὰρ ὅτι ὁποῖον ἂν γένηται ἄλλο, διὰ τούτων πως συμπλεκόμενον εὑρίσκεται. καὶ δῆλον ὡς τοῖς τὰ τοιαῦτα ἐπισκεμμένοις, οὐ χαλεπὴ γνώσεται ἡ ἐν ἐκείνοις διαίρεσις.

## ΠΕΡΙ ΟΡΟΥ.

Ὅρος διαιρεῖται προβολῇ, ὅρῳ, ἀνθορισμῷ, συλλογισμῷ, γνώμῃ νομοθέτου, πηλικότητι πρός τι, μιᾷ τῶν ἀντιθέτων ἔστιν ὅτε, ἢ ὡς εἰ ἐμπέσοι, εὑρεθήσεται καὶ μετάληψις, καὶ ἀντίληψις εὐθὺς ἑπόμεναι, εἶτα ποιότης καὶ γνώμη. ἡ προβολὴ ἐστὶν αὐτὰ τὰ ἀπ' ἀρχῆς ἄχρι τέλους. ὁ ὅρος χωρίζει τὸ πρᾶγμα, καὶ γίνεται ἐκ τῶν παρεπομένων τοῖς ἀπ' ἀρχῆς ἄχρι τέλους.

οἷον τύραν

Universitäts- und Landesbibliothek Düsseldorf

οἷον τύραννον ἔπεισε φιλόσοφος ἀποθέσθαι τὴν τυραννίδα, καὶ αἰτεῖ τὸ γέρας. ἡ προβολή, ἔπαυσα τὴν τυραννίδα, καὶ δεῖ λαμβάνειν με τὴν δωρεάν. τοῦτο δὲ δῆλον, ὅτι αὔξων ἀπὸ τῶν παρακολουθούντων τοῖς ἀπ' ἀρχῆς ἄχρι τέλους θήσει. ὁ ὅρος ἐκ τῶν παρακειμένων, οὐκ ἔστι τοῦτο τυραννοκτονῆσαι, ἀλλ' ὁρίζεται τοῦτο εἶναι ὃ παρεῖται, τὸ ἀποκτεῖναι αὐτόν. ὁ ἀνθορισμὸς πάλιν ἐκ τῶν πεπραγμένων. οἷον, οὐχί, ἀλλὰ τὸ παῦσαι τὴν τυραννίδα. ὁ συλλογισμὸς συνάγει ἄμφω, μηδὲν γὰρ ἀλλήλων διαφέρειν ταῦτα, ἀγωνιεῖται ὁ τὴν δωρεὰν δηλαδὴ αἰτῶν. καὶ καθόλου ὃν τρόπον ἔφαμεν τὴν ἀντίληψιν τῇ μεταλήψει μάχεσθαι, τὸν αὐτὸν τρόπον καὶ ὁ συλλογισμὸς τῷ ὅρῳ πανταχοῦ. καὶ ἔνθα ἂν ὁποτέρῳ αὐτῶν ὁπότερον μέρος χρήσηται, θατέρῳ λοιπῷ τὸ ἕτερον χρήσεται πάντως. ἡ γνώμη τοῦ νομοθέτου ὑπ' ἀμφοῖν πρὸς τὸ οἰκεῖον συμφέρον ἐξετασθήσεται. ἡ πηλικότης, ὅτι μέγα τὸ γεγονός, ἀποδείξει· τὸ δὲ αὖ πρός τι, ὅτι καὶ μεῖζον τὸ ἄνευ σφαγῶν καὶ θορύβου καὶ ταραχῆς παῦσαι τὴν τυραννίδα, τοῦ μετὰ ὅπλων. ἡ δὲ ἀντίθεσις ἐνταῦθα μὲν οὐκ ἐμπέπτωκεν, ἐπὶ δὲ ἄλλων εὑρίσκεται ζητημάτων πολλάκις, οἷον εὐνοῦχόν τις εὑρὼν ἐπὶ τῇ γυναικὶ, ὡς μοιχὸν ἀπέκτεινε, καὶ φόνου φεύγει, μετὰ γὰρ τὸ, τίς ὁ μοιχὸς, ζήτημα διὰ τῶν προειρημένων περανθέν, ἀντεγκαλέσει ὡς ἄξιον παθεῖν ἃ πέπονθε. τούτῳ δὲ ἕπεται ἀναγκαίως ἡ μετάληψις, ἡ τίς ἐστιν ὅτι κρίνειν ἔδει καὶ κατηγορεῖν· μεταλήψεως δὲ εὑρεθείσης, πάντως τις ἔσται καὶ ἡ ἀντίληψις, ὅτι ἐξῆν. ἡ ποιότης δὲ ἀπὸ τῶν παρακολουθούντων τῷ προσώπῳ λαμβάνεται. κἂν μὲν ᾖ ὡρισμένον τὸ πρόσωπον, ἀπὸ πάντων δηλαδὴ τῶν ἐγκωμιαστικῶν· εἰ δὲ ἄλλως ἀόριστον, εἰ μὲν

τῶν κρινο

τῶν κρινομένων εἴη, οἷον πατὴρ, ἤ τι τῶν προειρημένων ἐν τοῖς περὶ προσώπων, τὰ παρακολουθοῦντα σκεψάμενοι λέξομεν. εἰ δὲ ἀόριστον πάντη, ἀπὸ τοῦ νῦν πεπραγμένου, στοχαστικῶς ἐξετάσομεν, τίς ἦν τὸν παρελθόντα χρόνον, καὶ τίς ἔσται μετὰ ταῦτα, εἰ ἀφεθείη, εἴτε ἁλοίη· ἐπ' ἀμφοῖν γὰρ τὴν ποιότητα ἐξετάσεις. ἡ γνώμη ὡσαύτως ὑπ' ἀμφοῖν ἐξετασθήσεται, ποίᾳ γνώμῃ τόδε τι ἔπραξε, καὶ ποίᾳ γνώμῃ κατηγορεῖ, ἢ ἀντιλέγει, καὶ τὰ ὅμοια. ἡ μέντοι κοινὴ ποιότης, συμπεπλεγμένως ἐνταῦθα τῇ ποιότητι τοῦ προσώπου καὶ τῇ γνώμῃ ἐξετασθήσεται. ὥσπερ δὲ στοχασμῶν εἴδη πλείονά ἐστιν, οὕτω καὶ ὅρων. καὶ ἁπλοῦς μὲν, ὁ προειρημένος, οἱ δὲ ἄλλοι, διπλοῖ εἰσι· καὶ πρῶτός γέ ἐστιν ὁ ἀντονομάζων καλούμενος, ὅταν ὄνομα ὀνόματι ὁ φεύγων ἀντιτιθῇ, οἷον ὑφείλετό τις ἐξ ἱεροῦ ἰδιωτικὰ χρήματα, καὶ ὡς ἱερόσυλος ὑπάγεται· ὁ δὲ, κλέπτης εἶναι φάσκων, διπλᾶ καταθεῖναι ἀξιοῖ. τοῦτον, ὁμοίως τοῖς διπλοῖς στοχασμοῖς, διαιρήσεις διπλοῖς τοῖς κεφαλαίοις, ἀντιτιθεὶς κεφάλαιον κεφαλαίῳ. οἷον, ἱερόσυλος εἶ, ἀλλ' οὐ κλέπτης. κλέπτης μὲν εἰ τόδε τί ἐστι, ἱερόσυλος δὲ τόδε· καὶ τοῖς ἑξῆς ὁμοίως. καὶ ὁ φεύγων δὲ παραπλησίως, ἀναστρέψας χρήσεται τῷ λόγῳ. δεύτερος, ὁ κατὰ σύλληψιν ὀνομαζόμενος, ὃ γίνεται, ὅταν τοῦ φεύγοντος ἀντονομάζοντος, ὁ διώκων καὶ τούτῳ κἀκείνῳ ὑπεύθυνον αὐτὸν εἶναι λέγῃ τῷ ὀνόματι. πάνυ δὲ οὗτος ἔοικε τῷ ἀντονομάζοντι. ὅπῃ δὲ διαφέρει, θέντες τὸ παράδειγμα ὡς δεῖ, λέξομεν, πρεσβεύων τις, παρέθετο τῷ στρατηγῷ τὴν θυγατέρα, ἐβιάσατο αὐτὴν ἐκεῖνος, καὶ δημοσίων μὲν ἀδικημάτων ὁ πατὴρ αὐτὸν ἐπανελθὼν, κρίνει· ὁ δὲ τὰς μυρίας καταθεῖναι ἀξιοῖ. τοῦτο γὰρ ὥριστο

τῷ βιαίῳ, ἐνταῦθα λέγοντος τοῦ φεύγοντος, ὅτι βίαιός εἰ-
μι, ἀλλ' οὐ δημόσια ἠδικηκώς, ἀμφοτέροις ὑπεύθυνον αὐτὸν
εἶναί φησιν ὁ διώκων, καὶ τῇ βίᾳ, καὶ τῷ δημοσίῳ ἀδικήμα-
τι. ἂν γὰρ μὴ φάσκῃ αὐτὸν βεβιάσθαι, δηλαδὴ ἀφίησι καὶ τοῦ
δημοσίου ἀδικήματος. εἰ γὰρ μὴ εἴη βία, δηλαδὴ οὐδὲ δη-
μόσιον ἀδίκημα. διὰ τοῦτο οὖν συμπλέκεται ἑκάτερον, ἄλλως
γὰρ οὐ δύναται δημοσίων ἀδικημάτων κατηγορεῖν, ἢν τῆς
βίας αὐτὸν ἀνῇ. τοῦτο καὶ Δημοσθένης ἐν τῷ κατὰ Μειδίου
πεποίηκε· φάσκοντος γὰρ τοῦ Μειδίου, ὕβριν εἶναι καὶ ἰδιω-
τικὸν, ἀλλ' οὐ δημόσιον ἀδίκημα, τὸ περὶ τὴν ἑορτὴν, συνά-
γει ἑκάτερα, καὶ τὸ τῆς ὕβρεως, καὶ τὸ περὶ τὴν ἑορτὴν ἀδι-
κεῖν, ἵνα μὴ τὸ τῆς ὕβρεως ἀφεὶς, ἀπολύσῃ καὶ τὸ περὶ τὴν ἑορ-
τὴν ἀδικεῖν. μὴ γὰρ προυφεστώσης τῆς ὕβρεως, οὐδὲ τὸ περὶ τὴν
ἑορτὴν ἀδικεῖν συνίσταται. ἐν δὲ τῷ ἀντωνομάζοντι ἀναιρεῖ τὸ
ἕτερον. οἷον οὐκ εἶ κλέπτης, ἀλλ' ἱερόσυλος. καὶ ἡ διαφορὰ,
ὅτι ἐκεῖ μὲν ἀκολουθεῖ φύσει τὸ πρᾶγμα τῷ ἐγκλήματι. οἷον
τῷ ἱεροσύλῳ τὸ κλέπτην εἶναι, ἀναγκαῖον. ὁ γὰρ ἱερόσυλος
καὶ κλέπτης ἱερῶν ἐστι δή που χρημάτων· τῷ μέν τοι δημό-
σια ἠδικηκότι οὐχ ἕπεται τὸ βίαιον εἶναι. ἔστι γὰρ καὶ ἄλλως ἀ-
δικῆσαι δημόσια. διόπερ ἐνταῦθα μὲν ὁ διώκων, ἀμφότερα
συλλαμβάνων, ἐρεῖ· ἐκεῖ δὲ τὸ ἕτερον χωρίζει. τοῦτο οὖν πλεῖ-
ον ἔχει κεφάλαιον οὗτος ἐν τῇ διαιρέσει τοῦ ἀντωνομάζοντος,
καὶ διαφέρουσα δηλαδὴ καὶ ἡ διαίρεσις γίνεται διὰ τοῦτο πρὸς
τὸν ἀντωνομάζοντα. τρίτος, ὁ κατὰ πρόσωπα διπλοῦς. γί-
νεται δὲ, ὅταν πρᾶγμα ὁλόκληρον ὑπὸ δυοῖν ᾖ πεπραγμένον, ἢ
ἄλλως δυσὶ προσώποις τισὶν ὑπάρχον· οἷον, νόμος, τὰς
ἱερωσύνας τοὺς παῖδας διαδέχεσθαι. παῖδα ἔχων ἠρίστευσέ
τις, καὶ

τις, καὶ ᾔτησεν ἱερωσύνην τινὸς ἀφελέσθαι καὶ αὐτοῦ παῖδα ἔχοντος· ἔλαβε, τεθνᾶσιν ἀμφότεροι, καὶ ἀμφισβητοῦσιν οἱ παῖδες ὑπὲρ τῆς ἱερωσύνης. τίς γὰρ ὁ τοῦ ἱερέως παῖς; οὔσης τῆς ζητήσεως, τοῦ μὲν ἡ ἀρχὴ ὑπάρχει, τὸ γεγεννῆσθαι ἐν τῇ ἱερωσύνῃ· τοῦ δὲ τὸ τέλος, τὸ ἱερέα ἔτι ὄντα τεθνάναι αὐτοῦ τὸν πατέρα. καὶ τοῦτον δὲ παραπλησίως διαιρήσεις, κεφάλαιον ἀντιθεὶς κεφαλαίῳ. τέταρτος, ὁ ἐμπίπτων ὅταν ὥσπερ ἐν στοχασμῷ μεταξὺ τῶν κεφαλαίων ἄλλο ἐμπέσῃ ζήτημα ὁλόκληρον. οἷον ἀμύητος, ὄναρ ἰδὼν τὰ μυστήρια, ἤρετό τινα μυηθέντα, εἰπὼν ἃ εἶδεν εἰ οὕτως ἔχοι· συγκατέθετο ὁ ἐρωτηθεὶς, καὶ ὡς ἐξειπὼν ὑπάγεται. τί γὰρ τὸ ἐξειπεῖν; οὔσης τῆς ζητήσεως, καὶ ταύτης μέχρι τοῦ πρός τι προϊούσης, ἐμπεσεῖται καὶ, τίς ὁ ἀμύητος; ἄλλο ζήτημα. καὶ διαιρήσεις γε καὶ τοῦτο πᾶσι τοῖς ἑξῆς, μέχρι τοῦ πρός τι. εἶτα κοινὰ ποιήσεις τὰ λοιπὰ κεφάλαια. πέμπτον εἶδος οἱ δύο καλούμενοι ὅροι. ὃ γίνεται, ὅταν περὶ δύο ὀνομάτων ἐφ᾽ ἑνὸς προσώπου ἡ ζήτησις ᾖ, οὐκ ἀντωνομαζομένων, οἷον τὸν καθαρὸν καὶ ἐκ καθαροῦ ἱερᾶσθαι. πατέρα τις μοιχὸν ἀποκτείνας εἴργεται ἱερᾶσθαι. ἡ γὰρ ζήτησις, τίς ὁ καθαρὸς, καὶ τίς ὁ ἐκ καθαροῦ; καὶ χρὴ τὸ ἕτερον πρότερον τελείως ἐπελθόντα τοῖς κεφαλαίοις, αὖθις ἐπὶ τὸ ἕτερον ἐξ ἀρχῆς ἰέναι. ταῦτα περὶ ὅρου.

## ΠΕΡΙ ΑΝΤΙΛΗΨΕΩΣ.

Ἡ δὲ ἀντίληψις διαιρεῖται προβολῇ, μορίοις δικαίου, προσώπῳ, ὅρῳ καὶ τοῖς ἑπομένοις τῷ ὅρῳ, μέχρι τοῦ πρός τι, αὐτῇ τῇ ἀντιλήψει, μεταλήψει, ἀντιθέσει, ἑτέρᾳ μεταλήψει, θέσει, ποιότητι καὶ γνώμῃ.

ἡ προβολὴ γίνεται, ὡς καὶ ἐν τῷ ὅρῳ· τὸ δὲ μόριον τοῦ δικαίου, ταυτὸν μέν ἐστι τῇ ἀντιλήψει, διαφέρει δὲ, ὅτι ἐνταῦθα μὲν ἄνευ τε κατασκευῆς ἁπλῶς κατ᾽ ἀρχὰς τίθεται, καὶ ἐν παραγραφικοῦ μοίρᾳ, ἐκεῖ δὲ, ὡς ἑτέρως· οἷον, ζωγράφος ναυάγια γράψας, πρὸ τῶν λιμένων ἀνέθηκε, καὶ μηδενὸς καταίροντος, δημοσίων ἀδικημάτων φεύγει. ἡ μὲν προβολὴ φανερά. τὸ δὲ μόριον τοῦ δικαίου, εἰ μὴ δεῖ περὶ τούτοις κρίνεσθαι ἃ μηδεὶς κεκώλυκε νόμος. τὸ πρόσωπον, εἰ καὶ δεῖ, ἀλλὰ δημοσίων γε οὐ τοὺς ἰδιώτας, τοὺς δὲ ῥήτορας, ἢ τοὺς πρεσβευτὰς, ἢ τοὺς στρατηγοὺς, ἢ τὰ ὅμοια. οὗτοι γὰρ καὶ δύναιντ᾽ ἂν ἀδικεῖν δημόσια, ὅτι καὶ τὰ δημόσια πράττουσιν· οἱ δὲ ἰδιῶται, οὐδέν. ὁ ὅρος, ὅτι ἔστιν ἄλλοις ἐν τῶν δημοσίων ἀδικημάτων γραφαῖς, οἷον ναῦς προδοῦναι, τείχη, συμμάχους, καὶ τὰ ὅμοια. ἔσται οὖν ἀναγκαίως ὁ συλλογισμὸς, καὶ ταῦτα κἀκεῖνα δημόσιον ἀδίκημα, καὶ οὐδὲν διαφέρει. πλειόνων γὰρ ὄντων τῶν τρόπων, καθ᾽ οὓς ἄν τις ἀδικήσειεν, οὐκ, εἰ μὴ κατὰ πάντας τις ἀδικεῖ, διὰ τοῦτο ἀθῷος ἔσται, ἀλλ᾽ εἰ καὶ καθ᾽ ἕνα, δώσει δίκην, ἐπὶ τῷ κεχειρηκέναι δηλαδή. γνώμη νομοθέτου, εἰ ἐμπίπτει, χρήσεται ἑκάτερος πρὸς τὸ λυσιτελοῦν. ἡ πηλικότης, ὅτι μέγα τὸ γεγονός. τὸ πρός τι, ὅτι μεῖζον ἢ ἃ προβάλλεται. οἷον τοῦ τὰς ναῦς ἢ τὰ τείχη προδοῦναι, τὸ ἐν ἀπάσῃ πάντων καταστῆναι τῶν ἀναγκαίων, μηδενὸς καταίροντος τῶν ἐμπόρων. ἐν δὲ τούτοις, λέγω δὴ τῇ πηλικότητι καὶ τῷ πρός τι, τὰ ἀπ᾽ ἀρχῆς ἄχρι τέλους ἐμπίπτει ἀναγκαίως, πρὸς ἃ ἡ ἀντίληψις, ὡς ἐμάθομεν ἐν στοχασμῷ, ὅτι ἔξεστι, καὶ οὐδεὶς κεκώλυκε νόμος. εἶθ᾽ ἡ μετάληψις, ἐνστάσει μὲν εἰ ἐγχωροίη, ὅτι οὐδὲ ἔξεστιν· ἀντιπεριστάσει δὲ, ὅτι εἰ καὶ ἔξεστιν, ἀλλ᾽ οὐκ ἐπὶ τούτοις, οὐδὲ τοιαῦτα.

τοιαῦτα. ἡ δὲ ἀντίθεσις ἐπὶ τούτου ἀντιστατικὴ γίνεται. οἷον, ὑπὲρ τῶν πλεόντων πεποίηκα, ἵνα εἰδότες οἵοις εἰκὸς αὐτοὺς περιπίπτειν κακοῖς, εἰ παρὰ καιρὸν πλέοιεν, φυλάττοιντο. ἑτέρα μετάληψις, ἄλλως ἔδει συμβουλεύειν, καὶ τοίνυν εἰ ὁ διώκων χρήσεται μεταλήψει, χρήσεται καὶ ὁ φεύγων πάλιν ἀντιλήψει. οἷον, ἕκαστος ὡς δύναται συμβουλεύει, καὶ οὐ κεκώλυται, ὁ ῥήτωρ τοῖς λόγοις, τῇ τέχνῃ ὁ ζωγράφος, καὶ γίνεται ἡ θέσις ἀκόλουθος. ἡ γὰρ θέσις ἐστὶ νῦν, ὅτι ἕκαστον δεῖ ὡς δύναται χρήσιμον γίνεσθαι τῇ πόλει. καὶ ὁ κατήγορος δὲ αὐτῇ χρήσεται ἔστιν ὅτε ἀναστρέψας, οἷον, εἰ μή, δεῖ ταῖς τέχναις ἁπλῶς καταχρῆσθαι ἐπὶ λύμῃ τῶν κοινῶν. ἡ ποιότης, ἐστὶν ἡ γνώμη, ὡς δ' ἐξετάζεται, ἐν ὅρῳ μεμαθήκαμεν. Ταυτὶ δὲ οὐχ ὡς διαιροῦντες εἴπομεν, πολλὰ γὰρ παρεῖται, ἀλλ' ὅσον ἐνδείξασθαι τὴν φύσιν τῶν κεφαλαίων. Ἔστι καὶ ἀντιλήψεων εἴδη πλείονα, καὶ ἁπλαῖ μὲν αὐτῶν δύο, διπλαῖ δὲ αὖ προηγουμένως μὲν δύο. γίνονται δὲ αὖ καὶ ἐπιπλοκαί τινες, ὡς καὶ πλείους εὑρίσκεσθαι. ἀλλὰ τὰ προειρημένα γε εἴδη μόνα μαθοῦσιν ὑπάρχει μὴ σφάλλεσθαι περὶ ὀρθῆς διαιρέσεως, μηδὲ ἐν ἐκείνοις. διὸ καὶ περὶ τούτων λέξομεν. τῶν μὲν οὖν ἁπλῶν, ἡ μὲν ἀπ' αὐτοῦ τοῦ πεπραγμένου τὴν κρίσιν ἔχει. οἷον ἀλκιβιάδης μετὰ τὰ κατὰ κύζικον κατορθῶν, εἶτα ἔχων ἐν ἐκπώμασι τὰ περὶ σικελίαν, φεύγει δημοσίων ἀδικημάτων. αὕτη τοῖς προειρημένοις κεφαλαίοις τέμνεται κατὰ τὰ ἐμπίπτοντα· ἡ δὲ ἀπὸ αὐτοῦ τοῦ πεπραγμένου καί τινος ἐπισυμβεβηκότος ἑτέρου, τὴν κρίσιν ἔχει, ὡς ἐπὶ τοῦ ζωγράφου τοῦ τὰ ναυάγια γράψαντος, καὶ ἐπεὶ μὴ καταίρουσί τινες, κρινομένου· καὶ αὖ ἐπὶ τοῦδε μετὰ τὰ κατὰ χερώνειαν ἔπεμψε φίλιππος, διδοὺς αἵρεσιν, ἢ τοὺς χιλίους αἰχμαλώ-

τοὺς λαμβάνειν, ἢ τοὺς χιλίους νεκρούς. ἔστω δὲ Δημοσθένης τοὺς χιλίους ἑλέσθαι νεκρούς, καὶ ἀποκτείναντος Φιλίππου τοὺς αἰχμαλώτους, δημοσίων ἀδικημάτων φεύγει. ἐν τοίνυν ταῖς τοιαύταις ἀντιλήψεσιν ἴδιον κεφάλαιον παρὰ τὰ προειρημένα ἐστὶ τὸ παραγραφικὸν, δυνάμενον καὶ πρὸ τῶν ἄλλων κεφαλαίων τίθεσθαι, καὶ μεταξὺ αὐτῶν, καὶ ὅλως ὃν ἂν τρόπον λυσιτελῇ. ἔστι δὲ τόδε, ὑπὸ τίσι με κρίνεις; εἰ μὲν ὑπὸ τοῖς ὕστερον πραχθεῖσιν, οὐ δεῖ ἐφ' οἷς ἄλλοι ποιοῦσι, ἕτερον εὐθύνεσθαι, οὐδ' εἰ προσήκοντες εἶεν γένει, μήτοιγε δὴ πολέμιοι, καὶ μηδὲν προσήκοντες· εἰ δὲ ἐφ' οἷς ἐξ ἀρχῆς συνεβούλευσα, ἢ ἔπραξα, τότε ἔδει ἀντιλέγειν, ἢ εἴργειν. καὶ εἰ μοὶ ἀντειπὼν ἡττήθης, τί βιάζῃ νῦν; ὡς οὐκ ἐμοῦ μόνον, ἀλλὰ καὶ ψηφισαμένων, ἢ καὶ μὴ κωλυσάντων κατηγορεῖς. εἰ δὲ οὐκ ἀντεῖπες, ἢ οὐκ ἐκώλυσας, ἤτοι ἔχων τι βέλτιον εἰπεῖν ἢ πρᾶξαι, προῆκας τοῦτο τότε, καὶ δύσνους ὢν ἐξελέγχῃ τοῖς κοινοῖς, ἢ οὐδὲν εἶχες ἀντιλέγειν, καὶ τῆς αὐτῆς ἀγνοίας ὑπεύθυνος εἶ ὁμοίως ἐμοὶ τῶν ὕστερον ἀποβεβηκότων, καὶ ἃ μηδενὸς προσδοκήσαντος γέγονε, καὶ ἄξιος εἶ δίκην ὑπέχειν, εἰ δὴ καὶ ἐμὲ ἀξιοῖς. ἔτι ἐν ταῖς τοιαύταις ἀντιλήψεσι πρὸ τοῦ ἀντιθετικοῦ τοῦ ἐμπίπτοντος συγγνωμονικῷ πάντες χρῆσθαι κεφαλαίῳ. οἷον, οὐδεὶς οἶδε μέλλοντα, οὐκ οὖν οὐδὲ ἐγὼ ἀγνοήσας ὑπεύθυνός εἰμι. μεταχειριεῖται δὲ αὐτὸ, ὡς προσήκει, καὶ ὁ τῆς ὅλης τέχνης τῆς ῥητορικῆς ἐπιστήμων. οὐ γὰρ ἱκανὸν τὸ διελεῖν μόνον εἰδέναι, ὅπερ καὶ μόνον τουτὶ τὸ βιβλίον ἐπαγγέλλεται, ἀλλὰ καὶ τὸ εἰδέναι μεταχειρίζεσθαι. καὶ περὶ μὲν ἁπλῶν ἀντιλήψεων ταῦτα. τῶν δ' αὖ διπλῶν, ἡ μέν ἐστι κατὰ συμπλοκὴν, ἡ δὲ κατὰ διαίρεσιν. καὶ κατὰ συμπλοκὴν μὲν, ὅταν δυοῖν ὄντοιν τοῖν

ἐγκλημάτοιν, μὴ δύνηται χωρὶς, ἑκάτερον αὐτῶν εἶναι ἔγκλημα, μετὰ δὲ τῆς τοῦ ἑτέρου συμπλοκῆς. οἷον, ταῖς πάντων γνώμαις ἀντιλέγων τις, αὐτὸς οὐδὲν ἀποφαίνεται, καὶ δημοσίων φεύγει. ἐνταῦθα, ὅτι μὲν δύο ἀντιλήψεις δῆλον. καὶ γὰρ λέγειν καὶ μὴ λέγειν ἔξεστι. καὶ αὖ, ὅτι δύο ἀντιθέσεις, ὁμοίως. οἷον ἀντιλέγω, δεῖ γὰρ ἐφ' οἷς ἁμαρτάνουσιν οἱ λέγοντες, ἀντιλέγειν. πάλιν, οὐ λέγω, οὐδὲν γὰρ δεῖ περὶ τῶν μὴ κατεπειγόντων λέγειν. ἀλλ' ἴδιον τοῦ εἴδους τούτου, τὸ δεῖν ἀπολογουμένους μὲν διαιρεῖν, καὶ χωρὶς περὶ ἑκατέρου ποιεῖσθαι τὸν λόγον, κατηγοροῦντας δὲ συμπλέκειν. κατὰ διαίρεσιν δὲ, διπλῆ ἀντίληψις γίνεται, ὅταν δύο ἐγκλήματα ᾖ, δυνάμενα καὶ χωρὶς ἀλλήλων, κρίσιν ὑποδέχεσθαι. οἷον, πολλάς τις ἀμείβων γυναῖκας, καὶ πολλοὺς τιθέμενος παῖδας, κακοῦ βίου φεύγει. ἐνταῦθα ὁμοίως μὲν ὁ κατήγορος συμπλέξει, ὁ δὲ φεύγων διαιρήσει. δῆλον μέντοι, ὡς καὶ καθ' ἑαυτὸ ἑκάτερον ὑποδεχόμενον κρίσιν, αὐξήσεως μὲν ἕνεκα συμπλέκεται ὑπὸ τοῦ κατηγόρου· μειώσεως δ' αὖ χάριν, διαιρεῖται ὑπὸ τοῦ φεύγοντος· ἐν δὲ τῷ προτέρῳ οὐκ αὐτὸ τοῦτο τῆς αὐξήσεως, ἢ τῆς μειώσεως ἕνεκα οὕτω γίνεται, ἀλλ' ὅτι μηδ' ἄλλως κρίσιν δύναται ἐπιδέξασθαι τὸ πρᾶγμα, ἢ τοῦτον εἰσαγόμενον τὸν τρόπον. ἔφην δύνασθαι καὶ πλείονα εἴδη εἶναι ἀντιλήψεως, αὐτίκα τόδε τῶν προειρημένων διαφέρει. οἷον, γραψάμενοί τινες ἀλλήλους μοιχείας, καθυφέντες τὰς γραφὰς, ἤμειψαν τὰς γυναῖκας, καὶ φεύγουσι κακοῦ βίου. πρῶτον μὲν δὴ δύο πρόσωπά ἐστι τὰ κρινόμενα, ἔπειτα τέσσαρες ἀντιλήψεις καὶ αὗται παρ' ἀμφοῖν, καὶ τοσαῦται παραγραφαί. οἷόν τε γράφεσθαί τινα ἔξεστι, καὶ πάλιν ἀναιρεῖσθαι τὰς γραφὰς, ἔξεστι γαμεῖν ὅθεν βούλεταί τις καὶ ἀποβάλλεσθαι τὴν οὖσαν γυναῖκα.

ταῦτα

ταῦτα πάντα οὐ κεκώλυται, καὶ τούτων γε ἑκάστην ἀνάγκη λύειν τὸν κατήγορον. φανερὰ δὲ ἡ μέθοδος ἐπ' ἀμφοῖν, ἐπί τε τοῦ κατηγόρου καὶ τοῦ φεύγοντος, ἀπὸ τῶν προειρημένων. ἔστι δὲ καὶ ἄλλα εἴδη ἀντιλήψεως, ἃ περιττὸν ἂν εἴη λέγειν νῦν. πᾶσαν γὰρ ἀντίληψιν τοῖς προειρημένοις ἄν τις ὀρθῶς ἑπόμενος, διαιροίη.

## ΠΕΡΙ ΤΩΝ ΑΝΤΙΘΕΤΙΚΩΝ. ἀντιστάσεως, ἀντεγκλήματος. μεταστάσεως. συγγνώμης.

Αἱ ἀντιθετικαὶ πᾶσαι διαιροῦνται προβολῇ, ὅρῳ, ἔστιν ὅτε καὶ τοῖς ἑπομένοις τῷ ὅρῳ μέχρι τοῦ πρός τι, διανοίᾳ, αὐτῇ τῇ ἀντιθέσει, ἣ ἐστὶν ὁμώνυμος τῇ στάσει αὐτῇ τοῦ ζητήματος, ἀντιστατικῇ, ἢ ἀντεγκληματικῇ, ἢ μεταστατικῇ, ἢ συγγνωμονικῇ, ἑτέρᾳ διανοίᾳ, μεταλήψει, πρός τι, ὅρῳ βιαίῳ, θέσει, ἑτέρᾳ μεταλήψει, ἀντιλήψει, ποιότητι καὶ γνώμῃ. ἡ προβολὴ φανερὰ ἀπὸ τῶν συμβεβηκότων. τῷ δὲ ὁρικῷ ὅτε ἐμπίπτει, ὁμοίως χρησόμεθα, καθάπερ καὶ ἐν τῇ ἀντιλήψει προείρηται, καὶ μετὰ τὴν αὔξησιν δηλαδὴ τὰ ἀπ' ἀρχῆς ἄχρι τέλους ὅσα, πρὸς ἃ τῇ διανοίᾳ ὁ φεύγων χρήσεται. παράδειγμα δὲ ἔστω τόδε· ἀριστεὺς πορνεύοντα τὸν υἱὸν ἀπέκτεινε, καὶ φεύγει φόνου. τὸ μὲν οὖν ὁρικὸν οὐκ ἐμπέπτωκε, μετὰ δὲ τὴν προβολὴν θήσει ὁ κατήγορος τὰ ἀπ' ἀρχῆς ἄχρι τέλους, ἐπειδὴ μὴ ἐμπέπτωκε τὸ ὁρικόν, πρὸς ἃ ὁ φεύγων τῇ διανοίᾳ χρήσεται, ἀξιῶν μὴ τὸ γεγονὸς μόνον ἐξετάζειν, ἀλλὰ καὶ μεθ' ἧς γνώμης· πρῶτον μὲν ὅτι οὐ δύσνους ὢν οὐδὲ ἐπιβουλεύων τῷ παιδί, ἔπειτα ὅτι ἄκων μὲν, ἀναγκαίως δέ. εἶτα ἡ ἀντίθεσις ἐνταῦθα ἀντεγκληματικὴ ἐμπέπτωκεν, ὅτι ἄξιος ἦν, καὶ τοῦτον ἐρεῖ κατὰ πόρνου.

ἐν πάσῃ

ἐν πάσῃ γὰρ ἀντιθέσει ἀντεγκληματικῇ ἀντίθεσις τοπικὴ γίνεται. ἐρεῖ δέ τι καὶ ἀντιστατικόν, ὡς ὅτι τῆς τοιαύτης οὐ δεῖ ἐλεεῖν, ἀλλὰ μᾶλλον ἀναιρεῖν, καὶ ὑπὲρ αὐτοῦ πεποίηκε τοῦτο τοῦ παθόντος. ὅλως τε πᾶσαι αἱ ἀντιθετικαὶ, ἀλλήλαις ὡς ἐπὶ τὸ πλεῖστον συμπλέκονται, καὶ οὐ μόνον ἀλλήλαις, ἀλλὰ καὶ ταῖς ἄλλαις στάσεσιν. ἡ ἑτέρα διάνοια τοῦ διώκοντος, ἔστιν ὅτι οὐ διὰ τοῦτο, ἀλλὰ δι' ἄλλο τι. χρὴ δὲ γινώσκειν ὅτι εἰ καὶ μὴ ἐνταῦθα πάνυ οἰκεῖον τὸ κεφάλαιον, ἀλλ' ἐν ἑτέροις οἰκειότατόν τε ὁμοῦ καὶ χρησιμώτατον εὑρίσκεται. ἡ μετάληψις, ὅτι ἄλλως, οὐχ οὕτως ἐχρῆν. τὸ πρός τι, ἀμφοῖν ὄντοιν, πότερον μεῖζον ἀνταποδεικνύντων, τὸ εὐεργέτημα ἢ τὸ ἀδίκημα. ὁ βίαιος ὅρος ὁμοίως ἀμφοτέρων ἐστὶ, γνωριμώτερον δὲ ἔσται τὸ κεφάλαιον ἐπὶ τούτου τοῦ ζητήματος, ἐν λιμῷ καὶ πολιορκίᾳ συμβουλεύων ὁ στρατηγὸς ἐξιέναι καὶ μάχεσθαι, οὐκ ἔπεισε· διέκοψε λαθὼν τοῦ τείχους μέρος τι, καὶ νενικήκασι μὲν ἐξελθόντες, δημοσίων δὲ ὕστερον φεύγει. ὁ οὖν βίαιος ὅρος, εἰ μηδὲ νίκη τοῦτο ἀλλ' ἅλωσις πόλεως, καὶ κατασκαφή. καὶ πάλιν ὑπὸ τοῦ φεύγοντος ὡς ἑτέρως, εἰ μηδὲ διακόψαι τεῖχος τοῦτό ἐστιν, ἀλλὰ στῆσαι πεπτωκός. ἡ θέσις οὖν ἕπεται ἀκολούθως, ὅτι δεῖ τὸν στρατηγὸν καθ' ὃν ἂν ἐγχωρῇ τρόπον εὖ ποιεῖν τὴν πόλιν, καὶ ἀκόντων ἐνίοτε τῶν πολιτῶν δι' ἄγνοιαν τοῦ βελτίστου, καὶ βλάπτειν μικρὰ ἀντὶ μεγάλων· κοινὸν γὰρ τοῦτο ἐν πάσῃ ἀντιθέσει. ἡ ἑτέρα μετάληψις πάλιν τοῦ διώκοντός ἐστι. ἐχρῆν αὐτὸν τοῦτο ἀνακοινοῦν τῷ δήμῳ, τοῖς ταξιάρχαις τοῖς λοχαγοῖς. ἡ ἀντίληψις, στρατηγὸς ἦν, καὶ ἐξῆν δήπου, ἢ ὅτι γε πατρί γε ὄντι ἐξὸν ἦν μὴ βουλεύσασθαι περὶ τοῦ παιδός. καὶ ὅλως τοῖς ἐμπίπτουσι χρησόμεθα, ὡς ἂν ὁ και=

ρος δείξω. ἡ ποιότης καὶ ἡ γνώμη, ὡς γίνεται, ἐν ὅρῳ μεμαθήκαμεν. ἐπεχείρησαν δέ τινες τῶν συγγεγραμμένων τέχνην ῥητορικὴν, τὸ περὶ διαιρέσεως μέρος αὐτοῦ εἴδη τινὰ εἰπεῖν ἀντιστάσεων, καὶ νὴ δία γε τῶν ἄλλων ἀντιθετικῶν στάσεων, οὐχ ἵνα διάφορόν τινα οὖσαν τὴν διαίρεσιν ἐν αὐταῖς διδάξωσιν ἡμᾶς, καθάπερ ἡμεῖς ἔν τε ἀντιλήψει, καὶ ἐν ἄλλοις πεποιήκαμεν, ἦν γὰρ ἂν ἴσως τινὸς ἄξιον, ἀλλ' ὅτι φασὶν, ἡ μὲν ἰδιωτική, ἡ δὲ, δημοσία, ἡ δὲ, μικτή ἐστι, καὶ τοιαῦτά τινα, τὸ δὲ αὐτὸ ἁμάρτημα κἀνταῦθα τῷ ἐν τοῖς περὶ τῶν ἰδεῶν καὶ τρόπων. τουτὶ γὰρ πάλιν τοῖς μὲν περὶ ἰδιωτικοῦ καὶ δημοσίου λόγου ἐπεσκεμμένοις χρήσιμον, θαυμάζω δὲ εἰ ἐγχωρεῖ τὸν περὶ διαιρέσεως ἔτι τοιαύτης ἀγνοοῦντα, ἐκεῖνα εἰδέναι. μὴ γινώσκοντα δὲ τί ἂν ὄφελος γένοιτο τῆς διαφορᾶς τῶν ζητημάτων, ὅτι ἰδιωτικὸν, ἢ ὅτι δημόσιόν ἐστι; ἔτι τὴν συγγνώμην ἀπὸ τῆς μεταστάσεως, οὐ τῷ ἀνυπευθύνῳ καὶ ὑπευθύνῳ ἐχώρισάν τινες, ἀλλ' ἁπλῶς, τὰ μὲν εἴς τι τῶν ἔξωθεν μεθιστάντα τὸ ἀδίκημα, πάντα μεταστατικὰ εἰρήκασιν εἶναι, ἐάν τε χειμὼν, ἐάν τε βάσανοι, ἐάν τε ἄλλο τοιοῦτον τρόπον ᾖ· τὰ δὲ εἰς ἴδιόν τι πάθος ψυχῆς μόνα συγγνώμης εἶναι ὡρίσαντο, οἷον ἔλεον, ἢ οἶκτον, ἤ τι τοιοῦτον. ἴσως ταῦτα οὐ κακῶς, διαφέρει δὲ οὐδὲν πλὴν τοῦ ὀνόματος τῆς συγγνώμης. ᾧ κἂν ταῖς μεταστάσεσι πολλάκις ἄν τις χρήσαιτο καλῶς, κἂν ταῖς ὁμολογουμέναις συγγνώμαις. πάλιν αὖ τοὐναντίον τῇ μεταστάσει χρήσεται. τουτὶ δὲ οὐ τοῦ διαιρετικοῦ εἴδους οἶμαι, τοῦ δὲ τοῖς καιροῖς εἰδέναι χρῆσθαι καὶ μεθοδεύειν ὀρθῶς τὰ νοήματα.

## ΠΕΡΙ ΤΩΝ ΣΤΑΣΕΩΝ.

## ΠΕΡΙ ΠΡΑΓΜΑΤΙΚΗΣ.

Η πραγματικὴ διαιρεῖται νομίμῳ, δικαίῳ, συμφέροντι, δυνατῷ, ἐνδόξῳ, τῷ ἐκβησομένῳ. ἔστι δὲ ἡ μὲν ἔγγραφος πραγματική, ἡ δὲ, ἄγραφος. ἔγγραφος μὲν, ἡ ἀπὸ ῥητοῦ τὸ ζήτημα ἔχουσα, οἷον ἐν τρισὶν ἡμέραις περὶ πολέμου βουλεύεσθαι νόμος ἐκέλευε, ἐλάτειαν ἔχοντος φιλίππου, γράφει δημοσθένης αὐθημερὸν ἐξιέναι· ἄγραφος δὲ, ἡ μὴ ἀπὸ ῥητοῦ, οἷον ἀξιοῖ μετὰ τὰ κατὰ πύλον κλέων πύλιος καλεῖσθαι.

τὸ τοίνυν νόμιμον ἐν μὲν τῇ ἐγγράφῳ, μιᾷ τῶν νομικῶν ὑποπίπτει στάσεων, καὶ κατ' αὐτήν γε διαιρεθήσεται, αὐτίκα δὲ περὶ τῶν νομικῶν στάσεων λέξομεν, ἐν δὲ τῇ ἀγράφῳ, τὸ ἔθος ὡς νόμιμον ἐξεταστέον, οἷον ὅτι καινὰ ἀξιοῖς, καὶ οἷα, καὶ ὅσα οὐδείς πω πρότερον, ταῦτα δὲ πάλιν ἐνστάσει καὶ ἀντιπαραστάσει μεθοδεύσομεν. ἀντιπαραστάσει μὲν, οἷον κλέων ἀξιοῖ μετὰ τὰ ἐν πύλῳ πύλιος καλεῖσθαι, καινὰ ἀξιοῖς, καινὰ ἀξιῶ, καινὰ γὰρ καὶ τὰ πεπραγμένα· ἐνστάσει δὲ, εἶτα μέν τοι οὐδὲ καινά, καὶ γὰρ καὶ περικλῆς, ὀλύμπιος ἐκλήθη. ποτέρῳ δὲ πρότερον χρηστέον, τῇ ἐνστάσει, ἢ τῇ ἀντιπαραστάσει, οἱ καιροὶ διδάσκουσιν, ὡς καὶ ἐν στοχασμῷ διωρισάμεθα. τὸ δίκαιον μιᾷ τῶν δικαιολογικῶν ὑποπίπτει, καὶ κατ' ἐκείνην γε διαιρεθήσεται, ὡς ἂν ἐγχωρῇ τοῖς κεφαλαίοις. τὸ συμφέρον διττόν ἐστιν, ὅτι χρήσιμον, καὶ ὅτι ἀναγκαῖον, οἷον χρήσιμον προλαβεῖν ὀλυνθίους, μᾶλλον δὲ ἀναγκαῖον, ἵνα μὴ μέγας ὁ φίλιππος ἑλὼν ἐκείνους γένηται καθ' ἡμῶν. τοῦτο δὲ διχῶς ἐξετάσεις, τί ποιοῦσιν ἡμῖν, τόδε τι πρᾶγμα περὶ οὗ ἡ βουλὴ, συμβήσεται, καὶ τί μὴ ποιοῦσιν.

ἑκάτερον δὲ αὐτῶν πάλιν τετραχῶς, οἷον, εἰ μὲν ἑλοίμεθα αὐτὸν, τὰ μὲν ὑπάρχοντα ἡμῖν ἀγαθὰ παραμενεῖ, καὶ τὰ οὐκ ὄντα προσέσται, τὰ δὲ αὖ ὑπάρχοντα φαῦλα ἀποτρεψόμεθα, καὶ τὰ οὐκ ὄντα οὐ προσληψόμεθα. εἰ δὲ μὴ ἑλοίμεθα, τὰ μὲν ὑπάρχοντα ἀγαθὰ ἀπολεῖται, τὰ δὲ οὐκ ὄντα μὲν, προσγενησόμενα δὲ, οὐ προσέσται. καὶ πάλιν, τὰ μὲν ὑπάρχοντα φαῦλα παραμενεῖ, τὰ δὲ οὐκ ὄντα προσέσται. τὸ δ' αὖ δυνατὸν ὑποδιαιρήσεις, πρῶτον μὲν ὅτι οὐ χαλεπὸν δεικνὺς, συστάσει χρώμενος· εἶτα ἀντιπαραστάσει, ὅτι εἰ καὶ χαλεπὸν, ἀλλ' ἀναγκαῖον, καὶ ὅτι δεῖ ὑπὲρ τῶν χρηστῶν καὶ πόνους καὶ κινδύνους ὑφίστασθαι, καὶ ὅτι ὑπὲρ τοῦ μὴ χαλεπωτέροις περιπεσεῖν· εἶθ' ὅτι καὶ ῥᾴδιον. ἐὰν δὲ περὶ πολέμου ἤ τινος τοιούτου ᾖ, τὸ δυνατὸν ἀπὸ τῶν παρακολουθούντων τοῖς προσώποις σκόπει, ὡς ἐν ὀλυνθιακῶν δευτέρῳ ὁ δημοσθένης, πῶς ἔχει φίλιππος; ὅτι ἀθυμεῖ, ἢ ὡς τὰ ἔξωθεν, οἷον θετταλοὶ, ἰλλυριοὶ, τὰ χρήματα, οἱ περὶ αὐτὸν ξένοι, καὶ πεζέτεροι, καὶ τὰ ἑξῆς. τούτῳ δὲ ἀντέκειτο μὲν ἡ περὶ τῆς ἀθηναίων δυνάμεως ἐξέτασις, διότι δὲ παρῆκεν αὐτὴν ὁ ῥήτωρ, ὁ τὸν λόγον ἐξετάζων κατὰ θεωρίαν δείξει δηλαδή. ἀλλ' ἥ γε διαίρεσις ἀπαιτεῖ, θαυμαστὸν δὲ οὐδὲν εἰ παρεῖται. ἐπεὶ καὶ τῶν ἄλλων κεφαλαίων τινὰ ἔγκειται καὶ παραλέλειπται κατὰ φύσιν, καὶ ἡμεῖς πολλάκις παραλείπομεν, οὐκ ἐν πραγματικῇ μόνον, ἀλλὰ καὶ πανταχοῦ. τὴν μὲν γὰρ ὁδὸν ἡ τέχνη δείκνυσι τῆς διαιρέσεως, τῇ δὲ φύσει τοῦ πράγματος τὴν τέχνην προσακτέον κατὰ τὸ ἐγχωροῦν. τὸ μὲν γὰρ τῆς εὑρέσεώς ἐστι, τὸ δὲ τῆς κρίσεως. ἄλλως τε οὐχ ὅσα δ' ἂν εὕρωμεν, ἐροῦμεν, ὅσα δὲ ἂν κρίνωμεν εἶναι ῥητέα. τὸ ἔνδοξον ὁμοίως τῷ συμφέροντι, οἷον, τίς δόξα ὑπάρχουσα ἡμῖν παραμενεῖ, καὶ τίς οὐκ



Universitäts- und
Landesbibliothek Düsseldorf

οὖσα περιέσται, εἰ ποιοῖμεν ταῦτα περὶ ὧν ἡ βουλή· καὶ τίνα ἀπωσόμεθα ἀδοξίαν οὖσαν, καὶ τίνα οὐ προσληψόμεθα μὴ οὖσαν, προσδοκωμένην δέ. καὶ πάλιν, εἰ μὴ ποιοῖμεν, τίνα αἰσχύνην οὖσαν οὐκ ἀπωσόμεθα, καὶ τίς οὐκ οὖσα καταλήψεται ἡμᾶς· καὶ τίς ὑπάρχουσα ἡμῖν δόξα διαφεύξεται, καὶ μὴ ὑπάρχουσα προσγενομένη δὲ ἂν οὐ προσέσται. τὸ δὲ ἐκβησόμενον, καθ' ὑπόθεσιν λαμβάνεται ἐφ' ἑκάτερα τῶν ἀποβαινόντων, οἷον, ὅτι ἐάν τε κρατήσωμεν, ἐάν τε μή, λυσιτελεῖ τὸ βοηθῆσαι. ἤδη δὲ καὶ τὸ ψηφίσασθαι μόνον, ὡς ἐν φιλιππικοῖς, οἷον, ὅτι παντελῶς οὐδ' εἰ μὴ ποιήσετε νὴ Δία, ὡς ἔγωγε κρίνω, εὐκαταφρόνητον ἔσται. ἵν' διὰ τὸν φόβον εἰδὼς εὐπρεπῶς ἡμᾶς, ἀπόσχηται, ἢ παριδὼν ταῦτα, ἀφύλακτος ληφθῇ. καὶ πάλιν, ὅτι χωρὶς ἡμῶν ἐάν τε ἡττηθῶσιν οἱ δεόμενοι ἡμῶν σύμμαχοι, ἐάν τε κρατήσωσι, βλαβερὸν ἐφ' ἑκάτερα, ὡς ἐν τῷ ὑπὲρ μεγαλοπολιτῶν.

## ΠΕΡΙ ΜΕΤΑΛΗΨΕΩΣ.

Ἡ μετάληψις πάλιν, ἡ μὲν ἔγγραφός ἐστιν· ἡ δέ, ἄγραφος. καὶ ἡ μὲν ἔγγραφος τελεία τέ ἐστι παραγραφή, καὶ τὸ πρότερον ζήτημα περὶ μίαν εὑρίσκεται στάσιν τῶν νομικῶν, περὶ ὧν αὐτίκα λέξομεν, ὡς εἴρηται. ἔστι δὲ ὅτε ὁρικῶς τέμνεται τὸ πρότερον ζήτημα, τὸ δὲ μετὰ τὴν παραγραφὴν καθ' ἑτέραν τινὰ διαιρεθήσεται τῶν λογικῶν στάσεων, οἷον τὸν ἀντιλέγοντα νόμῳ, εἴσω τῶν τριάκοντα ἡμερῶν δέον ἀντιλέγειν, πρὶν τοι κυρωθῆναι, μετὰ ταῦτα δέ, μὴ ἐξέστω· πρεσβεύοντός του πένητος, ὁ πλούσιος ἐχθρὸς ὤν, εἰσήνεγκε νόμον, τὸν εἴσω πεντεταλάντων οὐσίαν κεκτημένον μὴ πολιτεύεσθαι μὴ δὲ λέγειν· ἐπανῆκε με-

τὰ τὰς τριάκοντα ὁ πένης, καὶ ἀντιλέγειν βούλεται τῷ νόμῳ, ἡ προτέρα ζήτησις, κατὰ ῥητὸν καὶ διάνοιαν γίνεται, πότε καὶ τίσιν εἴσω τῶν τριάκοντα ἡμερῶν προστάττει ἀντιλέγειν ὁ νόμος, καὶ ὅτι οὐδὲ τοῖς πρεσβεύουσιν, οὐδὲ τοῖς ἀποῦσι, καὶ ὅσα ἄλλα τοιαῦτα· ἡ δευτέρα δὲ κατὰ τὴν πραγματικήν, εἰ νόμιμον τὸ εἰσενεχθὲν πρᾶγμα, εἰ δίκαιον, καὶ τὰ ἑξῆς. ἐμπέπτωκε δὲ ἐνταῦθα καὶ δεύτερόν τι, ὡς παραγραφικόν, οἷον οὐκ ἔχοντα πέντε τάλαντα, οὐ δυνατὸν λέγειν. δῆλον δὲ ὡς καὶ πρὸς τοῦτο ἀπαντήσεται τῇ φύσει τοῦ πράγματος, ἔτι γὰρ τῆς ζητήσεως οὔσης περὶ τοῦ εἰ χρὴ δοκιμασθῆναι αὐτόν, οὐχ οἷόν τε ἤδη ὡς κυρίῳ χρῆσθαι. ἡ δὲ ἄγραφος διαιρεῖται προβολῇ, παραγραφικῷ, τῷ ἀπὸ τοῦ ῥητοῦ, μεταλήψει, συλλογισμῷ, ὅρῳ, ἀντιθέσει, ἑτέρᾳ μεταλήψει, ἀντιλήψει, θέσει, ποιότητι καὶ γνώμῃ, οἷον ἀριστεύσας τις ᾔτησε πολίτου φόνον, καὶ ἔλαβεν, εὕρηται προαπεκτονὼς αὐτόν, καὶ φεύγει φόνου. ἡ προβολή, ἀνδροφόνος εἶ. τὸ παραγραφικόν, οὐ δώσω λόγον ὑπὲρ τοῦ παραδοθέντος μοι πρὸς ἀναίρεσιν ὑπὸ τοῦ δήμου. ἡ μετάληψις, οὐκ ἦν ὅτε ἀνῃρεῖτο οὔπω παραδεδομένος. τὸ γὰρ κατὰ τὸν χρόνον, μεταλαμβάνει δηλαδή, καὶ τὸ μὲν πρᾶγμα συγχωρεῖ, τὸ δὲ περὶ τοῦ πράγματος κρίνει, ἐν ᾧ ὅτι οὐδ' ἂν ἔδωκεν ὁ δῆμος εἰ παρῆν καὶ ἀντέλεγεν. ὁ συλλογισμός, ὅτι οὐδὲν διαφέρει ἢ νῦν ἢ τότε. λέγομεν δὲ οὐχ ὡς διαιροῦντες, ἀλλ' ὡς πρὸς ἔνδειξιν τῆς φύσεως τῶν κεφαλαίων. ἐπεὶ πολλά ἐστι τοῖς διαιρετοῖς, ἐνταῦθα εἴπομεν. ὁ ὅρος, ὅτι πάμπολυ διαφέρει. ἡ ἀντίθεσις, εἰ ὅπου καὶ ὁ δῆμος αὐτοῦ κατεψηφίσατο, ἄξιος ἦν. ἑτέρα μετάληψις, ὅτι ἐχρῆν αὐτὸ τοῦτο εἰπόντα σε ὡς ἀπέκτεινας, καὶ ὅτι ἄξιος ἦν ἀποσφαγῆναι, καὶ αἰτεῖν ἄφεσιν. ἧς ἀκόλουθος ἡ ἀντίληψις, ὅτι

ἐξῆν ὅπερ ἐβουλόμην αἰτεῖν, καὶ οὐχ ὑμᾶς ὁριστὰς ἔδει μοι εἶναι τοῦ τρόπου καθ' ὃν αἰτεῖν ἐχρῆν. ἡ θέσις, εἰ δεῖ ταῦτα ἐπιτρέπειν, ἢ οὐ δεῖ τῆς ἀριστείας ἐπὶ τοῖς συκοφάνταις ποιεῖν. ἡ ποιότης καὶ ἡ γνώμη, ὡς ἐν τοῖς ἔμπροσθεν.

## ΠΕΡΙ ΡΗΤΟΥ ΚΑΙ ΔΙΑΝΟΙΑΣ.

Ἡ κατὰ ῥητὸν καὶ διάνοιαν ζήτησις διαιρεῖται προβολῇ ῥητοῦ, τῇ διανοίᾳ, τῷ μὴ προσδιωρίσθαι, πάλιν διανοίᾳ τοῦ νομοθέτου, συλλογισμῷ, ὅρῳ, ἀντιθέσει, μεταλήψει, πρός τι, ὅρῳ βιαίῳ, θέσει, ἑτέρᾳ μεταλήψει, ἀντιλήψει, ποιότητι, γνώμῃ. ἡ προβολή ἐστιν αὐτὸ τὸ παρὰ τὸ ἔγγραφον γεγονός, οἷον ξένος εἰ ἀνέλθοι ἐπὶ τὸ τεῖχος, τεθνάτω· πολέμου ὄντος ἀνελθών τις, ἠρίστευσε, καὶ ὑπάγεται τῷ νόμῳ. ἡ τοίνυν προβολὴ, ὅτι ἀνῆλθες. ἡ διάνοια διττῶς ἐξετάζεται, τοῦ τε νομοθέτου καὶ τοῦ ὑπευθύνου. τοῦ μὲν νομοθέτου, οἷον, πότε λέγει τοὺς ἀνελθόντας; ἐπὶ τίσι; καὶ διατί; τοῦ δὲ ὑποκειμένου προσώπου τοῦ ῥητοῦ, οἷον οὐκ εἰ ἀνῆλθον δεῖ σκοπεῖν μόνον, ἀλλὰ καὶ μεθ' ἧς γνώμης, καὶ ὅτι μὴ δυσνοίᾳ. τὸ μὴ προσδιωρίσθαι τοῦ ῥητοῦ, τοῦ χρωμένου ἐστὶν, οἷον οὐδὲν τούτων προσδιώρισεν ὁ νομοθέτης, ἀλλ' ἁπλῶς εἶπε, τὸν ξένον μὴ ἀνιέναι. ἡ δὲ ἑτέρα διάνοια κοινή ἐστιν ἀμφοῖν. ὁ μὲν γὰρ φεύγων πρὸς τὸ μὴ προσδιωρίσθαι ἀπαντῶν, χρήσεται αὐτῇ, οἷον οὐδὲν ᾤετο δεῖν περὶ τῶν φανερῶν ὁ νομοθέτης διορίζειν, κελεύων τοὺς ἐπ' εὐνοίᾳ μὴ κεκωλῦσθαι· ὁ δὲ αὖ διώκων ἐρεῖ, ὅτι ἄτοπον ἡγήσατο ἁπλῶς, ἐπιτρέπειν ἀνιέναι τοὺς ξένους.

ὁ συλλογισμὸς

ὁ συλλογισμός, εἰ μηδὲν διαφέρει τὸ προσδιωρίσθαι, εἰ μὴ τῷ ἐγγράφῳ· ὃ καὶ ἄνευ ἐκείνου ἐστὶ φανερόν. ὁ ὅρος ἔτι πλεῖστον διαφέρει. καὶ ταύτῃ, ἡ ἀντίθεσις αὐτό ἐστι τὸ γεγονός, καὶ πλέον ἔξεστι γε ὁ φεύγων ἐν αὐτῇ. ἡ μετάληψις, οἷον εἴ τι ἑτέρως δικαίως ἐξῆν σοι ποιεῖν εὖ τὴν πόλιν εἰ προῄρου, καὶ μὴ παρανομεῖν. τὸ πρός τι, ὡς ἐν ταῖς ἀντιθετικαῖς, πότερον μεῖζον, τὸ εὐεργέτημα ἢ τὸ ἀδίκημα, καὶ ἔστι κοινὸν ἀμφοῖν. καὶ τὰ λοιπὰ δὲ κεφάλαια, οὕτως ὡς ἐν ταῖς ἀντιθετικαῖς ἐξετασθήσεται.

## ΠΕΡΙ ΑΝΤΙΝΟΜΙΑΣ.

Ἡ ἀντινομία, ἔστι μὲν οἷόν τι διπλοῦν ῥητὸν καὶ διάνοια, ὡς κἀν τῇ μεθόδῳ καθ' ἣν ἐπέγνωμεν τὰς στάσεις, ὡρισάμην, καὶ τοῖς γε πλείστοις κεφαλαίοις κοινωνεῖ τῇ στάσει ταύτῃ, διπλοῖς δηλαδὴ γινομένοις, ἔχει δέ τι καὶ ἴδιον, ὡς φανεῖται. οὑτωσὶ δὲ διαιρήσεις, προβολὴ ῥητοῦ, διάνοια, ἑτέρα προβολὴ ῥητοῦ, καὶ πάλιν ἑτέρα διάνοια. τῶν δὲ ἐφεξῆς κεφαλαίων τινὰ ὡς ἐπὶ τὸ πλεῖστον ἐκλείπει, διὰ τὸ ἰσάζον, οἷον ἔπεστι μὲν τούτοις ὥσπερ ἐν τῷ ῥητῷ καὶ τῇ διανοίᾳ τὸ μὴ προσδιωρίσθαι, καὶ ἡ ἑτέρα διάνοια τοῦ νομοθέτου, καὶ ὁ συλλογισμός, καὶ ὁ πρὸς αὐτὴν ὅρος· ἰσάζειν δέ πως δοκεῖ ταῦτα, ἐπ' ἀμφοῖν τοῖν μεροῖν παραπλησίως λέγεσθαι δυνάμενα. καὶ χαλεπὸν αὐτοῖς χρῆσθαι δυνηθῆναι. τὰ μέντοι μετὰ ταῦτα κεφάλαια δῆλά ἐστιν, οἷον ἀντίθεσις, μετάληψις, πρός τι, ὁ βίαιος ὅρος, ἡ θέσις, ἑτέρα μετάληψις, ἀντίληψις, εἶτα ποιότης καὶ γνώμη· ἴδιον δὲ ἀντινομίας κεφάλαιον παρὰ τὴν ἐν τῷ ῥητῷ καὶ τῇ διανοίᾳ διαίρεσιν, ἡ περὶ τοῦ πότερον περιέχει καὶ πότερον περιέχεται ἡ τῶν ῥητῶν

ζήτησις, οἷον, ποτέρου γενομένου μηδετέρου ἀναιρεθήσεται τῶν ῥητῶν, ὅπερ κεφάλαιον μετὰ τὸ πρός τι τεθήσεται. ἀπὸ δὲ τοῦ παραδείγματος ἔσται φανερὰ πάντα, οἷον ἀποκήρυκτος μὴ μετεχέτω τῶν πατρῴων, καὶ ὁ ἐπιμείνας χειμαζομένῃ νηὶ δεσπότης ἔστω τῆς νεώς. ἀποκήρυκτος ἐπιμείνας πατρῴᾳ νηὶ χειμαζομένῃ, κωλύεται δεσποτεῖν αὐτῆς. ἡ προβολὴ τοῦ ῥητοῦ, ἀποκηρύκτῳ ὄντι σοι οὐ μέτεστι τῶν πατρῴων. ἡ διάνοια, τοῦτο λέγει δήπουθεν, ὅταν ὡς κληρονομήσων, ὅταν ὡς διαδεξόμενός τι τῶν τοῦ πατρὸς κατὰ τοὺς περὶ τῶν παίδων νόμους ἀντιποιῆταί τις, οὐχ ὅταν ὡς ἀλλότριος καὶ μηδὲν προσήκων· εἶτα ἔπεισιν ἡ ἑτέρα προβολὴ τοῦ νόμου, οἷον, ἄλλως τε καὶ ὅταν νόμος οὕτω σαφῶς διδῷ, τὸ κύριον εἶναι τὸν ἐπιμείναντα, τῆς νεώς. πρὸς ἣν ἡ ἑτέρα διάνοια, ἀλλὰ τηνικαῦτα δίδωσιν ὅταν μὴ πατρῷον ᾖ τὸ κτῆμα, ὅταν ἀλλότριον, ὅταν μὴ ἀποκήρυκτός τις ᾖ, ὅταν μὴ νόμῳ εἰργόμενος. εἶτα ἔστι τὸ μὴ προσδιωρίσθαι, καὶ ἰσάζει. τάχα δὲ ἄν τις αὐτὸ καὶ μεθοδεύσειε διαιρῶν, νῦν δὲ ἡμεῖς οὐ διαιροῦμεν, ἀλλὰ τὰ κεφάλαια δείκνυμεν, καί ἐστι φανερά. ἀκολούθως δὲ τούτῳ τῷ κεφαλαίῳ καὶ ὁ ὅρος καὶ ὁ συλλογισμὸς ἰσάζει. ἡ μέν τοι ἑτέρα διάνοια, ἥ ἐστι γνώμη τοῦ νομοθέτου, διαφόρως ὑφ᾽ ἑκατέρου μέρους ἐξετάζεται ἐπ᾽ ἀμφοῖν τοῖν νόμοιν, οἷον διατί τὸν ἀποκήρυκτον εἴργει ὁ νομοθέτης τῶν πατρῴων. ὁ μὲν διώκων ἐρεῖ, ὅτι νομίσας οὐκ ἄξιον εἶναι τὸν ἀπηχθημένον τῷ πατρὶ, τῶν ἐκείνου τινὸς μετέχειν, ὁ δὲ φεύγων, οὐχὶ, ἀλλ᾽ ἵνα καὶ καθ᾽ ἑαυτοὺς πονοῦντες, καὶ παραβαλλόμενοι τοῖς κινδύνοις, κτᾶσθαι ἀναγκάζωνται, καὶ τὴν βλαβείαν δι᾽ ἣν ἀπεκηρύχθησαν καὶ τὴν τρυφὴν ἀπώθωνται, ὃ νῦν ἐγὼ πεποίηκα ἐπιμείνας τῇ νηΐ. πάλιν δὲ, διατί δίδωσι τῷ

ὑπομείναντι, τὴν ναῦν; ἵνα δὴ καρτεροῖεν τοῖς κινδύνοις οἱ ἐμπλέοντες· ἢ, ὅ, τι ἂν εὑρίσκωσιν ἀμφότεροι. πολλάκις δὲ διεμαρτυράμην, ὡς σὺ διαιρῶν λέγω νῦν, ὅσον δὲ πρὸς ἔνδειξιν τῶν κεφαλαίων ταῦτα ἐκτίθεμαι. ἡ δὲ ἀντίθεσις διπλῆ παρ' ἀμφοῖν, οἷον, ἀλλὰ ἀποκήρυκτος εἶ, καὶ καταδρομὴ ἐνταῦθα τοπική. ὁ δὲ, ἀλλ' ἐπέμεινα τῇ νηῒ, καὶ ἔστιν οἷον ἀντιστατικὸν τι ἐνταῦθα, καὶ ἔκφρασις τῶν περὶ τὸν χειμῶνα. ἡ μετάληψις πάλιν διπλῆ· ὁ μὲν γὰρ ἀποκήρυκτος ἐρεῖ, ὅτι οὐ δικαίως ἂν εἰργοίμην τῆς νηὸς, εἰ καὶ τοιοῦτος εἴην, οὐ γὰρ νῦν καιρὸς ταῦτα κατηγορεῖν· ὁ δὲ, ἐφ' ἑτέροις ἔδει ἀνδρίζεσθαι καὶ μὴ ἐπὶ τούτοις. τὸ πρός τι, πότερον φυλάξασθαι βέλτιον τῶν νόμων, εἰ ἐγχωροίη λέγειν ὅτι ὁ μὲν, παλαιός· ὁ δὲ, νέος. καὶ ὁ μὲν, ὑπὸ σόλωνος τεθεὶς, ἂν οὕτω τύχῃ· ὁ δὲ, ὑπὸ τοῦδε. καὶ ὁ μὲν, κοινός· ὁ δὲ, ἴδιος. καὶ ὁ μὲν, περὶ τὰ μέγιστα ἔχων· ὁ δὲ περὶ τὰ μικρά. καὶ ὅτι τούτου μὲν λυθέντος, μεγάλα ἡ πόλις βλαβήσεται· θατέρου δ' εἰ λυθείη, βραχέα, ἢ οὐδέν. ἐπὶ τούτοις δ' ἐστὶ καὶ τὸ ἴδιον μᾶλλον ἀντινομίας κεφάλαιον, οἷον πότερον τὸ περιέχον καὶ πότερον τὸ περιεχόμενον, οἷον ποτέρου γενομένου οὐδέτερος ἀναιρεθήσεται τῶν νόμων. κἀνταῦθα μὲν χαλεπῶς φανεῖται ἡ φύσις τοῦ κεφαλαίου, ἐπὶ δὲ τοῦ ζητήματος τοῦδε, σαφέστερον ἔσται, δύο τις κατὰ ταυτὸν ἐβιάσατο κόρας, καὶ ἡ μὲν, γάμον τοῦ βιασαμένου, ἡ δὲ, θάνατον αἱρεῖται. ἡ γὰρ ἀξιοῦσα αὐτὸν τεθνάναι, ἐρεῖ, ὅτι ἀμφοτέραις δώσει δίκην εἰ τεθναίη· εἰ δὲ δὴ γήμῃ τὴν ἑτέραν, θάτερον μέρος ἄκυρον ἔσται τοῦ νόμου. ὁ βίαιος ὅρος, εἰ μηδὲ τοῦ πατρός ἐστιν ἡ ναῦς, ἀλλὰ τοῦ κλύδωνος. ὁ δὲ, ὅτι τοῦ πατρὸς, ἀλλ' οὐχ ἑτέρου τινός. ἡ θέσις δὲ καὶ τὰ ἑξῆς εἰ ἐμπίπτοι, ἐξετασθήσεται ὡς ἐν ταῖς ἀντιθετικαῖς.

## ΠΕΡΙ ΣΥΛΛΟΓΙΣΜΟΥ.

Ο συλλογισμὸς διαιρεῖται προβολῇ πράγματος, παρὰ ῥη-
τὸν, παρὰ συλλογισμῷ, ὅρῳ, γνώμῃ νομοθέτου, πηλι-
κότητι, εἶτα ὅρῳ βιαίῳ, παρὰ πρός τι, ἀντιθέσει ἔστιν ὅτε, ἥτις
ἂν ἐμπέσοι, εἰρεθήσεται καὶ μετάληψις, ἢ ἔπειτα πάντως καὶ
ἀντίληψις, εἶτα ποιότητι καὶ γνώμῃ, καὶ ὅλως, πλὴν τῆς ἐ-
ναλλαγῆς τῶν πρώτων κεφαλαίων, ὁ συλλογισμὸς κατὰ τὸν ὅ-
ρον διαιρεῖται· ἐπὶ δὲ τοῦ παραδείγματος ἔσται φανερώτερον, οἷον
ὀνομαστὶ κωμῳδεῖν ὁ νόμος ἐκώλυσεν· αὐτοπροσώπως εἰσά-
γων τις τοὺς κωμῳδουμένους, ὑπάγεται παρὰ νόμῳ, ὡς
ὀνομαστὶ κωμῳδῶν. ἡ προβολὴ τοῦ πράγματος, παρὰ τὸν νό-
μον κωμῳδεῖς τοὺς πολίτας. τὸ ῥητὸν, καὶ μὴν οὐκ ὠνόμα-
σα οὐδένα, τοῦτο γάρ ἐστι τὸ κωλυόμενον. ὁ συλλογισμὸς,
εἰ μηδὲν διαφέρει τοῦτο ἐκείνου. ὁ ὅρος, εἰ πλεῖστον διαφέρει. ἡ
γνώμη τοῦ νομοθέτου κοινὴ, τί βουλόμενος ἐκώλυσε τοῦτο ὁ νο
μοθέτης· ὁ μὲν διώκων ἐρεῖ, ὅτι ἀνελεῖν βουλόμενος τὸ ἁπλῶς
καὶ ἀνευθύνως διαβάλλειν ὁντιναοῦν τῶν πολιτῶν, ἐφ' ὅ-
τῳ ἂν οὗτοι ἐθέλωσιν ἐγκλήματι· ὁ δ' αὖ φεύγων οὐ διὰ τοῦ-
το ἐρεῖ, ἀλλ' ἐπιστρέφεσθαι μὲν αὐτοὺς διὰ τῆς κωμῳδίας
ἐβούλετο, οὐκοῦν ἀνεῖλε παντάπασι τὴν κωμῳδίαν. ὑπο-
μνήματα δὲ τοῖς μετὰ ταῦτα γενησομένοις, ἢ τοῖς τότε οὖσιν
ἀνθρώποις λοιδορίαν ἔχοντα τῶν πολιτῶν τινος, οὐκ ἐβού-
λετο εἶναι· μὴ ὄντων δὲ τῶν ὀνομάτων, ἡ μὲν ἀποστροφὴ γί-
νεται διὰ τῶν προσώπων, ἡ δὲ εἰς τὸν μεταταῦτα χρόνον
μνήμη παρήκηται, καὶ ἡ πρὸς τοὺς ἄλλους ἀνθρώπους δια-
βολή. ἡ πηλικότης, ὡς ἐν τῷ ὅρῳ, ὅτι μέγα τὸ γινόμε-
νον. ὁ βίαιος ὅρος, εἰ καὶ ὀνομαστὶ κωμῳδεῖν τοῦτό ἐστι.

τὸ πρός τι καὶ τὰ ἑξῆς πάντα, καθάπερ καὶ ἐν τῷ ὅρῳ ζητεῖται προσθήσεται. πλείονα δὲ εἴδη ἐστὶ συλλογισμῶν, ἃ δὴ πάντα ὁμοίως διαιρήσεις. ὅμως μέντοι ἐκκείσθω αὐτῶν παραδείγματα, γίνονται γὰρ ἤτοι ἀπὸ τοῦ ἴσου, ὡς ὁ προειρημένος· ἢ ἀπὸ τοῦ μείζονος, οἷον ἐξῆν ἀποκτιννύναι τοὺς κατιόντας φυγάδας, μαστίξας τινὰ κατιόντα τις, φεύγει παρανόμου τιμωρίας, ὁ γὰρ τὸ μεῖζόν φησι δεδῶσθαι, καὶ τὸ ἔλαττον ἔδωκεν· ἢ ἀπὸ τοῦ ἐναντίου, οἷον τῷ ἀριστεῖ γέρας εἶναι, λιπόντα τινὰ τὴν τάξιν ἀπέκτεινεν ὁ στρατηγὸς, καὶ φεύγει φόνου, οὐ γὰρ ἁπλῶς τῷ ἀντεγκλήματι, ἀλλὰ μετὰ τῶν προειρημένων χρήσεται. ἢ ἀπὸ τοῦ ἐλάττονος κατὰ τὸ ἐξ αὐτοῦ ἀποβαῖνον, οἷον ἔξεστι στίζειν τοὺς μοιχοὺς, στίζων τις ἀπέκτεινε, καὶ φόνου φεύγει, ὁ γὰρ τὸ πρότερόν φησι δεδῶσθαι, καὶ τὸ ἐξ αὐτοῦ ἀποβαῖνον ἔδωκε.

## ΠΕΡΙ ΑΜΦΙΒΟΛΙΑΣ.

Ἡ ἀμφιβολία διαιρεῖται προβολῇ ῥητοῦ, ἑτέρᾳ τοῦ αὐτοῦ ῥητοῦ προβολῇ κατὰ τὸ ἀμφίβολον, διανοίᾳ τοῦ νομοθέτου, τῷ περιέχοντι καὶ τῷ περιεχομένῳ, ἀντιθέσει, μεταλήψει, θέσει, ποιότητι, καὶ γνώμῃ. εἰδέναι δὲ χρὴ, ὅτι εἰ μὲν περὶ αὐτοτελὲς ζήτημα ἡ ἀμφιβολία εἴη, γλίσχρον αὐτὸ ἀνάγκη εἶναι, καὶ κατὰ τὴν διαίρεσιν ὡσαύτως ὑπόψυχρον· μέρος δὲ εἰ γένοιτο ζητήματος, χρήσιμον τὸ περὶ τὴν διαίρεσιν αὐτῷ γίνεται, ἐν δὲ τοῖς ἀπὸ χρησμολογίων πλαττομένοις ζητήμασι πᾶσιν τοῦθ᾽ ὅπερ ἐστὶν εὑρίσκεται. πρὸς οὖν ἐπίσκεψιν τῶν κεφαλαίων ἔσω ζήτημα τόδε, ἑταίρα χρυσία εἰ φοροίη, δημοσία ἔσω, πεφώραται φοροῦσά τις ἑταίρα χρυσία, καὶ δημοσίαν

τίς φησιν

τὶς φησὶν αὐτὴν εἶναι· ἡ δὲ, οὐκ αὐτὴν δημοσίαν εἶναί φησι, τὰ χρυσία δὲ δημόσια. γέγονε γὰρ παρὰ τὸν τόνον ἡ ἀμφιβολία ἡ προβολὴ τοῦ ῥητοῦ, δημοσίαν σε εἶναι κελεύει ὁ νόμος. ἡ ἑτέρα προβολὴ κατὰ τὸ ἀμφίβολον, οὐκ ἐμὲ, ἀλλὰ τὰ χρυσία. ἡ γνώμη τοῦ νομοθέτου ὑπὸ ἀμφοῖν πρὸς τὸ λυσιτελοῦν ἐξετάζεται, οἷον τιμωρίας ἄξιον τοῦτο ὑπέλαβεν ὁ νομοθέτης· καὶ ὁ μὲν, ἐρεῖ, ὅτι τῆς μεγίστης, ἡ δὲ, ὅτι τιμωρίας μὲν, ἀλλὰ μετρίας ὥσπερ καὶ κατὰ λόγον τῶν ἄλλων ἀδικημάτων τὰς τιμωρίας ἔταξε. τὸ περιέχον καὶ περιεχόμενον, ὅτι τῆς μὲν ἑταίρας δημοσίας γενομένης καὶ τὰ χρυσία ἔσται δημόσια· τῶν δὲ χρυσίων μόνον γενομένων δημοσίων, ἡ ἑταίρα ἀφεῖται. ἡ ἀντίθεσις ἀντεγκληματικὴ εὐθὺς ἕπεται, κατὰ ἑταίρας λόγον περαίνοντος τοπικῶς τοῦ κατηγόρου, ἢ πάλιν ἕπεται ἡ μετάληψις, οἷον εἰ καὶ ἑταίρα, ἀλλ᾽ ἰδίαν ἔχουσά γε τῆς προαιρέσεως ταύτης ἐπιτιμίαν, μὴ ὁμοίαν εἶναι ταῖς ἐλευθέραις, μηδὲ τῶν αὐτῶν ἀξιοῦσθαι, καὶ ἅμα ἐλεεινολογήσεται, δηλαδὴ πενίαν προβαλλόμενος, ἤ τι τοιοῦτον, ὁ λέγων ὑπὲρ αὐτῆς. ἡ ποιότης δὲ καὶ ἡ γνώμη ὡς ἐν τοῖς ἔμπροσθεν. συμβέβηκε δὲ ἐν τούτῳ τῷ ζητήματι καὶ πλείονά γε τὴν ἐξέτασιν τῆς γνώμης εἶναι, εἰ καταφρονήσασα ἢ ἄλλως ἀγνοήσασα τὸν νόμον, ἐφόρεσε τὰ χρυσία

ΤΕΛΟΣ.

Universitäts- und
Landesbibliothek Düsseldorf



Universitäts- und
Landesbibliothek Düsseldorf

[2.]

# ΕΡΜΟΓΕΝΟΥΣ

ΠΕΡΙ ΕΥΡΕΣΕΩΝ ΤΟΜΟΙ ΤΕΣΣΑΡΕΣ.

# HERMOGENIS

DE INVENTIONE TOMI QVATVOR.



PARISIIS

Christianus Wechel, sub scuto Basilgensi, in uia Iacobæa.

1530

Universitäts- und Landesbibliothek Düsseldorf

V316

# ΕΡΜΟΓΕΝΟΥΣ ΠΕΡΙ ΕΥΡΕΣΕΩΝ

## ΤΟΜΟΣ ΠΡΩΤΟΣ.

### περὶ τῆς ἐξ ὑπολήψεως προοιμίων.

Ἡ πρώτη καὶ καλλίστη τῶν προοιμίων εὕρεσις, καλλίστης καὶ πραγματικωτάτης εὑρέσεως τετύχηκε, τῆς ἐκ τῶν ὑπολήψεων καλουμένης, τῶν τε προσώπων καὶ τῶν πραγμάτων. ὅπως δὲ ταῦτα ἔχει, δηλῶν ἐκθήσομαι καθ᾽ ἕκαστον ἐν μέρει. τεθείσης γάρ τοι πάσης ὑποθέσεως, ἀνασκοπεῖν ἄξιον πρῶτον τὸ πρᾶγμα τὸ γεγενημένον ὁποῖόν ἐστι, καὶ περὶ οὗ ἡ κρίσις, ἢ τὸ βουλευτήριον συνέστηκεν· ἐν προβλήμασι γὰρ, ἢ κρινόμεθα, ἢ βουλευόμεθα. Δεῖ τοίνυν σκοπεῖν τὸ πρᾶγμα εἴτε καλόν ἐστιν εἴτε φαῦλον. εἶτα ἑξῆς, τὰς περὶ τὸ πρόσωπον ὑπολήψεις ἑκάστου, τῶν δικαζόντων, τῶν κατηγορούντων, τῶν ἀπολογουμένων, τῶν ἐχόντων αὐτὰ τὰ πράγματα καὶ τὰ ἐγκλήματα τῶν ἔξωθεν ἐμφαινομένων. ἐμφαίνεται δὲ πολλάκις μὲν ἕν, πολλάκις δὲ πλείονα· τούτων ἕκαστον ὁποίας ὑπολήψεις ἔχει, καὶ ὅπως εἰς τὰ προοίμια παραληφθήσεται σαφῶς διηγήσομαι. πρῶτον μὲν οὖν σκοπητέον τὸ πρᾶγμα, ποταπόν ἐστι, καὶ πότερον ὑπείληπται, χρηστὸν ἢ φαῦλον, καὶ τίνα γνώμην ἔχουσιν οἱ δικασταὶ περὶ αὐτοῦ, καὶ ὅπως διετέθησαν ἐπὶ τῷ πεπραγμένῳ. εἰ μὲν οὖν χρηστὸν εἴη, χαίρειν αὐτῷ εἰκὸς καὶ γεγηθέναι, καὶ τὸ προοίμιον οὖν ἔσται τὸν τρόπον τοῦτον. Ὁρῶ μὲν ὑμᾶς ἄνδρες δικασταὶ χαίροντας ἐπὶ τοῖς πεπραγμένοις, καὶ χάριν γινώσκοντας τοῖς θεοῖς, ὡς ἐπ᾽ ἐκείνου τοῦ προβλήματος, ἐβοήθησάν ποτε φυγάδες πολεμουμένῃ τῇ πατρίδι, καὶ νίκην

εἰργάσαντο, καὶ γράφει τις αὐτὸς κατάγειν, ὡς μὲν θεῷ ὦ ἄνδρες πολῖται χάρις πολλή, ὡς τὴν νίκην ἡμῖν κατὰ τῶν πολεμίων παρεσκευακότι, καὶ τῆς παρούσης ἡδονῆς τὰς ἀφορμὰς ἐνδόντι· ἐπεὶ δὲ καὶ οἱ πολῖται μετά γε θεὸν γεγόνασιν ἡμῖν τῆς παρούσης θυμηδίας αἴτιοι, συμβουλεύσων προελήλυθα κατάγειν αὐτούς, καὶ ἀποδιδόναι τῇ πόλει, ἣν ἔσωσαν αὐτοί. τὸ δὲ κατὰ τὴν ἑρμηνείαν ἁπλότητος μὴ φροντίσῃς διδασκαλικώτερον γὰρ ἐσπούδασα τὰς τέχνας ἀφηγήσασθαι, προελὼν τὴν ἰσχὺν τοῦ λόγου, καὶ γυμνά τιθεὶς τὰ νοήματα, ὡς εἶναι κατάδηλα μᾶλλον· εἰ δὲ φαῦλον εἴη τὸ γεγενημένον πρᾶγμα, ἀνάγκη τοὺς δικάζοντας, ἢ χαλεπαίνειν, ἢ οἰκτείρειν, ἢ ἑκάτερα πάσχειν ἐπὶ τοῖς αὐτοῖς, καὶ ὀργὴν καὶ λύπην. λέξομεν οὖν τὸ προοίμιον, οὕτω λαμβάνοντες. ἐπειδὴ καὶ ὑμᾶς ὦ ἄνδρες δικασταὶ τῶν τετολμημένων ἕνεκεν ὁρῶ, καὶ ἀχθομένους καὶ λελυπημένους, διὰ τοῦτο τὴν γραφὴν ἐνεστησάμην, οἷον, ἐνώπιόν τις τῆς μητρὸς ἀπέκτεινε τὸν υἱὸν κατὰ τὸν τῶν ἀκρίτων νόμον, ἐξέθανεν ἡ μήτηρ, καὶ κρίνεται αἰτίας θανάτου· ἄχθεσθαι μὲν ὑμᾶς ὦ ἄνδρες δικασταὶ καὶ δυσχεραίνειν ἐπὶ τοῖς γεγενημένοις, οὐδὲν ἀπεικός ἐστι, καὶ τούτῳ χαλεπαίνοντας ὑπὲρ ὧν ἐτόλμησε, καὶ ἐκείνην οἰκτείροντας ὑπὲρ ὧν ἔπαθεν. αἱ δὲ ἀποδόσεις παντὸς προοιμίου, αἱ ἀξιώσεις εἰσίν. ἀπὸ δὲ τῶν εὑρέσεων αἱ προτάσεις γίνονται, καὶ προοιμίου δριμύτης πρότασις. ἑξῆς σκεπτέον ἐπὶ τοὺς κατηγόρους, καὶ τίνα τρόπον ἀπὸ τούτων εὑρίσκεται τὰ προοίμια. οἱ γὰρ κατηγοροῦντές τινος, ὑπολήψεις ἔχουσι πολλάκις ἢ ἔχθρας ἢ φθόνου. τὸν μὲν οὖν φθόνον εἴ τις ἐμφαίνοιτο, ὡς προβλήματι διακρουσόμεθα· δεινὸν γὰρ βασκαίνειν ὁμολογεῖν, καὶ ἐπίφθονον ἀεί. ἐμφαίνεται δὲ πολλάκις, ὅταν ἢ δό-

ζῃ βασκαίνωμεν, ἢ πλούτῳ, οἷον πρεσβεύων αἰσχίνης παρὰ τὸν φίλιππον, ἐτραγῴδησε, νενίκηκεν, ἐστεφάνωται, καὶ κρίνεται παραπρεσβείας ὑπὸ δημοσθένους, ὀρθῶς ἐρεῖ τὸ προοίμιον, μηδεὶς ὑμῶν ὦ ἄνδρες ἀθηναῖοι νομίσῃ βασκαίνοντά με τοῦ στεφάνου καὶ τῆς νίκης αἰσχίνῃ, τὴν κατηγορίαν συστήσασθαι κατ' αὐτοῦ· ἢ πλούτῳ, οἷον ἀποκήρυκτος ᾔτησε τὸν πατέρα τροφὰς, ὁ δὲ αὐτῷ ξίφος ἔδωκεν, ἐμισθοφόρησεν, ἐπανῆκε πλούσιος· ὁ πατὴρ δεόμενος τροφῶν, προσῆλθε τῷ παιδί, ὁ δὲ αὐτῷ τὸ αὐτὸ ξίφος ἔδωκεν, ἀπέκτεινεν ἑαυτὸν ὁ πατὴρ, καὶ κρίνεται ὁ παῖς αἰτίας θανάτου. ὕπεστι πλούτου τις πρόφασις, καλὸν οὖν διακρούσασθαι καὶ λέγειν, ὅτι οὐ τῆς περιουσίας αὐτῷ βασκαίνων, τὸν ἀγῶνα ἐνεστησάμην. τὰς δὲ ἔχθρας ποτὲ μὲν ὁμολογήσομεν, ποτὲ δὲ ἀρνησόμεθα· τοῦτο ποιοῦντες οὐχ ὅταν βουλώμεθα, ἀλλ' ὅτε δεῖ ὁμόσε χωρεῖν ταῖς ἀρνήσεσι καὶ ταῖς ὁμολογίαις. ἔσται δὲ οὕτως, ἂν ἔχωμεν πρὸς ἔνδοξον πρόσωπον, καὶ ὑπερέχον τὸ ἐπαινούμενον, οἷον στρατηγὸν, ἢ περικλέα, ἢ νομοθέτην, τότε ἀρνησόμεθα ἢ πρὸς κοινὸν εὐεργέτην, ἢ πρός τινα δι' ἐξουσίαν ὠμὸν καὶ ἀπάνθρωπον. πρὸς νομοθέτην μὲν λέξομεν, ὅτι αἰσχρὸν ἀπεχθάνεσθαι κοινῷ εὐεργέτῃ, ὡς ὁ δημοσθένης, μηδεὶς ὑμῶν ὦ ἄνδρες ἀθηναῖοι νομίσῃ μήτε ἰδίας ἔχθρας ἐμὲ μήτε μιᾶς ἕνεκα ἄλλης ἥκειν ἀριστοκράτους κατηγορήσοντα τουτουί· πρὸς δὲ ὑπερέχον πρόσωπον, ὅτι δέος τοῖς εὐδοκιμοῦσι προσκρούειν, οἷον, ἠνέχθη σκηπτὸς ἐπὶ τὴν περικλέους εἰκόνα, καὶ συμβουλεύει τις μηκέτι αὐτὸν ὀλύμπιον καλεῖν, οἷον, οὐκ ἔχθρας ἕνεκα ὦ ἄνδρες ἀθηναῖοι τῆς πρὸς περικλέα τὴν συμβουλὴν ταύτην ἐνεστησάμην, ἀλλ' εὐνοίας

πλέον, δεδοικὼς μή τι παρὰ τῶν θεῶν ἀνθρώπινον πάθῃ. διὰ ἀπονοίας δὲ ὠμὸν δι' ἐξουσίαν, οἷον πένης καὶ πλούσιος ἐχθροί, ὑπέσχετο ὁ πλούσιος θρέψειν τοὺς παῖδας, εἰ λάβοι τὸν πένητα πρὸς ἀναίρεσιν, ἔδωκεν ὁ δῆμος, οὐκ ἔθρεψεν ὁ πλούσιος τοὺς τοῦ πένητος ἤδη· ἀπέθανον λιμῷ, καὶ κρίνεται φόνου, οὐκ ἀπεχθανόμενος ἰδίᾳ τῷ πλουσίῳ τὴν ὑπὲρ τῶν πολιτῶν ἐνεστησάμην γραφὴν, ἀλλὰ ἀγανακτῶν ὑπὲρ τοῖς νόμοις καὶ τῇ πόλει. καὶ μυρίους τίς ἂν εὕροι ἀριστέας, ἢ πλουσίους, ἢ στρατηγούς, ἢ δημαγωγούς, οἷς ἀντιλέγοντας ἢ κατηγοροῦντας ἀναγκαῖόν ἐστι τὰς ἔχθρας τὰς ἰδίας παραιτεῖσθαι· καταφεύγειν δὲ ὑπὲρ τὴν πόλιν καὶ τοὺς νόμους, καὶ τοῦ κοινῇ πόλει συμφέροντος ἕνεκεν λέγειν ἐνίστασθαι τὸν ἀγῶνα. ὁμολογεῖν δὲ δεῖ τὰς ἔχθρας, ἐὰν προαδικηθέντες ἀμυνώμεθα, ἀνεπίφθονον γὰρ τιμωρίαν κατὰ τῶν ἠδικηκότων λαμβάνειν, ὡς καὶ ὁ Δημοσθένης ἐν τῷ κατ' Ἀνδροτίωνος ἐποίησε λόγῳ, ὅπερ εὐκτήμων ὦ ἄνδρες δικασταὶ παθὼν ὑπ' Ἀνδροτίωνος κακῶς, ἅμα τῇ τε πόλει βοηθεῖν ᾤετο δεῖν, καὶ δίκην ὑπὲρ αὐτοῦ λαβεῖν, τοῦτο κἀγὼ πειράσομαι ποιεῖν, ἐὰν ἄρα οἷός τε ὦ· καὶ ἐν τῷ κατὰ Νεαίρας πάλιν ὁμοίως. καὶ περὶ τῆς ἀπολογουμένους ὑπέρ τινος, ὑπόληψις εὑρίσκεται πολλάκις εὐνοίας, ἢ κέρδους. τοῦ μὲν οὖν κέρδους ἀεὶ παραιτητέον ἐνστήσασθαι τὸν μισθόν, πλὴν εἰ μὴ πιθανῶς λέγοιμεν, μισθὸν ἔχειν παρὰ τῶν βοηθουμένων τὴν σωτηρίαν, οἷον ἐὰν ὑπὲρ ἀριστέων λέγωμεν, ἢ ὑπὲρ τυραννοκτόνων, ἢ κατάπαξ δημοσίᾳ τὴν πόλιν εὐεργετησάντων, οἷον ἐπὶ τῶν τριάκοντα τυράννων διετίθεσαν Ἀθηναῖοι τὰ γένη, Μεγαρεῖς ἀναιρούμενοι ἔτρεφον, παυσαμένης τῆς τυραννίδος, ἤκουσιν ἀποδιδόντες τὰ γένη, καὶ γράφει τις τὸ κατὰ

μεγαρέων ἀνηρῆσθαι πινάκιον. ἄριστον γὰρ ἐνταῦθα διομολογήσασθαι μισθὸν ἔχειν τὴν τῶν φιλτάτων σωτηρίαν, λέγοντα οὕτως, μισθὸν μὲν οὖν ὦ ἄνδρες ἀθηναῖοι παρὰ μεγαρέων αὐτός τε ὁμολογῶ μέγιστον εἰληφέναι τῶν προόντων λόγων, καὶ ὑμεῖς δὲ ἂν ὁμολογήσαιτε πάντως, τὴν σωτηρίαν τῶν φιλτάτων, τὴν δὲ εὔνοιαν φανερῶς ἔστιν ὁμολογεῖν ἄνευ κέρδους, ὅταν ὑπὲρ τῆς δημοσίας τὴν πόλιν εὐεργετησάντων λέγωμεν, οἷον μελλόντων μονομαχεῖν ἀδελφῶν δύο, κατὰ τὸν νόμον τὸν περὶ τῆς ἀριστέων περὶ του γέρως, ἐξέλιπεν ὁ ἥλιος, καὶ γράφει τις λελύσθαι τὸν νόμον, οἷον, φιλεῖν μὲν τοὺς ἀδελφοὺς οὐκ ἂν ἀρνησαίμην ἔγωγε, κοινοὺς σωτῆρας τῆς πόλεως γεγενημένους· ἢ ἂν ὑπὲρ συγγενῶν ποιώμεθα τοὺς λόγους, ἀνεπίφθονος γὰρ ὁ ὑπὲρ τῶν προσηκόντων λόγος, ὡς ὁ δημοσθένης ἐν τῷ πρὸς λεπτίνην εἶπεν· ἄνδρες δικασταὶ, μέγιστα μὲν ἕνεκα τοῦ νομίζειν συμφέρειν λελύσθαι τῇ πόλει τὸν νόμον, εἶτα καὶ τοῦ παιδὸς ἕνεκα τοῦ χαβρίου, ὡμολόγησα, τούτοις ὡς ἂν οἷός τε ὦ συνερεῖν, οὕτω περὶ τῶν κατηγορούντων καὶ τῶν ἀπολογουμένων. περὶ δὲ τοὺς τὰ ἐγκλήματα ἔχοντας, ἢ χρησταὶ ὑπολήψεις σῴζονται, ἢ πονηραί. ἐὰν μὲν οὖν κατηγορῶμεν, τὰς φύσει προούσας φαύλας βεβαιώσομεν, οἷον, τὴν μὲν ἀσέλγειαν ὦ ἄνδρες δικασταὶ καὶ τὴν ὕβριν ᾗ πρὸς ἅπαντας ἀεὶ χρῆται μειδίας, οὐδένα οὐδὲ ὑμῶν οὔτε τῶν ἄλλων πολιτῶν ἀγνοεῖν οἴομαι· τὰς δὲ χρηστὰς προσούσας ὑπολήψεις διαλύσομεν, οἷον, οὐκ ἀγνοῶ μὲν ὦ ἄνδρες δικασταὶ, ὅτι τὸν χαρίδημον τινὲς εὐεργέτην οἴονται, ἐγὼ δὲ ἐὰν παρ' ἃ βούλομαί τε καὶ οἶδα τούτῳ πεπραγμένα δυνηθῶ πρὸς ὑμᾶς εἰπεῖν, οἴομαι δείξειν οὐ μόνον οὐκ εὐεργέτην, ἀλλὰ καὶ κακονούστατον, καὶ πολὺ τἀναντία ἢ προ-



Universitäts- und
Landesbibliothek Düsseldorf

σῆκεν ὑπειλημμένον· ἐὰν δὲ ἀπολογώμεθα, τοὐναντίον ποιήσομεν, τὰς μὲν χρηστὰς βεβαιοῦντες ὑπολήψεις, τὰς δὲ φαύλας διαλύοντες, οἷον δέκα νέοι τὴν τάξιν λιπόντες ἔφυγον, τῶν δὲ ἑνὶ ἀπαντήσασα ἡ μήτηρ ἀπέκτεινεν αὐτόν, οἱ ἐννέα γραφέντες ἠρίστευσαν, καὶ κρίνεται ἡ γυνὴ φόνου. ἐνταῦθα γὰρ μία μὲν ὑπόληψις περὶ τὴν γυναῖκα χρηστή, ὅτι τῆς νίκης αἰτία, ἣν χρὴ βεβαιῶσαι κατὰ τὰ προοίμια, λέγοντα οὕτως· ὅτι μὲν οὐκ ἄλλος ὑμῖν τῆς νίκης αἴτιος μᾶλλον τῆς γυναικὸς ἐγένετο, πάντας ὑμᾶς ἐλπίζομεν ἐγνωκέναι· μία δὲ φαύλη, ἡ τοῦ δοκεῖν παιδοκτόνον αὐτὴν εἶναι, ἣν χρὴ θεραπεῦσαι, λέγοντας οὕτως· εἰ μὲν οὖν τοῖς κατηγόροις πειθόμενοι τὴν γυναῖκα ταύτην παιδοκτόνον ὑπολήψεσθε, οὐκ ὀρθῶς ποιήσετε· εἰ δὲ τὰ πεπραγμένα σκοπήσετε, καὶ τὰ τοῦ τετελευτηκότος δίκαια ἐγκλήματα, φανεῖται ἡ γυνὴ οὐκ ἀγαθὸν υἱὸν, ἀλλὰ προδότην πονηρὸν ἀποκτείνασα. ἐμφαίνεται δὲ καὶ ἔξωθεν πρόσωπα ὡς ἔφαμεν, πολεμίων μάλιστα πολλάκις, ἀφ' ὧν οὕτω ληψόμεθα τὰ προοίμια ζητοῦντες ἐπὶ τῇ παρούσῃ κρίσει, τί ἂν βούλοιντο τέλος οἱ πολέμιοι γενέσθαι, λέγοντες οὕτως, ὡς ἐν ἐκείνῳ τῷ προβλήματι, φυγάδες πολεμουμένῃ τῇ πατρίδι ἐβοήθησαν καὶ νίκην εἰργάσαντο, καὶ γράφει τις αὐτοὺς κατάγειν· τοῖς μὲν οὖν πολεμίοις δι' εὐχῆς ἐστι μὴ καταδέξασθαι τοὺς πολίτας ἡμᾶς ἐνθάδε, ἵνα ὦμεν αὐτοῖς ληφθῆναι ῥᾴδιοι, ἡμᾶς δὲ οὐκ ἄξιον ποιεῖν ἃ δοκεῖ τοῖς πολεμίοις. ταῦτά σοι περὶ τῶν ἐξ ὑπολήψεως προοιμίων πεπλήρωται, τοῦτον εὑρισκόμενα τὸν τρόπον ἁπανταχῆ.

ΠΕΡΙ ΤΩΝ

Universitäts- und
Landesbibliothek Düsseldorf

## ΠΕΡΙ ΤΩΝ ΕΞ ὙΠΟΔΙΑΙΡΕΣΕΩΣ ΠΡΟΟΙΜΙΩΝ.

Ἑξῆς λεκτέον περὶ τῶν ἐξ ὑποδιαιρέσεως προοιμίων, πάνυ παγκάλην καὶ ποικίλην ἐχόντων τὴν τέχνην, εὑρίσκεται δὲ καὶ ταῦτα ἀπὸ τῶν ἑξῆς μαθημάτων. οὐκ ἐν πᾶσι δὲ προβλήμασιν, οὐδὲ πάντα ἐν πᾶσιν. εὔθικτα μὲν γάρ ἐστιν εὑρεθέντα καὶ δριμέα, πλεονάκις δὲ φαίνεται τῶν ἐξ ὑπολήψεως ἡ ἀρετὴ, διότι πανταχῆ φαίνεται. ἔστι δὲ τῶν ἐξ ὑποδιαιρέσεως εἴδη τρία, ὧν καὶ τὰ παραδείγματα θήσομεν. καὶ πρῶτόν ἐστιν, ὅτε δύο πεπραγμένων ἀδικημάτων, ὧν καὶ τὸ ἕτερον ἀναδέξασθαι δύναται κρίσιν, ὑποδιαιροῦντες ποιήσομεν προοίμιον οὕτως, οἷον κατέσκαψάν τινες πόλιν ἐν πολέμῳ, καὶ ἐγεώργησαν αὐτὴν, οὐκ ἀνῆκεν ἡ γῆ καρποὺς, καὶ κρίνονται ἀσεβείας. ἐνταῦθα δύο ὄντων ἀδικημάτων ἰσοστασίων, τοῦ τε κατασκάψαι τὴν πόλιν καὶ τοῦ γεωργῆσαι, ποιήσομεν ἐξ ὑποδιαιρέσεως προοίμιον οὕτως· εἰ μὲν οὖν καὶ διὰ τὸ κατασκάψαι τὴν πόλιν ἔδοσαν αὐτοὶ δίκην, ὀρθῶς ἂν ἐγένετο· νῦν δὲ πολλῷ πλέον ὅτε καὶ γεωργῆσαι διέγνωσαν, ἣν κατέσκαψαν πόλιν. οὐ μήν τοι ἡ ἑνὸς πράγματος εἰς λεπτὸν τομὴ, προοίμιόν ἐστιν ἐξ ὑποδιαιρέσεως, ἀλλὰ ἡ ἀπ' ἀρχῆς ἄχρι τέλους ἐξ ὑποδιαιρέσεως κατασκευὴ, οἷον, ἔπεισεν ἐν λιμῷ καὶ πολιορκίᾳ ῥήτωρ τὴν ἄχρηστον ἡλικίαν ἀποκτεῖναι, γέρων λαθὼν ἠρίστευσε, καὶ αἰτεῖ εἰς τὸ γέρας τὸν ῥήτορα. ἐνταῦθα τὸ ἀδίκημα ἓν, τὸ τὰ γένη διαφθαρῆναι· ἐξ ὑποδιαιρέσεως δὲ, εἰ λέγοι, εἰ γὰρ μόνους τοὺς πατέρας ἔπεισεν ἀποκτεῖναι, ἢ μόνας τὰς γυναῖκας, ἄξιος ἦν θανάτου, οὐ προοί-

μιον λέγει, ἀλλὰ κατασκευάζει τὰ ἀπ' ἀρχῆς ἄχρι τέλους.
Δεύτερον δὲ τῆς ὑποδιαιρέσεως μάθημα οὕτως εὑρίσκεται, ἐν
ᾧ κοινὸν μὲν προοίμιον, ἐνίοτε τοῖς προσώποις καὶ πρὸ τῶν πρα
γμάτων ἴδιαι παρακολουθοῦσιν ὑπολήψεις, οἷον αἰσχίνῃ, δημο-
σθένει· δεύτερον δὲ αἱ παρασυμβαίνουσαι ἀπὸ τῶν πραγμάτων.
ὅταν οὖν εὕρωμεν ἐν προβλήματι τὰς ὑπολήψεις ἑκατέρας πε
ρὶ τὸ ἓν πρόσωπον, τήν τε φύσει προσοῦσαν καὶ τὴν ἐπιγενο
μένην ὑποδιαιροῦντες, λέγομεν, ὡς ἐν ἐκείνῳ τῷ προβλή-
ματι. Δημάδης πρεσβεύσας πρὸς φίλιππον, καὶ ἐρομένου πό-
τερον εἰσὶν αἱ ἀθῆναι τοῦ μακεδόνος, ἐπὶ τῆς τραπέζης αὐ-
τὰς κατέγραψε, καὶ ἐπανελθὼν ὕβρεως κρίνεται. οἷον, καὶ διὰ
τὸν ἄλλον μὲν βίον ὦ ἀθηναῖοι τὸν παρόντα δημάδει καὶ τὴν
προδοσίαν ἄξιον ἦν κολάσαι τοῦτον, οὐχ ἥκισα δὲ καὶ διὰ τὰ
νῦν αὐτῷ γεγενημένα, δι' ὧν αἰσχύνην ὁμοῦ καὶ ζημίαν προσῆ-
ψε τῇ πόλει. γίνεται δὲ καὶ ἐπὶ τῶν ἰδιωτικῶν τοῦτο πολλάκις,
ἂν ἔχωμεν ἢ μάγον, ἢ τελώνην, ἢ πορνοβοσκούς. οἷον πορ-
νοβοσκὸς τὰ τῶν μυστῶν ὀνόματα ταῖς ἑταίραις τίθεται, καὶ κρί-
νεται ἀσεβείας· λέγομεν γὰρ οὕτως, ἄξιον μὲν ἦν τὸν πορνοβο-
σκὸν καὶ διὰ τὸν ἄλλον βίον μισεῖσθαι, πονηρὸν ὄντα, ἐστὶ δὴ καὶ
τιμωρίας ἄξιον, οὐχ ἥκισα δὲ νῦν ὅτι καὶ ἠσέβησεν εἰς τὰς θεάς.
τρίτον δὲ ὑποδιαιρέσεως μάθημα εἰς προοιμίων εὕρεσιν, ὃ κα
λεῖται τοῦ ἀθρόου πρὸς τὸ μέλλον ὑποδιαίρεσις. γίνεται δὲ ὅταν
κακοῦ τινος τολμηθέντος, λέγῃς δεῖν τὸν εἰργασμένον δοῦ-
ναι τὴν τιμωρίαν, καὶ διὰ τὸ τετολμημένον, καὶ ἵνα μὴ πάλιν
τολμηθῇ, δεῖ δὲ τὸ τοῦ ἀθρόου πρὸς τὸ μέλλον ποιεῖν τότε, ὅταν
ἢ τὸ μηδεπώποτε γεγονὸς, τοῦτο συμβὰν μὴ παθεῖν πάλιν φυ
λαττώμεθα, ἢ ὅταν τὸ αὐτὸ πράττηται πολλάκις. τὰ δὲ παρα-
δείγματα

δείγματα σαφεστέραν ποιεῖ τὴν τέχνην. πολλοὶ τυραννοῦσι δὲ ἐκ τοῦ αὐτοῦ γένους, καὶ γράφει τις ἐλαύνειν τὸ γένος· ἐνταῦθα καλλίστην χώραν ἔχει τὸ προοίμιον, ἐὰν λέγωμεν οὕτω, καὶ τῶν γεγενημένων ἕνεκα τυραννίδων καλῶς ἂν ἔχοι μισοῦντας τὸ γένος, τῆς πόλεως ἐκβάλλειν, τιμωροῦντας αὐτοῖς ὑπὲρ ὧν ἐπάθομεν, οὐχ ἥκιστα δὲ καὶ τοῦ μέλλοντος πρόνοιαν ποιουμένους, ἵνα μὴ τοῖς ὁμοίοις περιπίπτωμεν ἀεί. καὶ πάλιν ἐμίχθη τις τετριχωμένῳ σώματι, καὶ γράφει τις λελύσθαι τὸν τῆς τριχείας νόμον. καὶ γὰρ ἐκεῖ δυνάμεθα λέγειν, ἵνα μὴ πάλιν γένηται.

## ΠΕΡΙ ΤΩΝ ΕΚ ΠΕΡΙΟΥΣΙΑΣ ΠΡΟΟΙΜΙΩΝ

Τὰ ἐκ περιουσίας καλούμενα προοίμια ἰδίαν εὕρεσιν ἔχει ἐν ταῖς κατηγορίαις καὶ ἐν ταῖς ἀπολογίαις. σαφῆ δὲ αὐτὰ ἐν ἑκατέροις ποιήσω. ἐὰν γὰρ κατηγοροῦντές τινος φόνου, δυνώμεθα λέγειν, ὅτι ἠδυνάμην αὐτὸν καὶ δημοσίων ἀδικημάτων κρίνειν, ἐκ περιουσίας ποιοῦμεν τὸ προοίμιον. κἂν δημοσίων ἀδικημάτων κατηγοροῦντες, δυνώμεθα λέγειν, ὅτι ἠδυνάμην αὐτὸν καὶ ἀσεβείας κρίνειν, ἐκ περιουσίας προοιμιαζόμεθα. οἷον ἀριστεὺς ἄχρις προσῆλθε στρατηγῷ δεόμενος τροφῶν· ὁ δὲ εἶπεν, ἀχρήστους ἡ πόλις οὐ τρέφει. κατὰ κρημνοῦ ὦσεν ἑαυτὸν ὁ ἀριστεύς; καὶ κρίνεται ὁ στρατηγὸς αἰτίας θανάτου. λέγομεν γὰρ ἐκ περιουσίας, ὅτι ἠδυνάμην αὐτὸν καὶ δημοσίων ἀδικημάτων εἰσαγαγεῖν, γραψάμενος, ὅτι κοινὸν εὐεργέτην τῆς πόλεως ἀπώλεσεν. ἢ ὡς ἐκεῖνο τὸ πρόβλημα, ἡ φύη μετὰ τὴν κατάλυσιν τοῦ πεισιστράτου κρίνεται δημοσίων ἀδικημάτων. λέγομεν δέ, ἠδυνάμην μὲν οὖν καὶ ἀσεβείας αὐτὴν γραψάμενος εἰς ὑμᾶς

ἀγαγεῖν, ὅτι τὸ σχῆμα τῆς Ἀθηνᾶς ἀσεβῶς ὑπεκρίνατο. ἰστέον δὲ ὅτι μικροτέρου κρίνοντας, δεῖ λέγειν ὅτι καὶ μείζονος ἡ δύναμις, μὴ μέντοι μείζονος κρίνοντας λέγειν, ὅτι καὶ τῆς μικροτέρου ἡ δύναμις, ἄτεχνον γὰρ τὸ τοιοῦτον· ἐν δὲ ταῖς ἀπολογίαις εὐκαταληπτότερον ἐκ περιουσίας μάθημα. πᾶς γὰρ ὁστισοῦν μετὰ τὴν εὐεργεσίαν κρινόμενος, ἄριστα ποιήσει προοίμιον ἐκ περιουσίας, λέγων, ἐγὼ μὲν καὶ γέρας ὑπελάμβανον ἐπὶ τοῖς πεπραγμένοις λήψεσθαι, μήτοι γε δὴ κρίσεις ὑπομένειν. οἷον ὁ στρατηγὸς ὁ τὰς τριήρεις νικώμενος, καταφλέξας, καὶ νικήσας, καὶ κρινόμενος δημοσίων ἀδικημάτων. ἢ ὁ ῥίψας ἀπὸ τοῦ τείχους τὴν ἀσπίδα καὶ ἀποκτείνας τὸν πολέμιον. καὶ καθάπαξ ῥᾳδίου τοῦ μαθήματος ὄντος, χρειώδους δὲ ἀνθεκτέον.

## ΠΕΡΙ ΤΩΝ ΑΠΟ ΚΑΙΡΟΥ ΠΡΟΟΙΜΙΩΝ.

Τὸ δὲ ἀπὸ καιροῦ καλούμενον προοίμιον, ἄφατόν τινα τὴν ὑπερβολὴν τῆς δυνάμεως ἔχει ἐὰν εὑρεθῇ. ἔστι δὲ τοιοῦτον τῇ δυνάμει, ἐὰν δυνώμεθα τὴν ἀξίωσιν ἣν εἰσφέρομεν τρόπον τινὰ ἤδη δεῖξαι καὶ γεγενημένην. ἔστι δὲ αὐτοῦ τὸ τῆς ἰσχύος τοιοῦτον, οἷον ἐφυγαδεύθησάν τινες, καὶ ἔκτισαν ἐπὶ τοῖς ὁρίοις τῆς πατρίδος ἑτέραν πόλιν, ἐν ᾗ ᾤκουν· πολέμου συστάντος ἐκείνοις ὅθεν ἐξεβλήθησαν, ἐπανελθόντες ἐβοήθησαν αὐτοῖς, καὶ γράφει τις αὐτοὺς καταδέχεσθαι. λέγομεν γάρ, τὸ μὲν δοκεῖν ἐγὼ γράφω τὸ ψήφισμα τήμερον τοὺς πολίτας καταδέχεσθαι, τὸ δὲ ἀληθές, ἤδη τούτους δεδέγμεθα, ὅτε συμμάχους ὄντας αὐτοὺς κατελθεῖν εἰάσαμεν. ἀλλὰ καὶ Μεγαρεῖς ἐπὶ τῶν τριάκοντα τυράννων, ἐκτεθέντων Ἀθηναίων τὰ γένη, ἀνδρούμενοι

ἔτρεφον

ἔστρεφον αὐτά, καταλυθείσης τῆς τυραννίδος ἥκουσι ἀποδιδόντες τὰ γένη, καὶ ἀξιοῦσι καθαιρεῖν τὸ περὶ τῶν μεγαρέων πινάκιον. καὶ ἔτι ἐν τοῖς τῆς πόλεως κατασκάψασι καὶ σπείρασι αὐτήν. θέλοντες γὰρ ἀσεβεῖς αὐτοὺς ἀποδεῖξαι, φαμὲν ὑπὸ τῶν θεῶν ἐληλέγχθαι καὶ πρὸ τῶν ἡμετέρων λόγων, ὅτι εἰσὶν ἀσεβεῖς, ἐξ ὧν ὡς ἐναγεστάτοις οὐδὲ τοὺς καρποὺς ἀνῆκεν ἡ γῆ. καλεῖται δὲ τοῦτο καὶ ἀγχίστροφον ἐπιχείρημα. τὸ δὲ περὶ τῶν περιπεπλεγμένων προβλημάτων οὐκ ἀναγκαῖον ἐνόμισα προσθεῖναι μάθημα· ἢ γὰρ καλόν ἐστι καὶ τῶν ἐξ ὑπολήψεως ὂν φαίνεται, ἢ προκατάστασις ὄν, διηγηματικὸν οὐ προοίμιον εὑρίσκεται.

## ΠΕΡΙ ΠΑΝΤΟΣ ΠΡΟΟΙΜΙΟΥ, ΚΑΙ ΕΚ πόσων μερῶν συνέστηκε.

Σύγκειται δὲ πᾶν προοίμιον ἐκ προτάσεως, ἥτις ἐστὶν ἐκ τῶν μαθημάτων εὑρισκομένη τῶν προκειμένων, ἐξ ὧν δῆλον καὶ γίνεται, ἐκ κατασκευῆς, ἐξ ἀποδόσεως, ἥτις ἐστὶν ἀξίωσις, ἐκ βάσεως, ἣ συνάγει τὴν πρότασιν, καὶ τὴν ἀπόδοσιν. ἐὰν μὲν οὖν θελήσωμεν πολιτικώτερον στῆσαι τὸ προοίμιον, εἰς τὴν ἀξίωσιν ψιλὴν αὐτὸ στήσομεν, ἐὰν δὲ προστιθῶμεν καὶ τὴν αἰτίαν, τῆς ἀξιώσεως ἁπτόμενοι τοῦ πράγματος αὐτοῦ, πανηγυρικωτέρα γίνεται ἡ βάσις. καὶ μάλιστα, ἂν μὴ τὰ ἀπ' ἀρχῆς ἄχρι τέλους ἁπλῶς εἴπωμεν, ἀλλ' ἐπιφωνηματικῶς. ποιεῖ δὲ πανηγυρικὴν τὴν βάσιν εὐρυθμία, ἵνα τὸ πανηγυρικὸν ᾖ διπλοῦν, ἢ ἐν τῷ λόγῳ διὰ τὴν ἀριθμίαν, ἢ ἐν τῷ νῷ διὰ τὴν ἀπ' ἀρχῆς ἄχρι τέλους φιλοτιμίαν. δεῖ δὲ τὸ προοίμιον ἐν μὲν τοῖς πολιτικοῖς ἡρμηνεῦσθαι μακροτέροις τοῖς

κώλοις καὶ χοινοτενέσιν, ἐν δὲ τοῖς παθητικοῖς συνεστραμμένοις, καὶ εὐκόλοις μᾶλλον. περιβολὴ δὲ αὐτάρκης προοιμίων, διπλασιάσαι ὄνομα, καὶ διπλασιάσαι κῶλον, καὶ προτάσεως ἀπὸ αἰτίας κατασκευήν. καὶ ὄνομα μὲν, ἂν λέγωμεν, πρῶτον μὲν ὦ ἄνδρες ἀθηναῖοι τοῖς θεοῖς εὔχομαι πᾶσι καὶ πάσαις. τῇ τε πόλει καὶ πᾶσιν ὑμῖν, καὶ ὑπὲρ ὑμῶν καὶ τῆς ὑμετέρας εὐσεβείας καὶ δόξης. κῶλον δὲ ὡς ἐν τῷ κατὰ ἀριστοκράτους, ὑπὲρ τοῦ χερρόννησον ἔχειν ὑμᾶς ἀσφαλῶς, καὶ μὴ παρακουσθέντας ἀποστερηθῆναι πάλιν αὐτῆς. προτάσεως δὲ ἐξ αἰτίας κατασκευήν, ἂν λέγωμεν, πολλάκις δὲ δυνάμεθα εἰπεῖν τὰ μὲν τούτῳ τετολμημένα, λέληθεν ἡμῶν οὐδένα, τοῦτο ἡ πρότασις. ἡ δὲ κατασκευὴ ἐκ τῆς αἰτίας· ἐπεὶ μηδὲ οὕτως ἐστὶ μικρὰ τὰ τετολμημένα ὥς δύνασθαι καὶ λαθεῖν. λεκτέον δὲ καὶ ἐπὶ παραδείγματος. πωλοῦσι τὰ τέκνα οἱ νησιῶται, καὶ γράφει τις παρὰ ἀθηναίοις ἐπανεῖναι τὸν φόρον. οἷα μὲν οὖν ὦ ἄνδρες ἀθηναῖοι πάσχουσιν οἱ νησιῶται κακὰ προφάσει τῶν φόρων, λέληθεν οὔτε ὑμᾶς οὔτε τῶν ἄλλων ἑλλήνων οὐδένα, τοῦτο ἡ πρότασις. καὶ γὰρ οὐδὲ ἓν οὕτως ἐστὶ μέτριον, ὃ τολμῶσι περὶ τὰ φίλτατα, ὥστε λαθεῖν ἐκεῖνα δύνασθαι, τοῦτο ἡ κατασκευὴ τῆς προτάσεως, εἶτα ἡ ἀπόδοσις, ὑμᾶς δὲ προσήκει πρόνοιαν ποιουμένους τῆς ὑμετέρας εὐδοξίας, ἐπανεῖναι τοῖς ἀθλίοις τὸν φόρον, καὶ μηκέτι οὕτως ὀχληροὺς καθίστασθαι. ἐὰν μὲν οὖν πολιτικῶς ἐθελήσῃς στῆσαι, οὕτω στήσεις τὴν ἀξίωσιν, εἰ δὲ βούλει, πρόσθες καὶ τὴν τῆς ἀξιώσεως αἰτίαν, τουτέστιν, αὐτὸ τὸ πρᾶγμα, αὐτὸ λέγω τὸ ἀπὸ ἀρχῆς ἄχρι τέλους γυμνόν. καὶ ἐὰν θελήσωμεν εἰπεῖν τὸ ἀπὸ ἀρχῆς ἄχρι τέλους τολμῶντες ἐπιφωνηματικώτερον, ἔσται καὶ οὕτω πανηγυρικὴ ἡ βάσις, δι' ὧν ἀναγκαζόμεναι δυστυχοῦσιν ἀπαιδίαν αἱ νῆσοι.

# ΕΡΜΟΓΕΝΟΥΣ ΠΕΡΙ ΕΥΡΕΣΕΩΝ ΤΟΜΟΣ ΔΕΥΤΕΡΟΣ.

## ΠΕΡΙ ΠΡΟΚΑΤΑΣΤΑΣΕΩΣ ΤΗΣ ΚΑΙ ΔΙΗΓΗΣΕΩΣ.

Διήγησίς ἐστι παντὸς μὲν προβλήματος αὐτὸ τὸ πρᾶγμα ἐξ οὗ συνέστηκεν ἡ ὑπόθεσις, καὶ διὰ τοῦτο διήγησιν μὲν εὑρεῖν οὐ δύσκολον, φαίνεται γὰρ τὸ πρᾶγμα τοῦ πλατυνομένου τοῖς τρόποις οἷς ἐκθήσομαι· τὴν δὲ προκατάστασιν τῆς διηγήσεως τὴν καὶ προδιήγησιν καλουμένην, ἄξιον ἐξετάσαι πόθεν ληφθήσεται, καὶ ἀπὸ τρόπων ὁπόσων, καὶ εἰ ὁμοίως ἐν πᾶσι προβλήμασιν ἡ αὐτή, ἢ καθ' ἕκαστον εἶδος ζητήματος, ἰδία τις εὕρεσις προκαταστάσεως γίνεται. ὡς ἐν κεφαλαίῳ μὲν οὖν εἰπεῖν, πάσης διηγήσεως ἐν παντὶ προβλήματι ζητητέον τὰ πρεσβύτερα μὲν, χρήσιμα δὲ τῇ ὑποκειμένῃ ἀξιώσει ἢ κρίσει, κἀκεῖθεν λαμβάνειν ἄξιον, καὶ προκαταστήσαντας ὡς προσήκει τὴν προδιήγησιν, οὕτως εἰς αὐτὴν χωρῆσαι τὴν ἐμφαινομένην ἐν αὐτῷ τῷ προβλήματι διήγησιν. ἄτεχνον γὰρ καὶ ἰδιωτικὸν, τὸ τῆς διηγήσεως αὐτόθεν ἄρχεσθαι, ὅθεν καὶ τὸ πρόβλημα λέγει· ἀλλ' ἐπεὶ τῶν προβλημάτων εἴδη ποίκιλα, καὶ τῶν πραγμάτων αἱ ζητήσεις διάφοροι, ποικίλας καὶ τὰς εὑρέσεις παραδώσομεν, ὥστε τεθείσης ὑποθέσεως, αὐτίκα εἰδέναι ἐφ' ὃ τρεπτέον ἐστὶν εἰς εὕρεσιν τῆς προκαταστάσεως τεχνικήν.

Universitäts- und Landesbibliothek Düsseldorf

## ΠΕΡΙ ΜΕΤΟΙΚΙΩΝ ΚΑΙ ΤΗΣ ΕΝ ΤΟΥΤΟΙΣ ΕΥΡΕΣΕΩΣ.

Οἱ περὶ μετοικίας βουλευόμενοι δυοῖν τούτοιν ἕνεκα θάτερον τὴν βουλὴν ἔχουσιν· ἢ γὰρ προσόντος ἀγαθοῦ καὶ ἀφανισθέντος, λύπῃ τῶν ἀπολωλότων βουλεύονται μετοικεῖν, οἷον Λυδοὶ μὴ ῥέοντος τοῦ Πακτωλοῦ τὸν χρυσόν, ἢ Αἰγύπτιοι μὴ ὑπερβαίνοντος τοῦ Νείλου καὶ ἄρδοντος τὴν γῆν· ἢ προσεπιγενομένου κακοῦ ἀδοκήτου, οἷον σείεται Σικελία συνεχῶς, καὶ βουλεύονται μετοικεῖν. ἢ πάλιν ῥεῖ ἀπὸ τῆς Αἴτνης ἐπὶ τὴν Κατάνην τὸ πῦρ, καὶ βουλεύονται μετοικεῖν. εἰ μὲν οὖν ἀγαθοῦ τινος ἐπιλείποντος βουλευόμεθα μετοικεῖν, τὴν προκατάστασιν λέξομεν λαβόντες ἐντεῦθεν· οἱ πρόγονοι τὰς πόλεις ἔκτισαν ἢ τὴν πόλιν ἐνταῦθα, οὐδενὶ τῶν ἄλλων ἐπαρθέντες ἢ τούτῳ τῷ ἀγαθῷ. μέχρι μὲν οὖν πάγιον ἦν καὶ βέβαιον, εἰκότως ἐμένομεν, καὶ γὰρ ἀπελαύομεν τῶν ἀγαθῶν, ἐπεὶ δὲ οἴχεται, μετοικισθῆναι δίκαιον. εἰ δὲ κακὸν ἐπιγένοιτό τι, λέξομεν τὴν προκατάστασιν, ὡς οἱ πρόγονοι μηδεμιᾶς ἐλπίδος ἐμφαινομένης τοιούτου κακοῦ, ἔκτισαν ἐνταυθοῖ τὴν πόλιν, εἰ γὰρ εἴδεισαν, οὐκ ἂν ἔκτισαν. ὁ δὲ ἀξιῶν μένειν, ὁμοίως καὶ αὐτὸς ἀναβήσεται ἐπὶ τὰς κτίσεις τῶν προγόνων, ὧν πρεσβύτερον οὐδέν. λέξει δὲ ἀγαθοῦ μὲν τινος λείποντος, ὡς οὐ διὰ τοῦτο ἔκτισαν ἐνταυθοῖ τὴν πόλιν οἱ πρόγονοι, οὐδὲ τούτῳ μόνῳ ἐπαρθέντες, ἀλλὰ καὶ ἄλλοις, ὧν προσόντων οὐ δεῖ τὴν ἀπουσίαν τοῦ ἑνὸς ὀδύρεσθαι. ἐὰν δὲ κακοῦ ἐπιγενομένου, λέξεις ὅτι οὐχ ὡς ἀπαθῆ καὶ ἀθάνατον ἔκτισαν οἱ πρόγονοι τὴν πόλιν, ἀλλ' ὡς ὑποκειμένην καὶ αὐτὴν πάθεσιν ἀνθρωπίνοις. θῶμεν δὲ καὶ



Universitäts- und Landesbibliothek Düsseldorf

τοῦ παραδείγματος, βουλεύονται Αἰγύπτιοι μετοικεῖν, τοῦ Νείλου μὴ ἐπαναβαίνοντος ἔτι, ἐρεῖς οὕτω, δοκῶ μοι καὶ τοὺς προγόνους οὐδενὶ τῶν ἄλλων ἐπαχθέντας τὴν Αἴγυπτον οἰκῆσαι, ἐπεὶ μήτε ὀρῶν ἀσφάλεια, μήτε ποταμῶν ἄλλων κάλλος ἐν Αἰγύπτῳ φαίνεται, μήτε πρὸς φυτείαν ἐπιτήδειος, οὔτε γάρ εἰσιν ἐλαῖαι παρ' ἡμῖν, οὔτε ἄμπελοι· τῇ δὲ τοῦ ποταμοῦ χαίροντας φορᾷ καὶ τῇ παραδόξῳ γεωργίᾳ. ὁ δὲ ἀξιῶν μένειν, ἐρεῖ, ὡς οὐ διὰ τὸν ποταμὸν μόνον οἱ πρόγονοι τὸν οἰκισμὸν ἐποιήσαντο τῆς Αἰγύπτου, ἀλλὰ πολλὰ αὐτῆς καὶ ἄλλα θαυμάσαντες, τὴν κρᾶσιν τῶν τε ἀέρων, τὸ τῶν πεδίων εὐήλατον, τὸ εἰς τὰ ἄλλα τῆς γῆς εὔφορον, τὴν τῆς θαλάττης γειτνίασιν, καὶ τὴν τοῦ ποταμοῦ πρὸς τὰ ἄλλα χρείαν, καὶ οὐ διὰ τὴν ἀρδείαν μόνον ἣν καὶ αὐτὴν ἔχειν ἔστιν ἀνθρώποις γε οὖσι καὶ παρὰ τοῦ Διός. οὐ γὰρ ἔξω που τῶν ὅρων οὐρανοῦ τὰς πόλεις ὑπετίθεσαν. καὶ πάλιν, ῥεῖ τὸ πῦρ ἐπὶ τὴν κατάνην ἀπὸ τῆς αἴτνης, καὶ βουλεύονται μετοικεῖν. ὁ μὲν ἀξιῶν μετοικεῖν, ἐρεῖ τὸν τρόπον τοῦτον, οὐδὲ γὰρ τοὺς προγόνους μοι δοκῶ κτίσαι τὴν κατάνην ὑπὸ τὴν αἴτνην φέροντας εἰ τοιαύτας ἔσεσθαι συμφορὰς προσεδόκησαν, ἀλλὰ νομίζοντας ἐν ὁρίοις στήσεσθαι τὸ πῦρ. μέχρι μὲν οὖν ἐφύλαττε τοὺς ὅρους καὶ ἡμεῖς ἐμένομεν, ἐπεὶ δὲ ὑπερβαίνει καὶ κατατρέχει τὴν πόλιν, μετοικιζώμεθα. ὁ δὲ ἀξιῶν μένειν, οὕτως, οὐδὲ γὰρ τοὺς προγόνους τοὺς κτίσαντας τὴν κατάνην, ἐνταῦθα ἔλαθε πλησίον οὖσα ἡ αἴτνη, καὶ ὡς πυρὸς ἔχει ῥύακας, καὶ ὡς φύσις αὕτη πυρὸς, ὑπερβαίνειν τε τοὺς ὅρους ἐν οἷς ἂν ἑστήκοι, καὶ ῥεῖν· ἀλλ' οὐχ ὡς ἀθάνατον, οὐδ' ὡς ἀπαθῆ κακῶν ἐσομένην καὶ ἀπείρατον πυρὸς, ἔκτιζον τὴν κατάνην. πολλοῖς γάρ τοι τῶν μὴ κατάνην οἰκοῦσιν ἠνώχλησε πῦρ· τοῖς μὲν, αὐτόματον, τοῖς δὲ, ἐξ ἐπιβουλῆς, τοῖς δὲ, καὶ ἐξ οὐρανοῦ.

# ΕΡΜΟΓΕΝΟΥΣ
## ΠΕΡΙ ΝΟΜΩΝ ΕΙΣΦΟΡΑΣ.

Αἱ δὲ τῶν νόμων εἰσφοραὶ μετὰ περιστάσεως, καὶ αἱ λύσεις τῶν νόμων μετὰ περιστάσεως, προδιηγήσεις ἕξουσι τοιαύτας, ἢ λαμβανομένας οὕτως. ἐὰν μὲν λύωμεν τὸν νόμον, λέγοντες, ὅτι τοῦτον ἐχρῆν μηδὲ γεγράφθαι τὸν νόμον τὴν ἀρχήν, οὐδὲ γάρ ἐστι τούτου τι πρεσβύτερον, οὐδὲ τῇ ἀξιώσει μᾶλλον ἁρμόδιον τοῦ φάσκειν λελύσθαι τὸν νόμον, ἢ μὴ δεῖν τὴν ἀρχὴν αὐτὸν γεγράφθαι. κατασκευασθήσεται δὲ προχωρῶν ὁ λόγος ἐκ τῶν συμβάντων, οὐ γὰρ ἂν τοιῶνδε καὶ τοιῶνδε ἐπειράθημεν κακῶν· ἐπεὶ δὲ ἐτέθη, καὶ ἐπάθομεν τὰ καὶ τά, λῦσαι δίκαιον. δῆλον γὰρ ὡς λύσει τις νόμον ἐν προβλήματι κακοῦ τινος ἀπαντήσαντος ἐξ αὐτοῦ τοῦ νόμου, καὶ ὡς ἂν μηκέτι τοῦτο γίνοιτο σκοπούντων τινῶν. οἷον, λακεδαιμόνιοι μετὰ τὰ ἐν μαραθῶνι, βουλεύονται λύειν τὸν περὶ πανσελήνου νόμον, οἷον, ἔδει μηδὲ κεῖσθαι τοῦτον τὴν ἀρχὴν ἐν λακεδαίμονι τὸν νόμον, οὐ γὰρ ἂν δόξης ἀπεστερήμεθα τοιαύτης καὶ τροπαίων, καὶ κατορθωμάτων, ἐπὶ τῶν συμβεβηκότων. δεῖ γὰρ ὡς ἔφην περίστασιν ἔχειν τὰς λύσεις τῶν νόμων, ἢ τὰς εἰσφοράς· αἱ γὰρ ἄνευ αἰτίας καὶ περιστάσεως ἐσφοραὶ νόμων ἢ λύσεις, γυμνάσματά ἐστι μόνα, ὅθεν οὐδὲ διηγήσεις ἔχει. ἐὰν δὲ γράφωμεν νόμον καὶ εἰσφέρωμεν, ἡ προκατάστασις τῆς διηγήσεως γενήσεται ἡ αὐτή, οἷον, τοῦτον ἐχρῆν πάλαι κεῖσθαι τὸν νόμον ἐξ ἀρχῆς, οὐ γὰρ ἂν τούτου κειμένου ταῦτα ἡμᾶς συνέβη παθεῖν, ἃ πεπόνθαμεν μὴ κειμένου τοῦ νόμου. οἷον, ἀλκιβιάδης μετὰ τὰ κατὰ κύζικον εἰσφέρει νόμον, μηδένα στρατηγὸν ἀπὸ στρατοπέδου ἀνακαλεῖσθαι. φησὶ γάρ, τὸν νόμον

τοῦτον

τοῦτον ἐχρῆν πάλαι γεγράφθαι καὶ γεγενῆσθαι κύριον, οὐ γὰρ ἂν ἔβλαψε μὴ ἀνακαλουμένους ἡμᾶς ἀλκιβιάδην ἐκ σικελίας. ἢ ὡς ἐκεῖνο τὸ πρόβλημα, τοὺς μοιχοὺς χρήματα ἐκτιννύναι. πολλοὶ μοιχεύουσι, καὶ καταβάλλουσι χρήματα, καὶ γράφει τις κτείνειν τοὺς μοιχούς. ἐνταῦθα γὰρ καὶ εἰσφορὰ νόμου καὶ λύσις ἐστὶ, καὶ προκατάστασις γενήσεται τῆς διηγήσεως, ὅτι μήτε ἐκεῖνον ἐχρῆν γεγράφθαι τὸν νόμον περὶ τῶν χρημάτων, καὶ ὅτι τοῦτον ἐχρῆν γεγράφθαι τὸν ἀξιοῦντα κτείνειν τοὺς μοιχούς.

## ΠΕΡΙ ΠΟΛΕΜΟΥ ΚΑΙ ΕΙΡΗΝΗΣ.

Ὁμοίως κἂν πολεμεῖν γράφωμέν τισιν ἢ καταλύειν πόλεμον, χρησόμεθα ταῖς προκαταστάσεσιν οὕτως. ἂν μὲν γράφωμεν πολεμεῖν τισιν, εἰς τὰ πρεσβύτερα τῶν ἐγκλημάτων ἀνατρέχοντες, καὶ λέγοντες ὅτι τούτοις πάλαι ἐχρῆν πολεμεῖν, ἐχθροὶ γάρ, καὶ πρὸ τούτων τῶν ἀδικημάτων ἄλλα εἰς ἡμᾶς εἰργασμένοι, εἶτα καταβαίνοντες εἰς τὰ νῦν γεγενημένα. τὰ μὲν γὰρ πρεσβύτερα τῶν ἀδικημάτων, προκατάστασίς ἐστι τῆς διηγήσεως· ἃ δὲ νῦν διὰ τὸν πόλεμον γράφεις, ἡ διήγησις. οἷον, ἔχρησεν ὁ θεὸς τῷ κροίσῳ τοὺς ἀρίστους τῶν ἑλλήνων ἑλέσθαι συμμάχους, εἵλετο λακεδαιμονίους, καὶ συμβουλεύει τις ἀθηναίοις κύρῳ συμμαχεῖν. ἔδει κροίσῳ καὶ πάλαι πολεμεῖν, ἐξ οὗ γὰρ τὴν ἀρχὴν διεδέξατο παρὰ τοῦ πατρὸς ἀλυάτου, καὶ τοῖς ἕλλησιν ἐπεβούλευε, καὶ τοῖς ἐν τῇ ἀσίᾳ Δωριεῦσι καὶ ἴωσι καὶ αἰολεῦσι. πρὸ γὰρ τῆς κροίσου ἀρχῆς πάντες ἦσαν ἕλληνες ἐλεύθεροι. καὶ τοῦτο πλατυνόμενον, προκατάστασις ἔσται καὶ προδιήγησις.

εἶτα ἡ διήγησις, ἐπεὶ δὲ καὶ νῦν χρήσαντος αὐτῷ τοῦ θεοῦ τοὺς
ἀρίστους τῶν ἑλλήνων ἑλέσθαι συμμάχους, εἵλετο λακεδαιμο-
νίους καὶ τὴν πόλιν ἡμῶν ὕβρισε, πολεμῶμεν αὐτῷ, συμμαχοῦν-
τες κύρῳ. καὶ πάλιν, ἅρματι νικήσας ἀλκιβιάδης ὀλυμ-
πια, ἐρομένων ἠλείων ὅθεν εἴη, τῆς ἀρίστης ἔφη τῶν πόλεων,
ἐμαστίγωσαν αὐτόν, γράφει ἐπανελθὼν στρατεύεσθαι ἐπὶ τοὺς ἠ-
λείους. ἡ προκατάστασις τῆς διηγήσεως, ἐχρῆν ἠλείοις πάλαι
πολεμεῖν, ἐχθροὶ γὰρ ἡμῶν εἰσι καὶ βοηθοῦντες ἀεὶ λακεδαι-
μονίοις καὶ κορινθίοις, καὶ ναῦς διδόντες καὶ χρήματα εἰς
τὸν καθ' ἡμῶν πόλεμον, ὡς θουκυδίδης εἴρηκεν, ἠλεῖοι δὲ ναῦς
ἤτησαν καινὰς καὶ χρήματα· εἶτα ἡ διήγησις, ἐπεὶ δὲ καὶ
νῦν ἐνίκησα τὸν ἀγῶνα καὶ ἠρώτησαν ὅθεν ἂν εἴην, ἐγὼ δὲ τὰ
βέλτιστα ἀπεκρινάμην, οἱ δὲ ἐμαστίγωσάν με, τὴν πόλιν ὑβρί-
ζοντες, στρατεύειν ἐπ' αὐτοὺς ἄξιον. ἐὰν δὲ καταλύωμεν πό-
λεμον, ἡ προκατάστασις γενήσεται τῆς διηγήσεως ὅτι μηδὲ τὴν
ἀρχὴν ἐχρῆν κεκινῆσθαι τοῦτον τὸν πόλεμον, καὶ προσχρησόμε-
θα ταῖς ἀπὸ τῆς ἱστορίας αἰτίαις, ἐὰν ἔχωμεν. οἷον, σπένδεται
ἐν τῷ πολέμῳ τῷ πελοποννησιακῷ δῆλος, καὶ γράφει τις κα-
ταλύειν τὸν πόλεμον ἐν τοῖς ἕλλησι, λέγων ὅτι μηδὲ τὴν ἀρχὴν
ἐχρῆν κεκινῆσθαι τοῦτον τὸν πόλεμον ἡμῖν, συμμάχοις γε οὖ-
σι καὶ φίλοις καὶ τοῖς βαρβάροις ἀεὶ μαχομένοις πρότερον, ἀφ'
οὗ καὶ ἐνδοξότεροι διατελοῦμεν ὄντες, τοῦτο ἡ προκατάστασις·
εἶτα ἡ διήγησις, ἐπεὶ δὲ καὶ νῦν δῆλος σπένδεται, χαλεπαί-
νοντος τοῦ θεοῦ ἐπὶ ταῖς ἡμετέραις διαφοραῖς, καταλύσω-
μεν τὸν πόλεμον. ἐὰν δὲ βοηθώμεθα ἀπὸ τῆς ἱστορίας, ἡ προ-
κατάστασις διαβολὴν ἕξει τοῦ πολέμου, ὅτι οὐκ ἐχρῆν οὐδὲ τὴν
ἀρχὴν τὸν πόλεμον τοῦτον αἱρεῖσθαι, καταλιπόντας εἰρήνην·

χαλεπὸν γὰρ πρᾶγμα πόλεμος, καὶ δύσκολον, καὶ ὅσα ἔχει ἐν ἑαυτῷ κακά· ἡ δὲ εἰρήνη καλὸν, καὶ ὅσα ἔχει ἐν ἑαυτῇ καλά. οἷον, πολεμούντων τινῶν ἐξέλιπεν ὁ ἥλιος, καὶ γράφει τις λελῦσθαι τὸν πόλεμον, ἐνταῦθα γὰρ ὃν ὑπεθέμην τρόπον διηγούμενοι, κακίσομεν τὸν πόλεμον, καὶ τὴν εἰρήνην ἐπαινεσόμεθα· εἶτα χωρήσομεν εἰς τὴν διήγησιν, τὴν ἔκλειψιν διηγούμενοι τοῦ ἡλίου, καὶ ὅτι διὰ τοῦτο προσήκει καταλῦσαι τὸν πόλεμον.

## ΠΕΡΙ ΑΣΕΒΕΙΑΣ Η ΦΟΝΟΥ.

Ἐὰν δὲ ἀσεβείας κατηγορῶμέν τινος, πρὸ τοῦ κατηγορουμένου ἐγκλήματος, τὰ πρεσβύτερα ζητοῦντες ἀδικήματα προδιηγησόμεθα, καὶ εἴτι ἀσεβὲς φθάνουσιν ἄλλο προειργασμένοι. κἂν μὲν ἱστορίαν ἔχωμεν, ἀπ' ἐκείνης ζητήσομεν, ἂν δὲ ἰδιωτικὸν ᾖ τὸ πρόβλημα, κατὰ παράλειψιν διασύροντες φήσομεν, ἐγὼ τὸν μὲν ἄλλον βίον παραλιμπάνω λέγειν ὡς ἀσεβὴς, καὶ ἐναγὴς, καὶ κατὰ πάντα ἀποτρόπαιος, ὡς ἂν μὴ δοκοίην ἐνοχλεῖν ὑμᾶς μάτην, περὶ ὧν νῦν οὐ δικάζετε, περὶ τούτων ἀκούοντας, ἀλλὰ τὸ τελευταῖον αὐτῷ τολμηθὲν ἀσέβημα διέξειμι πρὸς ὑμᾶς. οἷον, μυούμενός τις ἐμάνη, καὶ ἀσεβείας κρίνεται. ἡ αὐτὴ γὰρ προδιήγησις ἁρμόσει τῷ προβλήματι. εἶτα καταβησόμεθα εἰς τὴν διήγησιν. ἐπειδὴ γὰρ ὁ καιρὸς ἐνέστη τῶν μυστηρίων, καὶ ἔδει μυεῖσθαι καθαροὺς εἰσιόντας εἰς τὸ ἀνάκτορον, τηνικάδε καὶ οὗτος οὔτε καθηράμενος ἀπὸ τῶν ἀσεβημάτων, οὔτε ἁγνεύσας, οὕτω καὶ τὰ ἑξῆς. ἐν δὲ τοῖς ἀπὸ ἱστορίας οὕτω, κρίνονται Ἀθηναῖοι ἀσεβείας ἐπὶ Ποτιδαίᾳ, καὶ ὅτι Ἀθηναῖοι ἀρχῆθεν ἀσεβεῖς, καὶ ὅτι Λακεδαιμόνιοι διὰ τοῦτο

πρὸς αὐτοὺς πόλεμον ἐξενηνόχασι, καὶ ὅτι πρῶτον μὲν τὸ κυλώνειον ἄγος οὐκ ἠθέλησαν ἐλάσαι, εἶθ' ὅτι τὰς τριακοντούτεις σπονδὰς ἔλυσαν, εἶθ' ὅτι πόλεις ἀσεβῶς ἑλληνίδας τὰς μὲν ἀνέστησαν, τὰς δὲ ἐξώρισαν. εἶτα καταβησόμεθα εἰς τὴν διήγησιν, καὶ νῦν ποτίδαιαν ἄποικον κορινθίων οὖσαν, καὶ τὰ ἑξῆς. ἐὰν δὲ ἀπολογώμεθα, ἀνάπαλιν ποιήσομεν, εἴ τι πρεσβύτερον ἔχοιμεν τῆς κρίσεως βοηθοῦν ἡμῖν ἀπὸ ἱστορίας εὐσεβῶς πεπραγμένον λέγοντες· εἰ δὲ ἰδιωτικὸν εἴη τὸ πρόβλημα, κατὰ παράληψιν εἰσάγοντες, ὥσπερ ἐν ταῖς κατηγορίαις ἔφαμεν. ὁμοίως κἂν φόνου κατηγορῶμεν ἢ βίας, ἢ τοιούτων ἀδικημάτων, τὸν αὐτὸν τρόπον τὰ πρεσβύτερα βίαια ζητήσομεν, εἰ ἔχοιμεν, ἀπὸ ἱστορίας· εἰ δὲ μή, κατὰ παράληψιν θέντες. καὶ ἐν ταῖς ἀπολογίαις ὁμοίως, τὰς εὐεργεσίας, ἢ ἀπὸ ἱστορίας βοηθουμένας τιθέντες, ἢ κατὰ παράληψιν εἰσάγοντες. ποιοῦσι δὲ τὰς τοιαύτας προδιηγήσεις, περὶ μὲν τῶν πόλεων αἱ πράξεις, περὶ δὲ τῶν ἀνδρῶν, οἱ βίοι, προχωροῦντες εἰς τὰς τῆς διηγήσεως χρείας.

## ΠΕΡΙ ΔΗΜΟΣΙΩΝ ΑΔΙΚΗΜΑΤΩΝ.

Κἂν δημοσίων ἀδικημάτων κατηγορῶμεν, ἀπὸ τῶν πρεσβυτέρων ληψόμεθα. οἷον, τριακόσιοι νύκτωρ τὰ δεσμὰ ῥήξαντες αἰχμάλωτοι, ἀπὸ τῶν πολεμίων φυγόντες ἦλθον εἰς τὴν πατρίδα· νόμου κελεύοντος, νύκτωρ μὴ ἀνοίγεσθαι τὰς πύλας, οὐκ ἀνέῳξεν αὐτοῖς ὁ στρατηγός, καὶ κρίνεται δημοσίων ἀδικημάτων. ἐνταῦθα γὰρ καὶ ὁ κατήγορος ἀπὸ πρεσβυτέρων ἀδικημάτων ἄρξεται, λέγων ὅτι ἡμεῖς μὲν

αὐτὸν

αὐτὸν ἐχειροτονήσαμεν στρατηγὸν, πάντων προτιμήσαντες, ὁ δὲ δύσνους ὢν ἀρχῆθεν περὶ τὴν πόλιν, ἐπέδειξε τοῦτο καὶ ἐν τῇ στρατηγίᾳ. οὕτω γοῦν φαύλως ἐστρατήγησεν, ὥστε καὶ ἡττήθημεν, καὶ ἧτταν βαρεῖαν ἐν ᾗ τριακοσίους πολίτας αἰχμαλώτους συνέβη γενέσθαι, μετὰ τὸν τῶν ἄλλων φόνον. εἶτα ἐπὶ τὴν διήγησιν χωρήσομεν, ἀλλ' ἐπειδὴ ἡ τύχη παρέσχε τοῖς πολίταις τόλμαν, ῥῆξαι τὰ δεσμὰ δυνηθῆναι, καὶ λαθεῖν, καὶ τὰ ἑξῆς. ἐὰν δὲ ἀπολογώμεθα, οὕτω, ἐγὼ περὶ τὴν πόλιν οὕτως εὔνους ἀρχῆθεν ἐγενόμην, ὥστε καὶ τοῦ πολεμίου καταλαβόντος ὑμᾶς, διὰ ἐμῆς εὐνοίας ἔχοντες παραδείγματα, πάντας παραλιπόντες τοὺς ἄλλους, ἐμὲ στρατηγεῖν ἐχειροτονήσατε. τυραννοκτόνοι δὲ πάντες καὶ ἀριστεῖς ὁμοίως προδιηγήσεις ἕξουσι τοὺς βίους, ἀφ' ὧν χωροῦμεν ἐπὶ τὰς διηγήσεις τῶν πραγμάτων, ἐφ' οἷς αἱ κρίσεις.

## ΠΕΡΙ ΔΙΗΓΗΣΕΩΣ.

Ταυτὶ μὲν οὖν περὶ τῶν προκαταστάσεων τῶν ἐν ταῖς διηγήσεσιν, καὶ ὅθεν δεῖ ἀρχομένους, μὴ ἀκεφάλως ἐμβάλλειν τοῖς πράγμασι· ζητέον δὲ ἑξῆς, τίσι πλατύνεται ἡ διήγησις τρόποις. ἡμεῖς μὲν οὖν φαμὲν ὅτι πρῶτον χρὴ τῶν λεγομένων ἕκαστον, καὶ τρισὶ καὶ τέτρασι κώλοις πλατύνεσθαι, ἢ καὶ πλείοσιν ἐκφέρεσθαι πολλάκις, οὐ γὰρ ἐστενοχώρηται τῆς διηγήσεως ἡ δύναμις ἐν τῷ μέτρῳ καθάπερ καὶ τὸ προοίμιον, ἀλλ' ἐξουσίαν ἔχει καὶ μέτρον τὴν βούλησιν, ἢ τὴν δύναμιν τοῦ λέγοντος. οἷον, ἐγὼ περὶ τὴν πόλιν εὔνους, οὐ τήμερον, οὐδὲ νῦν ἠρξάμην ἀγαπᾶν τὰ κοινὰ,

ἀλλὰ διὰ

ἀλλὰ διὰ τῆς πρὸς ὑμᾶς εὐνοίας πάλαι καὶ πρόπαλαι πολλὰ ἐξενήνοχα δείγματα, καὶ ὅτι τὰ πρὸς ὠφέλειαν ἡμῖν ἀνασκοποῦμεν μυριάκις δηλῶσαί μοι δοκῶ. τὸ γὰρ αὐτὸ πρᾶγμα πολλάκις ἑρμηνευθὲν, κόσμον ἐνδείξαιτο τοῦ λόγου. τρέφει δὲ τὴν δύναμιν τοῦ ῥήτορος μάλιστα ἐν ταῖς περιγραφαῖς τοῦτο ἀσκούμενον. ἐξ ἀνάγκης γὰρ ποικίλων ὀνομάτων καὶ διαφόρων εὐποροῦμεν, ζητούντων ἡμῶν ποικίλοις καὶ πολυτρόποις ὀνόμασι μεταποιεῖν τὰ κῶλα. πρῶτον μὲν οὕτω μηκύνεται διὰ τῆς ἑρμηνείας ἔπειτα δὲ καὶ τὸ παραλειφθὲν ζητήσαντες, λέξομεν κἀκεῖνο ἐν κώλοις ὅσοις ἂν δυνώμεθα. οἷον, τόδε μὲν οὐκ ἐποίησα οὐδὲ εἰργασάμην, ἐκεῖνο δὲ οὐ διεπραξάμην. ἔπειτα μέντοι καὶ τοῦ πεπραγμένου τὴν αἰτίαν ζητήσομεν· καὶ ὅταν εὕρωμεν, ὅσοις ἂν δυνώμεθα κώλοις ἕκαστα ἀφηγησόμεθα· οὐδεὶς γὰρ νοῦς οὕτω καλὸς εἰς κατασκευὴν διηγήσεως, ὡς αἰτία. πλατύνουσι δὲ διήγησιν καὶ οἱ συλλογισμοὶ, εἰ πρὸ τῶν πράξεων λέγοιμεν βεβουλεῦσθαι, ὡς εἰ μὴ τόδε ποιήσαιμι, τόδε ἀπαντήσεται· καὶ προστιθέναι τὰς αἰτίας, εἰ δὲ τόδε εἰργασαίμην, τόδε ἀπαντήσεται. καὶ παραδείγματος ἕνεκεν καὶ σαφηνείας τῶν θεωρημάτων, καὶ ἐπὶ προβλήματος λέξομεν· ἔστω δὲ ὁ στρατηγὸς ὁ μὴ ἀνοίξας τὰς πύλας· ἀπὸ τοῦ παραλειφθέντος πρῶτον, ἡμεῖς γὰρ ἐνστάντος τοῦ πολέμου, καὶ καταῤῥαγείσης τῆς μάχης, καὶ κινηθείσης ἡμῖν πρὸς τοὺς ἐχθροὺς φιλονεικίας, ἄλλον μὲν οὐδένα τῶν πάντων στρατηγὸν ἐχειροτονήσαμεν, οὐδὲ ἐφεστήσαμεν τοῖς πράγμασιν, οὐδὲ τὸ στρατόπεδον ἐπιστεύσαμεν. εἶτα τὸ πραχθέν· τοῦτον δὲ στρατηγεῖν ἠξιώσαμεν, καὶ τὸ ἀξίωμα τῆς πόλεως ἐπιστεύσαμεν, καὶ πᾶσαν τὴν δύναμιν ἔχειν, καὶ τάττειν ὅπως ἐθελήσειεν, ἐπετάξαμεν. εἶθ' ἡ αἰτία, οὐχ ὡς

μὰ

μὰ τὴν ἀλήθειαν προδώσοντος αὐτοῦ τῇ πόλει καὶ τοὺς ἐχθροὺς ἀγαπήσοντος, ἀλλ' ὡς εὐοίκως προσησομένου τῶν ἡμετέρων πραγμάτων· ὁ δὲ, ταῦτα πιστευθεὶς πάλιν ἐκ τῶν παραληφθέντων, οὔτε ἐστρατήγει καλῶς, οὔτε ἐξηγεῖτο τῶν πραγμάτων ὀρθῶς· εἶθ' ἡ αἰτία τοῦ παραληφθέντος, Δύσνους γὰρ ἦν περὶ τὴν πόλιν καὶ ἄδικος πάνυ, ἀλλὰ καὶ αἴτιος ἡμῖν ἥττης ἐγένετο· ἐπεὶ δὲ ὁ θεὸς καλῶς ποιῶν, καὶ κηδόμενος τῶν τῆς πόλεως πραγμάτων, καὶ ἐπανορθούμενος τὰ τῆς πόλεως πταίσματα, κατὰ νοῦν ἐποίησε τοῖς πολίταις ῥῆξαι τὰ δεσμὰ, καὶ φυγεῖν δυνηθῆναι καὶ σωθῆναι πρὸς ἡμᾶς. εἶτα ἀπὸ τῶν λογισμῶν, ἐνταῦθα ὁ στρατηγὸς ἐλογίζετο, ὡς εἰ μὲν ἀνοίξει τὰς πύλας, σωθῆναί τε παρασκευάσει τοὺς τριακοσίους, καὶ οὐδὲν ὄφελος αὐτῷ τῆς προδοσίας ἔσται, καὶ τῆς ἥττης ἡμῖν ἀπαντήσει παραμύθια· εἰ δὲ μὴ ἀνοίξειεν, ὡς πληρώσει τε τὴν ἐπιθυμίαν, καὶ πάντες τεθνήξονται, καὶ εἰς στενὸν κομιδῇ καταστήσονται τὰ ἡμέτερα· τοῦτο καὶ πράττειν προείλετο.

καὶ παρατηρητέον, ὅτι καὶ τὰ πραττόμενα, καὶ τὰς αἰτίας τῶν πραττομένων, καὶ τὰ παραλειπόμενα, καὶ τὰς αἰτίας τῶν παραλειπομένων, καὶ τοὺς λογισμοὺς, καὶ πάντα ἐν πολλοῖς κώλοις καὶ ποικίλοις λέγειν δυνάμεθα. εἰ δὲ τρόπος ἐν διηγήσει τῶν πεπραγμένων πλατύνοιτο, διασκευάζεται τὸ πρόβλημα, καὶ οὐχ ἁπλῶς διηγεῖται. αἰτία μὲν γὰρ διηγήσεως, τρόπος δὲ διασκευὴν κατασκευάζει. τρόποι δὲ διηγήσεως τρεῖς, ἁπλοῦς, ἐγκατάσκευος, ἐνδιάσκευος. ὅταν μὲν οὖν ᾖ τὰ πράγματα πολλὰ καὶ ποικίλα καὶ ἱκανὰ, καὶ βαρῆ τοῦ ἀντιδίκου, ἡμῖν δὲ βοηθῇ, ἁπλῇ χρησόμεθα τῇ διηγήσει, οὐ δεῖται γὰρ ἰσχυρῶν λόγων τὸ αὐτομάτως ἰσχῦον πρᾶγμα· ἐὰν δὲ σύντομος ᾖ καὶ

πολιτικὴ ἡ διήγησις, τῷ ἐγκατασκεύῳ χρησόμεθα τρόπῳ, τὰς αἰτίας κατασκευάζοντες αὐτῶν, ἵνα γένηται ῥητορικωτέρα, τῇ προσθήκῃ τῶν αἰτιῶν εἰς τὴν κατασκευὴν βοηθουμένη. ἐὰν δὲ ᾖ σύντομος καὶ φαιδροτέρα, τῷ ἐνδιασκεύῳ χρησόμεθα τρόπῳ, μὴ φειδόμενοι μηδὲ τῶν ἀπὸ τοῦ προσώπου κατασκευῶν. ἐνδιάσκευος γάρ τοι διὰ τοῦτο κέκληται, ὅτι τοῖς ἀπὸ τῆς διασκευῆς μέρεσι βοηθεῖται. ἔφαμεν δὲ ἤδη φθάσαντες ὅτι αἰτία μὲν κατασκευάζει, τρόπος δὲ διασκευάζει. ἁπλῆ μὲν οὖν διήγησις παρὰ Δημοσθένει ἐν τῷ κατὰ Κόνωνος, αἰκίας, ἐξήλθομεν εἰς Πάνακτον, ἔτος τουτὶ τρίτον, καὶ μεθ' ἡμῶν ἐσκήνωσαν οἱ Ἀρίστωνος υἱεῖς, προσέρχουσί τε ἡμῖν, καὶ τὰς ἁμίδας κατερρήγνυον. οὐ γὰρ εἶχε μᾶλλον δεινῶσαι τὸν λόγον ἢ τὰ πράγματα λέγων αὐτὰ ψιλὰ ὁ ῥήτωρ, ἃ ἔπραττον ἐκεῖνοι, ψιλὰ ἐκθεῖναι. γυμνὰ γάρ τοι λεγόμενα πλέον ἰσχὺν ἔλαβεν, ἢ εἴ τις αὐτὰ ἐκόσμει λόγοις. ἐγκατάσκευος δέ ἐστιν ἡ κατὰ Ἀριστοκράτους. φάσκων γὰρ Χερρόνησον κινδυνεύειν τῇ πόλει, τὰς αἰτίας λέγει δι' ἃς ἐσώζετο, καὶ τὰς αἰτίας δι' ἃς ἀπώλετο. ἔστι γὰρ τοῦτο, τελευτήσαντος Κότυος, Βηρισάδην καὶ Ἀμάδοκον καὶ Κερσοβλέπτην, τρεῖς ἀνθ' ἑνὸς Θρᾴκης γενέσθαι βασιλέας. συμβέβηκε γὰρ ἐκ τούτου αὐτοῖς μὲν ἀντιπάλους εἶναι τούτους, ἡμᾶς δ' ὑπέρχεσθαι, καὶ θεραπεύειν. καὶ καθάπαξ ἡ διήγησις πᾶσα διὰ τῆς θεωρίας πεπλήρωται ταύτης. ἐνδιάσκευον δὲ ἐκεῖνο τὸ μέρος τῆς διηγήσεως ἐν τῷ περὶ τῆς παραπρεσβείας παρὰ τῷ Δημοσθένει· θέαμα δεινὸν ὦ ἄνδρες Ἀθηναῖοι καὶ ἐλεεινόν, ὅτε γὰρ νῦν ἐπορευόμεθα εἰς Δελφοὺς ἐξ ἀνάγκης ἦν ὁρᾶν ταῦτα πάντα, οἰκίας κατεσκαμμένας, τείχη περιῃρημένα, χώραν ἔρημον τῶν ἐν ἡλικίᾳ, γύναια δὲ καὶ παιδάρια ὀλίγα, καὶ πρεσβύτας ἀνθρώπους οἰκτρούς. τὸ δὲ ἄριστον καὶ

ἀναγ

ἀναγκαιότατον εἰδέναι, ὅτι τῶν διηγήσεων αἱ μὲν πλεῖσται πάσαις ὑποπίπτουσι τοῖς τρόποις· ὥστε τινὰ μὲν μέρη αὐτῶν ἁπλᾶ εἶναι, τινὰ δὲ ἐγκατάσκευα, τινὰ δὲ ἐνδιάσκευα, ὡς φαίνεται ἡ διήγησις αὕτη παρὰ τῷ Δημοσθένει, μᾶλλον δὲ αἱ πλείους. τὸ μὲν γὰρ λέγειν, ὑμεῖς τοῦτον ἐχειροτονήσατε πρεσβευτὴν, οὐχ ὡς τῶν ἀποδωσομένων τὰ ἡμέτερα, ἀλλ' ὡς τῶν φυλαξόντων τῶν ἄλλων, τοῦ ἐγκατασκεύου μέρος ἐστί· τὸ δὲ λέγειν, ὅδε τῇ πρώτῃ τῶν ἐκκλησιῶν πάντα εἰπὼν κατὰ Φιλοκράτους, τῇ δὲ ὑστεραίᾳ μεταβαλλόμενος, δῆλός ἐστι προδιδόναι, ἁπλῶς λέγει, καὶ ἁπλῶς διηγεῖται. ἐπὶ τέλει δὲ ἐδείξαμεν, ὅτι ἐνδιασκεύως τὰ περὶ Φωκέας διηγεῖται. ἀκμὴ δὲ διηγήσεως τριχῶς γίνεται, ἤτοι τοῦ πράγματος αὐτοῦ, ἢ τῆς ἀξιώσεως, ἢ τῆς αἰτίας τῆς ἀξιώσεως, συνεχῶς διαφόροις κώλοις καὶ ποικίλοις λεγομένης, ἢ καὶ τῶν δύο, ἢ καὶ τῶν τριῶν πολλάκις ὁμοίως παραλαμβανομένων. οὕτω γὰρ ἀκμὴ μείζων γίνεται καὶ ποικίλη μᾶλλον, ἐὰν τὸ πρᾶγμα τρισὶ κώλοις ἢ τέτρασιν εἴπωμεν. ἐπὶ τέλει καὶ τὴν ἀξίωσιν, καὶ τῆς ἀξιώσεως τὴν αἰτίαν. οἷον, ἐνώπιόν τις τῆς μητρὸς ἀπέκτεινε τὸν υἱὸν κατὰ τὸν τῶν ἀκρίτων νόμον, ἀπέθανεν ἡ μήτηρ, καὶ κρίνεται ὁ πατὴρ αἰτίας θανάτου, καὶ συλλαβὼν τὸν υἱὸν, ἔπαιεν, ἐτίτρωσκεν, ἐφόνευεν ὁμοῦ τῇ γυναικὶ, ὡς ἀλλοτρίους, ὡς ἐχθροὺς, ὡς ἔκ τινος τῶν πολεμίων γεγονότας, τὸ πρᾶγμα τοῦτο. εἶτα ἡ ἀξίωσις, τίς οὐκ ἀγανακτεῖ; τίς οὐκ ὀργίζεται; τίς οὐ χαλεπαίνει τοῖς γεγενημένοις; τίς οὐκ ἀπαιτεῖ τὴν προσήκουσαν τιμωρίαν; εἶτα ἡ αἰτία, δι' ὃν πεπλήρωται μιασμάτων ἡ οἰκία, δι' ὃν ἄθεσμοι φόνοι, δι' ὃν ἀσεβεῖς σφαγαὶ, δι' ὃν γένος ὅλον ἔρριπται πεφονευμένον, παρ' ὃν ἥκιστά τις ἂν προσεδόκησεν;

# ΕΡΜΟΓΕΝΟΥΣ ΠΕΡΙ ΕΥΡΕΣΕΩΝ ΤΟΜΟΣ ΤΡΙΤΟΣ.

Τὸ τρίτον μοι σύνταγμα τουτὶ γέγονεν ὦ κράτιστε Ἰούλιε Μάρκε, περὶ ὧν ἤδη σοι φθάνω καὶ δι' ἐμαυτοῦ πολλάκις τεχνολογήσας τοῦ κορυφαίου τῆς ῥητορικῆς μέρους. ἔστι δὲ ἥτε τῶν κεφαλαίων εἰσαγωγὴ, καὶ οἱ τρόποι τούτων, καὶ δι' ὅσων γίνονται. εἶτα περὶ τῶν λύσεων, καὶ δι' ὅσων συνίσταται. εἶτα ἐπιχειρημάτων, καὶ τῶν τόπων δι' ὧν λαμβάνονται. εἶτα ἐργασιῶν, αἳ καθέκαστον τῶν ἐπιχειρημάτων ἐκλαμβάνουσαι ἐργάζονται. καὶ μὴν καὶ τῶν ἐπὶ τούτοις ἐνθυμημάτων ἐμοὶ παραδοθέντων, ἀφ' ὧν τὸ ἀκρότατον τῆς δεινότητος καὶ παρὰ τοῖς ἀρχαιοτέροις εὑρίσκεται. περαιτέρω δὲ τούτων προβαίνουσαν τὴν ῥητορικὴν οὐχ εὑρήκαμεν, ἀνακυκλουμένην λέγε. πρὸ δὲ τούτων, βραχέα μοι περὶ προκατασκευῆς εἰπεῖν ἔδοξε.

## ΠΕΡΙ ΠΡΟΚΑΤΑΣΚΕΥΗΣ.

Ἡ προκατασκευὴ, πρεσβύτερόν ἐστι μέρος λόγου τῆς κατασκευῆς, ὡς δηλοῖ καὶ τοὔνομα. ἔργον δὲ αὐτῆς, τὸ προεκτίθεσθαι τὰ κεφάλαια, καὶ τὰ ζητήματα, οἷς περιπλακεὶς ὁ λόγος συμπληρώσει τὴν ὑπόθεσιν. οἷον ἐστὶν ἐκεῖνο παρὰ τῷ Δημοσθένει. δίκαιον δέ ἐστιν ἴσως ἐμὲ τρία ὑμῖν ὑπεσχημένον

ὑπὲρ

εἰπεῖν, ἐὰν μὲν ὡς παρὰ τοὺς νόμους τὸ ψήφισμα εἴρηται, δεύτερον δὲ ὡς ἀσύμφορόν ἐστι τοῦτο τῇ πόλει, τρίτον δὲ ὡς οὐκ ἀνάξιός ἐστι χαρίδημος τούτων τυχεῖν, ἁπάντων τούτων ὑμῖν αἵρεσις δοῦναι, τί πρῶτον, ἢ τί δεύτερον, ἢ τί τελευταῖον βουλομένοις ὑμῖν ἐστὶν ἀκοῦσαι. ταῦτα γάρ τοι προειπὼν, πᾶσαν ἡμῖν τὴν τοῦ κεφαλαίου τομὴν ἐσήμανε τοῦ λόγου, εἶτα καθ' ἕκαστον αὐτῶν λαβὼν διεπεράνατο ταῖς κατασκευαῖς τὰς ἁρμοττούσας ἑκάστῳ τῶν ἐπιχειρήσεων προσαγαγὼν δυνάμεις. καὶ μὴν καὶ ἐν τῷ τῆς παραπρεσβείας λόγῳ προκατασκευῆς ἔχει χώραν τὸ δύναμαι δὲ τὸ λέγειν αὐτὸν σκέψασθαι παρ' ἡμῖν αὐτοῖς τίνων προσήκει τῇ πόλει λόγον παρὰ πρεσβευτοῦ λαβεῖν. πρῶτον μὲν τοίνυν ὧν ἀπήγγειλε, δεύτερον δὲ ὧν ἔπεισε, τρίτον δὲ ὧν προσετάξατε αὐτῷ, μετὰ ταῦτα τῶν χρόνων. ἐφ' ἅπασι δὲ τούτοις εἰ ἀδωροδοκήτως ἢ μὴ ταῦτα πάντα πέπρακται. καὶ γὰρ τὸ ἐνταῦθα τῶν κεφαλαίων τὰ ἐγκλήματα προὔθηκεν ὧν καθ' ἕκαστον ἐξελέγξει, καὶ ἀποδείξειεν, δὲ ζητοίης εἰ τούτοις τέτμηκε τοῖς κεφαλαίοις τὸν λόγον, ἢ ἐν τούτοις μόνοις, ἢ ἐν τῇ τάξει ἐχρήσατο τῆς ἐπαγγελίας, ἐν τῇ κατασκευῇ, λόγον ἴδιον ζητεῖς θεωρίας, καὶ τέχνην τοῦ τῆς παραπρεσβείας καὶ οἰκονομίαν, οὐκ ἂν ἐρεῖς τὸ μὴ οὐ προεκτίθεσθαι τὰ κεφάλαια τὸν ῥήτορα, ὃ τῆς προκατασκευῆς ἐστὶν ἴδιον. πολὺ δὲ δήπουθεν διενήνοχε τεχνολογῆσαι διδασκαλικὴν θεωρίαν, ἢ θεωρῆσαι δικανικὴν ἀνάγκην, πρὸς τὸ χρήσιμον τῶν ζητουμένων διοικονομουμένου. ἐπεὶ κἀκεῖνό σοι ἄξιον τὸ χάριν προειρῆσθαι, ὡς τετήρηκα μὲν τὴν προκατασκευὴν ταύτην οὐ μιᾷ χώρᾳ συνεζευγμένην ἀλλὰ διπλῇ. ποτὲ μὲν γὰρ μετὰ τὰ προοίμια τάττεται τὴν προκατασκευὴν, ὡς ἐν τῷ τῆς παραπρεσβείας λόγῳ· ποτὲ δὲ

μετὰ τὴν διήγησιν, ὡς ἐν τῷ κατὰ ἀριστοκράτους λόγῳ. ἀλλὰ τοῦτο μὲν ἐξήρκεσεν ἂν εἰπεῖν ἄλλῳ, ὅτι διττὴν ἔχει χώραν· σοὶ δὲ οὐκ ἀποκρύψομαι παραστῆσαι τί ποτε τῷ ῥήτορι ἐνενόηται. καὶ γὰρ οὖν καὶ αὐτῷ διαπορῆσαί μοι παρέστη, γενομένῳ τοῦ πράγματος ἐν ἐπιστάσει, καὶ εὗρον τὸν ῥήτορα εἰ μὲν ἀπατήσειν μὴ μέλλοι τοὺς δικαστὰς, ἀλλὰ πληρώσειν τὴν ἐπαγγελίαν, καθαρῶς μετὰ τὴν διήγησιν τιθέντα τὴν προκατασκευὴν, καὶ ἅμα συνάπτοντα καὶ ἐπάγοντα τὴν κατασκευὴν, ὥστε ἔτι τῆς μνήμης οὔσης ἐναύλου τῆς κατὰ τὴν ἐπαγγελίαν μηδὲν ψεύδεσθαι δοκεῖν, ἀλλ' ὡς ἐπηγγείλατο τιθέντα τὴν κατασκευὴν οὕτως· ὅταν δὲ μέλλῃ δοκεῖν δικαίως μὲν ἐπαγγέλλεσθαι, τὴν ἐπαγγελίαν δὲ παρ' οὐδὲν τίθεσθαι, τηνικαῦτα μετὰ τὰ προοίμια προκατασκευάζοντα, καὶ μεταξὺ τῆς διηγήσεως τάττοντα, εἶθ' οὕτω τῆς μνήμης διὰ τῆς διηγήσεως ἐξελόντα τὴν ἐπαγγελίαν κατασκευάζοντα ὕστερον βούλεται. καθάπερ οὖν ἐν τῷ τῆς παραπρεσβείας ἑάλωκε λόγῳ. καὶ γὰρ ἐνταῦθα φήσας δεῖν πρῶτον εὐθύνας ἀπαιτεῖν ὧν ἀπήγγελε, τὸ ἀνεύθυνον τῶν λόγοις, μετὰ πολλὰ τέθεικε κεφάλαια, καὶ ὅλως τὴν τάξιν τῆς ἐπαγγελίας συγχέας οὐχ ὡς ἐπηγγείλατο κατεσκεύασεν. εἰ δὲ εἰς τὸν λόγον αὐτὸν λέγειν δέοι, καθέκαστον τῶν μερῶν ἰδίας ἔχει τέχνας καὶ ἀπορρήτους. οὐ μέντοι τὰ τῆς οἰκονομίας ἐκείνης ἴδια, κοινὰ διδασκαλίας τεχνῶν τοιούτων δύναται γενέσθαι. εὗρον καὶ ἄλλο προκατασκευῆς εἶδος παρευρεθὲν τοῖς ἀρχαίοις, ὃ κεφαλαίων μὲν ἐπαγγελίαν οὐκ ἔχει, ἀπόδειξιν δὲ παρίστησι τοῦ κατὰ τοὺς νόμους δοκεῖν εἰσέρχεσθαι τὴν κρίσιν.

προκατασκευὴ δ' ἂν καὶ τοῦτο καλοῖτο εἰκότως, ὅτι λόγος ἐστὶ πρὸ τῶν κεφαλαίων λεγόμενος, εἰκόσι λογισμοῖς πᾶσαν

τὴν

τὴν κατασκευὴν προκαλούμενος, καὶ τούτῳ κέχρηνται πολλοὶ τῶν ἀρχαίων. ἀλλὰ καὶ δημοσθένης ἐν τῷ κατὰ μειδίου, ὅτι γὰρ στάσεως οὔσης ὁρικῆς, καὶ τεμνομένων τῶν ὅρων οἷς ἴσμεν κεφαλαίοις κέχρηται, νοήμασι τοῖς ἰδίοις κατὰ τῶν ὄντως ἀδικησάντων περὶ τὴν ἑορτὴν, ἐξουσίαν εἶναι προβολῆς τοῖς κατηγορεῖν ἐσπουδακόσιν εἰ, παρὰ τὰ διωρισμένα τις ἐκ τῶν νόμων ἐν τοῖς Διονυσίοις ποιεῖ. καὶ τοῦτο ἀποδείξας, καὶ ἀναγνοὺς ἐκ νόμων, οὕτως ἐχώρησεν εἰς τὴν μελέτην τοῦ ὅρου. καί τοι τό γε τὴν κατηγορίαν ἐκ νόμων εἰσιέναι ταύτην, οὐδὲν ἔμελλε διοίσειν, οὔτε τῇ κατασκευῇ τοῦ ὅρου, οὔτε τῇ νίκῃ τοῦ τὸ πραχθὲν ἀσέβειαν εἶναι δοκεῖν, οὐχ ὕβριν. καὶ μέντοι καὶ αἰσχίνης ἐν τῷ κατὰ τιμάρχου λόγῳ τῷ αὐτῷ τρόπῳ τῆς προκατασκευῆς ἐχρήσατο. καὶ γὰρ ἐκεῖνος πορνείας γραφὴν ἐνστησάμενος, καὶ τοῦ τὰ πατρῷα κατεδηδοκέναι τὸν τίμαρχον, προκατασκευῇ κέχρηται τῇ λεγούσῃ κατὰ τῶν ἀσελγῶς ζητησάντων ἐξουσίαν εἶναι κατηγορίας καὶ γραφῆς. καίτοι τοῦτο οὔτε τοῦ στοχασμοῦ τῶν κεφαλαίων ἅπτεται, οὔτε πρὸς τὴν νίκην αὐτὸν τοῦτον κρινόμενον αἱρήσειν συναγωνίζεται. καὶ γὰρ εἰ τὰ μάλιστα διδόασιν οἱ νόμοι τὴν ἐξουσίαν τοῖς βουλομένοις κατηγορεῖν κατὰ τῶν οὕτω ζησάντων, οὐδέν τι παρὰ τοῦτο μᾶλλον ὁ τίμαρχος ἐλήλεγκται τοιοῦτος ὢν, ἐκ τούτων τῶν νοημάτων, οἷον, αὐτὸν ἐν τοῖς κεφαλαίοις ἀποδείξει. ἀλλ' ἔστιν ἀπηλλοτριωμένη τῶν ζητημάτων ἡ τοιάδε προκατασκευή. εἰ δέ μοι λέγοι τις, ὡς ὁ Δημοσθένης ἐν τῷ κατὰ τιμοκράτους λόγῳ μεταξὺ τῶν δύο νομίμων, τοῦ τε παρανόμως εἰσενηνοχέναι τὸν νόμον τὸν ὑπὸ τιμοκράτους γραφέντα, μέσῳ

κέχρηται

κέχρηται τούτῳ τῷ νοήματι ἐν τοῖς κεφαλαίοις, ὅτι καὶ τῶν μὴ ποιησάντων ἃ προστάττουσιν οἱ νόμοι νομοθετούντων. καὶ τοῦ πῶς δίδωσιν ἐξουσίαν κατηγορίας τοῖς βουλομένοις, ἔξω τὰς αἰτίας καθ' ἃς ἐκεῖ μὲν κεφαλαίων μέρος ἐγένετο, προ κατασκευῆς δὲ ἐνταῦθα. ὅταν μὲν γὰρ ἄλλης στάσεως ὁ λόγος ᾖ κεφαλαίοις ἄλλοις διαιρουμένης, τῷ νομίμῳ δὲ οὐ κατασκευασθησομένης, τότε προκατασκευὴ τὸ νόμιμον γίνεται, ὡς ἐν τῷ κατὰ Τιμάρχου στοχασμοῦ τῆς στάσεως οὔσης, προκατασκευὴ τὸ νόμιμον ἐγένετο. καὶ ἐν τῷ κατὰ Μειδίου, ὅρου οὔσης τῆς στάσεως ἀπὸ τῆς προκατασκευῆς τὸ νόμιμον ἐγένετο. οὔτε γὰρ ὅρος οὔτε στοχασμὸς τούτῳ τῷ κεφαλαίῳ τέμνονται. ὁ δὲ κατὰ Τιμοκράτους λόγος πραγματικῆς ὢν τῆς κατὰ νόμου εἰσφορᾶς ὀφείλων τῷ νομίμῳ κατασκευασθῆναι, τὸ ἐκ τοῦ νόμου βοηθοῦν μέρος αὐτῷ πεπλήρηκε τῷ νομίμῳ. ἄξιον δὲ κἀκεῖνο τηρῆσαι τῶν ῥητόρων ἐν τούτοις, ὅτι καινοὺς ἀγῶνας εἰσιόντες, ὁ μὲν πορνείας, ὁ δὲ τῆς περὶ τὰ Διονύσια προβολῆς, οἷς οὐκ ἦσαν Ἀθηναῖοι συνηθισμένοι τῷ μηδένα τοιοῦτον πρότερον εἰσελθεῖν, ἀναγκαίως ἐχρήσαντο ταύτῃ τῇ προκατασκευῇ ὡς ἂν μὴ προσκρούοιεν τοῖς δικασταῖς ἐκ τοῦ τὰ πρὸς μηδενὸς ἄλλου γενόμενα τολμᾷν εἰσάγειν, ἀλλὰ προσεκτικὸς καὶ διδασκαλικὸς τῆς κατηγορίας ὁ λόγος γένοιτο τοῖς δικασταῖς, μαθοῦσιν ὅτι περὶ ὧν πρῶτον δικάζουσιν ἐκ νόμων ὤμνηνται, καὶ ἀπὸ τῆς τῶν νόμων βουλήσεως.

ΠΕΡΙ

## ΠΕΡΙ ΒΙΑΙΟΥ.

Ἔστι καὶ τρίτον εἶδος λύσεως τὸ παραδοξότατον καὶ ἰσχυρότατον καὶ νικητικώτατον, ὃ καὶ βίαιον κέκληται. γίνεται δὲ ὅταν εἰς τὸ ἐναντίον περιστῆσαι δυνώμεθα τὸν λόγον, δι᾽ αὐτῶν αἱροῦντες τὸν ἀντίδικον, οἷς θαῤῥῶν εἰσέρχεται. ὡς ὁ Δημοσθένης. ἀλλὰ ἀγανακτήσει φίλιππος, ἐὰν τῶν πρεσβευσάντων τὴν εἰρήνην καταψηφίσησθε. διὰ γὰρ ἐκεῖνος οἴεται σωθήσεσθαι, διὰ ταῦτα δείκνυσιν αὐτὸν ἀπολωλέναι δίκαιον. ὁ μὲν γάρ φησι δεῖν φυλάττεσθαι τοὺς ἀθηναίους μὴ εἰς ὀργὴν προκαλέσωνται τὸν φίλιππον, ὁ δὲ, δείκνυσιν αὐτὸν τιμωρίας ἄξιον δι᾽ αὐτὸ τοῦτο μάλιστα, διότι τοῖς ἀθηναίοις τοιαῦτα ψηφίσασθαι παρακελεύεται δι᾽ ἃ μὴ χαλεπαίνει φίλιππος. παραφέρει δὲ οὕτως. ἐγὼ δὲ εἰ τοῦτο ἐστὶν ἀληθὲς, οὐκ ἔχω σκοπῶν μόνος εὑρεῖν ὅ τι μεῖζον τούτου κατηγορήσω. εἰ γὰρ ὁ τῆς εἰρήνης ἕνεκα χρήματα ἀναλώσας ὥστε τυχεῖν αὐτῆς, οὗτος οὕτω νῦν γέγονε φοβερὸς καὶ μέγας, ὥστε τῶν ὅρκων καὶ τῶν δικαίων ἀμελήσαντας ὑμᾶς ἤδη τί φιλίππῳ χαριεῖσθε σκοπεῖν, τί παθόντες ἂν οἱ τούτων αἴτιοι τὴν προσήκουσαν δίκην δεδωκότες ἂν εἶεν; ἢ ὅταν ἐναντία δείξῃ ποιοῦντα τὸν ἀντίδικον ὧν φησιν ἐργάσασθαι, ὡς ἐπὶ ἐκείνης τῆς ὑποφορᾶς. ἂν τοίνυν ἀντὶ πυλῶν καὶ φωκέων, ὡς χερόννησος περίεστι τῇ πόλει, λέγῃ, μὴ ἀποδέξησθε ὦ ἀθηναῖοι, μηδὲ πρὸς οἷς ἐκ τῆς πρεσβείας ἠδίκησθε καὶ ἐκ τῆς ἀπολογίας ὄνειδος προσκατασκευασθῆναι τῇ πόλει. καὶ τὸ ἐκεῖ κεχρημένος τῇ ἐνστάσει, φανερῶς ὅτι μὴ διὰ φωκέας χερόννησος σώζεται, ἢ πρὸ τεσσάρων μηνῶν

σωζομένη, μέτεισιν ἐπὶ τὸ βίαιον, δεικνὺς τὸ ἐναντίον, οὔ φησιν ὁ ἀντίδικος, ὅτι μὴ μόνον αὐτὴν οὐκ ἔσωζε διὰ φωκέας, ἀλλ' ὅτι καὶ κινδυνεύειν αὐτὴν ἐποίησε διὰ φωκέας ἀπολωλότας. εἶτα καὶ νῦν ἐν μείζονι κινδύνῳ τὴν χερόννησον εὑρήσετε ἢ τότε. πότερον γὰρ εὐπορώτερον ἂν δίκην ἔδωκε φίλιππος διαμαρτὼν εἰς αὐτὴν, καὶ τὰ ἑξῆς. πλὴν ὅτι τῆς ἐνστάσεως, πολὺ διαφέρει τὸ βίαιον. ἡ μὲν γὰρ ἔνστασις ἀναιρεῖ τὸ λεγόμενον, ὡς οὐκ ὄν· τὸ βίαιον δὲ παρίστησι τοῦ λεγομένου τὸ ἐναντίον, ἐναργῶς δὲ ἐνταῦθα ἐμήνυσεν ἑκάτερα. τὸ μὲν εἰπεῖν, οὐ διὰ φωκέας χερόννησος σώζεται, τὴν ἔνστασιν πληρώσας, τὸ δὲ ἐπειπεῖν ὅτι κινδυνεύει διὰ φωκέας χερόννησος, τὸ βίαιον παραστήσας.

## ΠΕΡΙ ΚΕΦΑΛΑΙΩΝ.

Περὶ μὲν τῆς τῶν κεφαλαίων εὑρέσεως κατὰ τὴν διαιρετικὴν διεξεθέμεθα τέχνην, καὶ ὅσα ἑκάστης τῶν στάσεων ἴδια, καὶ ὅσα κοινὰ, καὶ τὰ τούτων διάφορα· νυνὶ δὲ πρόκειται δεῖξαι, πῶς τῆς διαιρετικῆς τέχνης ὑποβαλλομένης, τῶν κεφαλαίων ἕκαστον ἡμεῖς ἐκλαβόντες, αὐτὸ κατασκευάσομεν. τὸ γὰρ πᾶν τῆς ῥητορικῆς ἰσχυρὸν ἐν τούτοις ἵσταται, καὶ τὸ τῆς νίκης κράτος ἐν τῇ κατασκευῇ τῶν κεφαλαίων διαφαίνεται. κεφάλαιον τοίνυν ἤ τι παρ' ἡμῶν αὐτῶν εἰσάγομεν, ὃ δεῖται κατασκευῆς· ἢ παρὰ τῶν ἐχθρῶν τίθεται, ὃ δεῖται λύσεως· οἷον ἐὰν μὲν ἀπολογώμεθα, ἐν τοῖς στοχασμοῖς τὴν τῶν ἐλέγχων ἀπαίτησιν ἡμεῖς εἰσάγομεν λέγοντες, ἐλέγχους πάρεχε. εἶτα κατασκευάζομεν ἐκ τῶν ἐπιχειρημάτων συνιστάντες, ὅτι δεῖ παντὸς πράγματος ἐλέγχους παρασχέσθαι, καὶ παντὸς ἐγκλήματος· ἐὰν δὲ κατηγορῶμεν

ρῶμεν, ἀνάγκη τοῦ ἐχθροῦ τὸ κεφάλαιον τιθέντος καὶ λέγοντος, ἐλέγχους πάρεχε, ἡμᾶς λύειν, λέγοντας, οὐ δεῖ ἐλέγχους παρασχέσθαι παντὸς πράγματος· καὶ εἰς τοῦτο κατασκευῆς εὐπορήσομεν τῆς ἀπὸ τῶν ἐπιχειρημάτων, ἵνα δείξωμεν, μὴ δεῖν τοὺς ἐλέγχους ἀπαιτεῖν. καὶ ἐν ταῖς πραγματικαῖς εἰ τύχοι ἢ τιθέμεθα κεφάλαιον, λέγοντες οὐ δεῖ καινοτομεῖν, ἢ οὐ δεῖ παρὰ τὰ δόξαντα λέγειν, ἢ οὐ δεῖ ἔθος καταλύειν. καὶ ὅτι ἂν τούτων εἰσάγωμεν ἐκ τῶν ἐπιχειρημάτων εἰς τὰς κατασκευὰς βοηθούμεθα, δεικνύντες ὅτι μηδὲν τούτων δεῖ ποιεῖν, ἢ καινοτομεῖν, ἢ τὰ δόξαντα λύειν, ἢ ἔθος παραβαίνειν. ἢ τεθὲν παρὰ τῶν ἀντιδίκων λεγόντων, ὅτι οὐ δεῖ ταῦτα ποιεῖν, ἡμεῖς αὖθις δεόμεθα λύσεως, ἵνα δείξωμεν ὅτι δεῖ καινοτομεῖν καὶ τὰ δόξαντα λύειν, ἢ τὸ ἔθος παραβαίνειν, καὶ εἰς τὴν τούτων κατασκευὴν βοηθούμεθα τοῖς ἐπιχειρήμασι. πολλῶν δὲ πολλὰ ἐκθεμένων περὶ ἐπιχειρημάτων καὶ πολὺν ἀναλωσάντων λόγον, καὶ μηδενὸς δυνηθέντος σαφῶς παραστῆσαι, πειράσομαι ὅτι μάλιστα σαφέστατα διακρῖναι, τίς εὕρεσις ἐπιχειρήματος, ὃ κατασκευάζει τὸ κεφάλαιον ἢ τὴν λύσιν· καὶ τίς εὕρεσις ἐργασίας, ἣ κατασκευάζει τὸ ἐπιχείρημα· καὶ τίς εὕρεσις ἐνθυμήματος, ὃ κατασκευάζει τὴν ἐργασίαν. ἐὰν μὲν οὖν ἡμεῖς εἰσάγωμεν κεφάλαιον, ἁπλῆς δεήσει τῆς θέσεως, καὶ τῆς εἰς τοῦτο κατασκευῆς ἀπορήσομεν ἀπὸ τῶν ἐπιχειρημάτων μετὰ προτάσεως. τὸ δὲ ἐντελέστερον ἐὰν τιθῆται ἀπὸ τῶν ἐχθρῶν καὶ εἰσάγηται. τότε γὰρ δεῖ κοσμῆσαι τὸ κεφάλαιον, προτάσει, ὑποφορᾷ, ἀντιπροτάσει, λύσει τῇ καὶ ἀνθυποφορᾷ καλουμένῃ. ὃ δὲ τούτων ἕκαστόν ἐστι, σαφῶς παραστήσω. πρότασις μὲν γάρ ἐστιν ἡ ἐπαγγελία τῆς ὑποφορᾶς. ὑποφορὰ δὲ ὁ τοῦ ἐχθροῦ λόγος.

ἀντιπρότασις δὲ ἡ περὶ λύσεως ἐπαγγελία. εἶτα ἡ λύσις ἣν ποιούμεθα ἐκ τῆς τῶν ἐπιχειρημάτων κατασκευῆς. οἷον εἰ τύχοι, κατατρέχει Χερρόνησον Φίλιππος. γράφει Δημοσθένης διορύξαι τὸν ἰσθμόν. τάχα τοίνυν τοιοῦτος ἥξει λόγος παρὰ τοῦ ἀντιδίκου, τοῦτο ἡ πρότασις. ὡς χαλεπὸν διορύξαι Χερρόνησον, τοῦτο ἡ ὑποφορά. ἔστι δὲ τοῦτον αὐτὸν οὐ χαλεπὸν διαλῦσαι τὸν λόγον, τοῦτο ἡ ἀντιπρότασις. τὸ γὰρ διορύσσειν πρᾶγμα ῥᾴδιον, τοῦτό ἐστιν ἡ λύσις ἥτις δεῖται ἐπιχειρημάτων. τὸ μὲν οὖν πλῆρες κεφάλαιον οὕτω. λείπεται δὲ πολλάκις ἡ πρότασις οὐδὲν βλάπτουσα τὴν ὑποφοράν. κόσμος γάρ ἐστι τοῦ λόγου, καὶ πλέον οὐδὲν πολλάκις. ἔσθ' ὅτε δὲ καὶ θεωρίας ἐνδείγματα καλλίστης ἐμφανίζουσιν ἥ τε πρότασις καὶ ἀντιπρότασις, εἰ τῆς ἑρμηνείας τοῖς ὀνόμασι προσέχοιμεν ἐξ ὧν τὸ εἶδος τῆς ὑποφορᾶς ὅπως διασύρεται καὶ δείκνυται θεωροῦμεν. οἶδ' ἀγανακτήσει τοίνυν αὐτίκα δὴ μάλα, ὡς ἐγὼ πυνθάνομαι, εἰ μόνος τῶν ἐνταῦθα πολιτευομένων, λόγων εὐθύνας ὑφέξει. εἰ μὲν γὰρ ἔλεγε πυνθάνομαι τοίνυν αὐτὸν περιάγοντα κατὰ τὴν ἀγορὰν λέγειν ἃ ἐπὶ νῦν ἴσως πρὸς ὑμᾶς ἐρεῖ, ἀγανακτεῖ εἰ μόνος τῶν ἐνταῦθα πολιτευομένων, λόγων εὐθύνας ὑφέξει, μετὰ προτάσεως ἔκειτο. ἐν οἷς γὰρ λόγοις ἐλπίζεται ἡ ὑποφορά, τοῦτό ἐστιν ἡ πρότασις. τὸ δὲ λέγειν ὅτι ἀγανακτήσει τοίνυν εἰ μόνος τῶν ἐνταυθοῖ πολιτευομένων, λόγων, εὐθύνας ὑφέξει, τοῦτό ἐστιν ἡ ὑποφορά. ποτὲ δὲ ἀντιπρότασις λείπει, τουτέστιν ἡ περὶ λύσεως ἐπαγγελία. οἷον, ἔστι δὲ οὐκ ἄδηλον ὦ ἀθηναῖοι τοῦθ' ὅτι Λεπτίνης, κἂν τις ἄλλος ὑπὲρ τοῦ νόμου λέγῃ, δίκαιον μὲν οὐδὲν ἐρεῖ περὶ αὐτοῦ, μέχρι τούτου ἡ πρότασις, φήσει δὲ ἀναξίους τινὰς ἀνθρώπους εὑρομένους ἀτέλειαν ἐκδεδυκέναι τὰς λειτουργίας· τοῦτο ἡ ὑποφορά· ἐγὼ δὲ ὅτι μὲν τινῶν κατηγοροῦντα πάντας ἀφαιρεῖσθαι τὴν

Δωρεὰν

δωρεὰν τὴν ἀδίκων οὖσαν ἐάσω. τοῦτο εὐθέως ἡ λύσις. λείπει δὲ ἡ ἀντιπρότασις· ἣν δ' ἂν πλήρης εἰ ἔλεγε· χρὴ δὲ ὑμᾶς ὦ ἄνδρες Ἀθηναῖοι μηδαμῶς ἀποδέχεσθαι τοῦτον τὸν λόγον. τὸ γὰρ ξένων κατηγοροῦντα πάντας ἀφαιρεῖσθαι τὴν δωρεάν, ἄδικον, καὶ ἡ ἀντιπρότασις μέν τοι λείπουσα οὐδὲν τοῦ νοήματος λυμαίνεται, ἀλλὰ τὴν αὐτὴν ἔχει δύναμιν τῇ προτάσει, ἥ τις μόνον κόσμος ἐστὶ τοῦ λόγου. ἐπεὶ πολλάκις καὶ χωρὶς προτάσεως καὶ ἀντιπροτάσεως εὑρίσκομεν παρὰ τοῖς ἀρχαίοις. οἷον, ἀλλὰ ἀδίκως φησὶν ἦρξας. ἡ ὑποφορὰ χωρὶς προτάσεως. εἶτα παρ' ὧν ὅτε με εἰσῆγον οἱ λογισταὶ διατί οὐ κατηγόρεις; ἡ λύσις χωρὶς ἀντιπροτάσεως. τὸ δὲ πλῆρες ἀπὸ τῶν ἀρχαίων οὕτω, φίλιππος γὰρ ἔρχεται μὲν περὶ ἁλοννήσου λέγων, ὡς ἡμῖν δίδωσι ἑαυτοῦ οὖσαν, ἡμᾶς δ' οὔ φησι δικαίως αὐτὸν ἀπαιτεῖν. οὐ γὰρ ἡμετέραν οὖσαν οὔτε λαβεῖν, οὔτε νῦν ἔχειν. ἔλεγε δὲ καὶ πρὸς ἡμᾶς τούτους τοὺς λόγους, ὅτε πρὸς αὐτὸν ἐπρεσβεύομεν. τοῦτο ὅλον πρότασις. εἶτα ὑποφορά, ὡς λῃστὰς ἀφελόμενος, ταύτην τὴν νῆσον κτήσαιτο, καὶ προσήκειν αὐτὴν αὐτοῦ εἶναι· τοῦτο ἡ ὑποφορά. τοῦτον δὲ τὸν λόγον ὡς οὐκ ἔστι δίκαιος οὐ χαλεπόν ἐστιν αὐτοῦ ἀφελέσθαι· τοῦτο ἡ ἀντιπρότασις. ἅπαντες γὰρ οἱ λῃσταὶ τοὺς ἀλλοτρίους τόπους καταλαμβάνοντες καὶ τούτους ἰσχυροὺς ποιούμενοι, ἐντεῦθεν τοὺς ἄλλους κακῶς ποιοῦσιν. ὁ δὴ τοὺς λῃστὰς τιμωρησάμενος καὶ κρατήσας, οὐκ ἂν δή που εἰκότα λέγοι, εἰ φαίη ἃ ἐκεῖνοι ἀδίκως καὶ ἀλλότρια εἶχον, ταῦτα ἐὰν ἑαυτοῦ γίνεσθαι, τοῦτο ἡ λύσις. καὶ ἡ τοῦ κεφαλαίου εἰσαγωγὴ ἐκ τῶν τεττάρων πεπλήρωται, προτάσεως, ὑποφορᾶς, ἀντιπροτάσεως, λύσεως.

## ΠΕΡΙ ΕΠΙΧΕΙΡΗΜΑΤΩΝ.

Εἴτε οὖν εἰσάγοιμεν ἡμεῖς κεφάλαιον, εἴτε τι θὲν λύοιμεν, δεῖ ζητεῖν τὰ ἐπιχειρήματα, ὅθεν εὑρεθήσεται καὶ ἀπὸ ποίων τόπων ὁπόσων. εἴτε γὰρ κατασκευάζοιμεν, εἴτε λύοιμεν, ἀπὸ τῶν αὐτῶν αἱ γενέσεις τῶν νοημάτων τοῖς ἐπιχειρήμασι. καὶ παρὰ ταῦτα οὐδεὶς ἂν εὑρεῖν ἕτερον δύναιτο. εὑρίσκεται τοίνυν πᾶν ἐπιχείρημα γινόμενον ἀπὸ τῆς περιστάσεως. περίστασις δέ ἐστι τὸ πᾶν ἐν ἡμῖν καὶ λόγοις καὶ πράγμασι καὶ δίκαις καὶ ὑποθέσεσι καὶ βίῳ, τόπος, χρόνος, τρόπος, πρόσωπον, αἰτία, πρᾶγμα. προστιθέασι δὲ οἱ φιλόσοφοι καὶ ἕβδομόν τι, τὴν ὕλην, ἣν ὁ ῥήτωρ οὐκ ἰδίᾳ χωρίζων ἔχει· πιθανῶς δὲ ἐπιμερίζει τῶν ἄλλων ἑκάστῳ ὅτῳ ἂν καὶ δύνηται. εἴτε οὖν ἀξιοῖμεν γενέσθαι τι, φήσομεν ἐπιχειροῦντες δεῖν αὐτὸ γενέσθαι. καλὸν γὰρ εἶναι ἢ διὰ τὸν τόπον, ἢ διὰ τὸν χρόνον, ἢ διὰ τὸν τρόπον, ἢ διὰ τὸ πρόσωπον, ἢ διὰ τὴν αἰτίαν, ἢ διὰ τὸ πρᾶγμα· εἴτε ἀντιλέγοιμεν ἀξιοῦντες μὴ δεῖν γενέσθαι, φήσομεν μὴ δεῖν αὐτὸ πραχθῆναι. φαῦλον γὰρ εἶναι ἢ διὰ τὸν τρόπον, ἢ διὰ τὸν χρόνον, ἢ διὰ τὸν τόπον, ἢ διὰ τὸ πρόσωπον, ἢ διὰ τὴν αἰτίαν, ἢ διὰ τὸ πρᾶγμα. εἴτε ἐπὶ τοῦ παρεληλυθότος, εἴτε ἐπὶ τοῦ μέλλοντος. πραχθήσεται δὲ διὰ τὸν τρόπον ἢ χρόνον καὶ τὰ ἑξῆς· ἢ οὐ πραχθήσεται διὰ τὸν τρόπον ἢ χρόνον καὶ τὰ ἑξῆς. καταμάθωμεν δὲ καὶ ἐπὶ παραδείγματος ἀφ' ὧν πάντα σαφῆ γίνεται. οἷον ἐπὶ τοῦ στοχασμοῦ πρῶτον ἐμπίπτει κεφάλαιον παραγραφικόν, εἶτα ἡ τῶν ἐλέγχων ἀπάντησις, εἰ μή τι πρὸ αὐτοῦ παραδόξως ἕτερον εὑρεθείη, καθὰ συμβαίνει πολλάκις. ἔστω δὲ πρόβλημα ὁ Περικλῆς ὁ κρινόμενος προδοσίας.

περίστασις

Iustinus lib. 3.

δοσίας, ὅτι μὴ ἐδήωσεν αὐτοῦ τοὺς κήπους ἀρχίδαμος. εἴτε γὰρ ἀπαιτοίη τοὺς μάρτυρας ὁ περικλῆς, ἐπιχειρήσει λέγων τὴν τῶν ἐλέγχων ἀπαίτησιν, πρῶτον μὲν ἀπὸ τοῦ πράγματος, ὅτι δεῖ ἐλέγχους παρέχεσθαι προδοσίας, τὸ κεφάλαιον ὁρίσας. εἶτα ἐπιφέρων ἐπιχείρημα, παντὸς γὰρ πράγματος κρινομένου δεῖ τοὺς ἐλέγχους παρέχεσθαι, δίκαιον γὰρ τοῦτό γε. εἶτα ἀπὸ τοῦ προσώπου, ὅτι καὶ δεῖ περικλέα μὴ ἄνευ μαρτύρων κρίνεσθαι προδοσίας. εἶτα ἀπὸ τοῦ τόπου, ὅτι καὶ μὴ δεῖ ἐν δημοκρατίᾳ ἄνευ μαρτύρων τὰς κρίσεις γίνεσθαι. εἶτα ἀπὸ τῆς αἰτίας, ὅτι διὰ τοῦτο δεῖ μάρτυρας παρέχεσθαι τοῦ περικλέους τῆς προδοσίας, καὶ ἀπαιτεῖν, ἵνα τοῦτο προεγνωκότες οἱ κατήγοροι μὴ συκοφαντῶσι προπετῶς, γινώσκοντες ὅτι συκοφαντίας ἁλώσονται προπετῶς κατηγοροῦντες, ἐὰν μὴ παρέχωσι μάρτυρας. εἰ δὲ ἀντιλέγοιμεν μὴ δεῖν μάρτυρας παρέχεσθαι, καὶ τότε ὁμοίως ἐπὶ ταῖς περιστάσεσι βαδιούμεθα λέγοντες, καὶ πρῶτον μὲν τὸ κεφάλαιον ὁρίζοντες, οὐ δεῖ μάρτυρας παρέχεσθαι τῆς προδοσίας τοῦ περικλέους. εἶτα ἐπιχείρημα ἀπὸ τοῦ πράγματος, πᾶν γὰρ πρᾶγμα, ᾧ πρόσεστιν ἀδίκημα, κρύφα πράττεσθαι πρὸς τῶν πονηρῶν, ἵνα μὴ κατάφοροι γινόμενοι διδῶσι τιμωρίας. εἶτα ἀπὸ τοῦ προσώπου, ὅτι καὶ μαρτυρεῖν οὐδεὶς ἐθελήσει κατὰ περικλέους, φοβούμενος τὸ ἀξίωμα τοῦ ἀνδρός. εἶτα ἀπὸ τῆς αἰτίας, ὅτι οὐ μὴ δεῖ μάρτυρας ζητεῖν πάντων τῶν ἀδικημάτων, ἀλλὰ καὶ ἀπὸ τῶν εἰκότων κρίνειν. εἰ δὲ μή, πράσσονται πάντες ἄνευ μαρτύρων ἐπιτίθεσθαι, ὡς δὴ οὐδενὸς ἄλλου ἁλωσόμενοι πλὴν τούτου. εἶτα ἀπὸ τοῦ τόπου, ὅτι καὶ ἐν ἀθήναις, ὅπου καὶ ἡ ἀλήθεια τῶν πραγμάτων πλέον ἰσχύει τῶν μαρτύρων. ὡς ἐν τῷ κατὰ τιμάρχου φησὶν αἰσχίνης, ὅτι καὶ τῆς ξενίας οὐκ ἀπὸ τῶν μαρτύρων ἐν

τοῖς

τοῖς δήμοις, ἀλλ' ἀπὸ τῆς ἀληθείας εὑρίσκετε. καὶ ἐπὶ τῆς βουλήσεως ὁμοίως τὸ κεφάλαιον ὁρίζοντες, τρεψόμεθα πάλιν ἐπὶ τὰ ἐπιχειρήματα, ὅτι οὐκ εἰκὸς ἐθελῆσαι προδοῦναι περικλέα. ἀπὸ τοῦ πράγματος· ὅτι οὐκ εἰκὸς ἐθελῆσαι προδοῦναι περικλέα. φαῦλον γὰρ πρᾶγμα ἡ προδοσία, καὶ ὃ μηδεὶς ἂν ἡδέως ὑποσταίη ἐνέχων, καὶ ὅτι ἀντὶ πολλῶν καὶ μεγάλων ἀγαθῶν, οὐκ ἂν πονηρὸν πρᾶγμα εἱλόμην. εἶτα ἀπὸ προσώπου, οὐκ ἂν ἠθέλησα προδοῦναι περικλῆς ὤν, φιλόπολις ἀεὶ καὶ φιλαθήναιος, καὶ κρείττων χρημάτων. εἶτα ἀπὸ τῆς αἰτίας· οὐκ ἂν ὑμᾶς προὔδωκα. οὐ γὰρ ἐδεόμην χρημάτων πλούσιος ὤν, οὐδὲ ἐμισούμην παρ' ὑμῶν, ἀλλ' ἐθαυμαζόμην. εἶτα ἀπὸ τοῦ χρόνου· ὅτι μηδὲ προδοῦναι ἂν ἠθέλησα νῦν ἔχων τηλικαύτην δόξαν καὶ τοσαύτην. εἶτα ἡ δύναμις· ὅτι οὐκ ἂν ἠδυνήθην προδοῦναι. καὶ πρῶτον μὲν ἀπὸ τοῦ πράγματος· ὅτι προδοσία πρᾶγμα δύσκολον, καὶ οὐ ῥᾳδίως πραχθῆναι δυνάμενον. εἶτα ἀπὸ τοῦ προσώπου· ὅτι καὶ περικλεῖ δύσκολον, ὃς ἐν προσχήματι τιμῆς ἀεὶ πρὸς ἀθηναίους ὢν φυλάττεται, κρύφα μηδὲν πρᾶξαι δυνάμενος. εἶτα ἀπὸ τοῦ χρόνου· ὅτι καὶ τότε δύσκολον, ὅτε ἡ πόλις ἐφυλάττετο, μήτε εἰσιόντος τινὸς μήτε ἐξιόντος. καὶ ὁ δημοσθένης ἐν τῷ περὶ παραπρεσβείας, ἀνεύθυνός φησιν ἐπὶ λόγοις, εἶτα οὐκ ἀνεύθυνος. καὶ πρῶτον ἔλαβεν ἀπὸ τοῦ πράγματος. οὐδὲν γὰρ πρᾶγμα ἀνεύθυνον ᾧ πρόσεστιν ἀδίκημα. εἶτα ἀπὸ τοῦ προσώπου. ὅτι καὶ ῥήτωρ ἀνεύθυνος ἐπὶ λόγοις οὐκ ἂν εἴη. ἕκαστος γὰρ ὧν ἐστι κύριος τούτων τὰς εὐθύνας δίδωσιν. εἶτα ἀπὸ τοῦ τόπου. ὅτι καὶ ἐν δημοκρατίᾳ οὐδεὶς ἀνεύθυνος ἐν λόγοις. οἷς γάρ ἐστιν ἐν λόγοις ἡ πολιτεία πῶς ἂν οὗτοι μὴ ὦσιν ἀληθεῖς, ἀσφαλῶς ἐστι πολιτεύεσθαι

πενίας. καὶ καθάπαξ ὡς ἔφημεν πάντα τὰ κεφάλαια οὕτω
ἢ ἀνασκευασθήσεται ἢ κατασκευασθήσεται. οἷον, συνεχῶς καταξέ-
νῳ Χερρόνησον Φίλιππος, καὶ γράφει Δημοσθένης διορύξαι τὸν ἰσθ-
μόν. κεφάλαιον, καινὰ γράφεις, καινοτομεῖν δὲ οὐ δεῖ, πρῶτον
ἀπὸ τοῦ πράγματος· πονηρὸν γὰρ ἡ καινοτομία. εἶτα ἀπὸ τοῦ
προσώπου· ὅτι τοὺς μὴ δεῖ καινοτομεῖν Ἀθηναίους, τοὺς συνετοὺς
τοὺς τοῖς ἀρχαίοις ἀεὶ τοῖς νόμοις καὶ ἤθεσι χρωμένους. εἶτα ἀπὸ
τοῦ καιροῦ· ὅτι μὴ δεῖ ἐν πολέμῳ καινοτομεῖν· ἀγαπητὸν γὰρ
εἰ καὶ τὰ συνήθη φυλάττων τις ἐν ἐκείνῳ σωθήσεται. δεῖ καινοτο-
μεῖν, ἡ λύσις. εἶτα ἀπὸ τοῦ πράγματος· καλὸν γὰρ τὸ και-
νοτομεῖν, καὶ ὁ βίος ἀεὶ καινοτομεῖται τοῖς πράγμασι, καὶ διὰ
τοῦτο βελτίων γίνεται. εἶτα καὶ ἀπὸ τοῦ προσώπου· δεῖ καινοτο-
μεῖν Ἀθηναίους. ὡς νεωτεροποιοὶ γὰρ τοῖς ἐχθροῖς ἐπαινού-
μεθα. εἶτα ἀπὸ τοῦ καιροῦ· ὅτι καὶ δεῖ ἐν πολέμῳ καινοτο-
μεῖν. καινοτόμον γὰρ πρᾶγμα ὁ πόλεμος, καὶ ἀφ' ἑαυτοῦ
τεχνᾶται τὰ πολλά. κεφάλαιον ἕτερον ἐμπίπτει πάλιν, ὅτι
δύσκολον διορύξαι Χερρόνησον. εἶτα ἀπὸ τοῦ πράγματος·
αὐτὸ γὰρ τὸ διορύσσειν δύσκολον. εἶτα ἀπὸ τοῦ προσώπου·
ὅτι καὶ Ἀθηναίοις δύσκολον τοῖς ἀήθεσι. εἶτα ἀπὸ τοῦ τόπου·
ὅτι καὶ μακρὰν ἀπὸ τῆς πατρίδος δύσκολον. εἶτα ἀπὸ τοῦ
καιροῦ· ὅτι τοὺς ἐν πολέμῳ δύσκολον ταῦτα ποιεῖν. ἡ λύσις,
οὐ δύσκολον. τό, τε γὰρ πρᾶγμα ῥᾴδιον τοὺς ἐν τῇ ἡμετέρᾳ χώ-
ρᾳ, εἶτα ὅτι καὶ Ἀθηναίοις πάντα ῥᾴδια. αἱ μὲν οὖν γενέσεις τῶν
ἐπιχειρημάτων αὗται. πολλάκις δὲ ἀπὸ μιᾶς γενέσεως καὶ
δύο καὶ τρία εὑρίσκεται τὰ ἐπιχειρήματα. οἷον, ἀπὸ τοῦ προσώ-
που· ὅτι μὴ ὁ δεῖνα τόδε ἐποίησεν· ἔστι γὰρ τοῦτο τοῦ τοιούτου.
εἶτα ὅτι μηδὲ κατὰ τήνδε ἐποίησεν· ἔστι γὰρ ἀπὸ προσώπου καθ'

ὧν δοκεῖ πεποιηκέναι. εἶτα ὅτι μηδὲ ὑπὲρ τῆσδε ἐποίησεν. ἔστι γὰρ ἀπὸ προσώπων τῶν δι' οὓς κρίνεταί τις. οἷον, ἐπὶ τῶν παραδειγμάτων, ὅτι οὐκ εἰκὸς ἐθελῆσαι προδοῦναι περικλέα τὸν συνετὸν τὸν οὕτω λαμπρὸν καὶ μέγαν καὶ στρατηγὸν καὶ ἔνδοξον. ἀπὸ τοῦ περικλέους τοῦτο, ὅτι μὴ δὲ εἰκὸς ἐθελῆσαι προδοῦναι ἀθηναίους, τοὺς τιμῶντας αὐτόν. ἄλλο πρόσωπον, ὅτι μὴ δὲ εἰκὸς ἐθελῆσαι προδοῦναι λακεδαιμονίοις τοῖς ἐχθροῖς τοῖς ἐπιβουλεύουσιν αὐτῷ. καὶ τοῦτο ἄλλο πρόσωπον. καὶ πάλιν, δεῖ καινοτομεῖν ἀθηναίους. ἀπὸ τοῦ προσώπου· ἀεὶ γὰρ ἀθηναῖοι καινοτόμοι. καὶ δεῖ καινοτομεῖν κατὰ φιλίππου τι ποιοῦντας. καινοτόμος γὰρ καὶ φίλιππος. δεῖ δὲ μιμεῖσθαι τὰς τῶν πολεμίων ἐπιτηδεύσεις ἐν τῷ πολέμῳ. καὶ ταῦτα ἄλλα πρόσωπα. καὶ πάλιν, ὅτι χαλεπὸν διορύξαι χερρόνησον. καὶ λύεται ἀπὸ τοῦ τόπου τὸ ἐπιχείρημα· μακρὰν γὰρ ἀθηναίων χερρόνησος. καὶ πάλιν, χαλεπὸν διορύξαι χερρόνησον· μέγας γὰρ ὁ τόπος ὃν ἀξιοῦσι διορύξαι πέντε καὶ τετταράκοντα σταδίων. εὑρίσκεται δὲ πολλάκις οὕτω καὶ ἀπὸ τῆς αἰτίας. οἷον, συμβουλεύει ὁ θεμιστοκλῆς ἐν τῇ θαλάσσῃ μυεῖν. ἀλλὰ δέος μὴ ἐπιστῇ βασιλεὺς μυουμένοις ἡμῖν. ἀλλ' οὐκ ἐπιστήσεται, ἀπὸ τῆς αἰτίας, ἵνα μὴ δόξῃ περὶ τοὺς θεοὺς ἀσεβὴς εἶναι, κωλύων γενέσθαι μυστήρια. καὶ πάλιν, οὐκ ἐπιστήσεται, ἵνα μὴ ἀσεβήσας ἡττηθῇ. ἔστι γὰρ ἴδιον μὲν τὸ ἵνα μὴ δόξῃ ἀσεβὴς εἶναι, ἴδιον δὲ ἵνα μὴ ἀσεβήσας ἡττηθῇ. ἐπεὶ καὶ ἐν εἰρήνῃ φυλάξεταί τις ἀσεβὴς εἶναι δοκεῖν, κἂν μηδὲν διὰ τοῦτο φανερὸν ἤδη φοβῆται κακόν. καὶ ὅλως εὑρίσκεται ἐπὶ πάντων, πλὴν οὐκ ἀεί, σπανιάκις δέ γε. ὥσπερ τοίνυν τοῦτο ἴσμεν, ὅτι πολλάκις ἡ μία γένεσις τοῦ ἐπιχειρήματος, δύο καὶ τρία παρὰ τὸ τυχὸν εὑρίσκει ἐπιχειρήματα, οὕτως ἰστέον ὅτι καὶ πολλάκις ἐν

ἐπιχείρημα εὑρίσκεται κοινὸν καὶ δύο καὶ τριῶν γενέσεων, ὡς δύναται τὸ αὐτὸ δοκεῖν εἶναι καὶ καιροῦ καὶ τόπου, ἢ αἰτίας καὶ πράγματος, ἢ προσώπου καὶ τόπου. οἷον, ὅτι καὶ δεῖ τῶν κρίσεων ἐλέγχους παρέχεσθαι παρ' ὑμῖν τοῖς δημοκρατουμένοις. τοῦτο γὰρ ἐστὶ κοινὸν καὶ τοῦ προσώπου τῶν δημοκρατουμένων, καὶ τοῦ τόπου ἔνθα ἐστὶν ἡ δημοκρατία. καὶ πάλιν, δεῖ λόγων εὐθύνας εἶναι παρ' ὑμῖν τοῖς δημοκρατουμένοις. κοινὸν γάρ ἐστιν ὡς ἔφην ἀμφοῖν. πάντα δὲ ταῦτα ἐξεθέμην, ὅπως εἰδείημεν καὶ τὰς εὐπορίας μὴ περιττὰς εἶναι δοκεῖν, ἃς ὑπερβάλλει τὰ ἐπιχειρήματα ὅταν ἐξῇ πολλὰ λαβεῖν καὶ τὰς ἀπορίας· καὶ ὅτι μὴ παρ' ὑμᾶς ἀπαντᾶν τὰ νοήματα νομίζειν προσήκει. καὶ μάλιστα ὅταν ἓν νόημα, καὶ ἓν ἐπιχείρημα ἐπικρατῇ πολλῶν γενέσεων. τὸ γὰρ πρᾶγμά ἐστι τὸ πάσχον τὴν ἀπορίαν, ἢ ἀναδεχόμενον τὴν ἀπορίαν. ὁ μέντοι τεχνίτης εἰς τὴν θεωρίαν ἀποβλέπων, εἴσεται περὶ ὅ τι συμβαίνει ἡ ἀνάγκη, ὥστε εἰδέναι τοῦτο καὶ μὴ λυπεῖσθαι αὐτὸν, καθάπερ ἀνόητον, μὴ δυναμένης τῆς τέχνης ὑπερβαλεῖν τῷ πράγματι ἐπιχειρήματα, αὐτός ἐστιν ἐν στενῷ κομιδῇ τῆς εὐπορίας τῶν νοημάτων. ἔστι δὲ τῷ τρόπῳ τῆς μεταποιήσεως καὶ τὰ πλήθη συστεῖλαι τῶν νοημάτων καὶ τὰ ἄπορα ἐκτεῖναι, καὶ πολλὰ ποιῆσαι ταῖς κατὰ τὴν ἑρμηνείαν θεωρίαις. ἐπεὶ μηδὲ Δημοσθένης ᾐδέσθη πολλάκις ἑνὶ χρησάμενος ἐπιχειρήματι, καὶ ποτὲ μὲν αὐτὸ ἐξετάσας καὶ μεταποιήσας, ὡς ἐν τῷ τῆς παραπρεσβείας τῷ πρώτῳ τὸ μεταστατικόν, ποτὲ δὲ μηδὲ ἐργασάμενος, ὡς ἐν τῷ περὶ τοῦ στεφάνου. ἀλλ' ἀδίκως φησὶν ἦρξας, εἶτα πρῶτον ὅτε με εἰσήγαγον οἱ λογισταί, διατί οὐ κατηγόρεις; ἠρκέσθη γὰρ τῷ ἀπὸ τοῦ χρόνου ἐπιχειρήματι νικῆσαι τὴν ὑποφορὰν, νῦν οὖν κατηγορεῖς, δέον δὲ ὅτε ἐκρινόμην καὶ τὰς εὐθύνας ἐδίδουν.

# ΕΡΜΟΓΕΝΟΥΣ

## ΠΕΡΙ ΕΝΣΤΑΣΕΩΣ ΚΑΙ ΑΝΤΙΠΑΡΑΣΤΑΣΕΩΣ.

Ἰστέον ὅτι τὴν ἔνστασιν καὶ ἀντιπαράστασιν, ἐναντία κεφάλαια τοῦ ἀντιλήψεως ἡ διαιρετικὴ παρέδωκε τέχνη. οἷον, ἐξῆν μοι κτεῖναι τὸν υἱόν· ἀντιληπτικὸν τὸ κεφάλαιον. εἶτα ἡ ἔνστασις· οὐκ ἐξῆν. εἶτα ἡ ἀντιπαράστασις· εἰ δὲ καὶ ἐξῆν, ἀλλ' οὐκ ἐνώπιον τοῦ μητρός. καὶ πάλιν, ἀνεύθυνος τοῖς λόγοις, τὸ κεφάλαιον. ἀλλ' οὐκ ἀνεύθυνος, ἡ ἔνστασις. εἰ δὲ καὶ ἀνεύθυνος, οὐχ ἵνα ὑβρίζῃς τὴν πόλιν, ἡ ἀντιπαράστασις. χρὴ δὲ ἡμᾶς καθέκαστον τῶν κεφαλαίων ἐν πάσῃ στάσει πειρᾶσθαι τὰς μάχας, καὶ τὰς κατασκευὰς κατ' εἰκόνα τοῦ ἐνστάσεως καὶ ἀντιπαραστάσεως εἰσάγειν. πάντως γὰρ δυοῖν θάτερον, ἢ τὸ τῆς ἐνστάσεως, ἢ τὸ τῆς ἀντιπαραστάσεως, βιαιότατον ἀποδείκνυσι τὸν ῥήτορα. οἷον, ἐὰν λέγωμεν ὅτι δεῖ καινοτομεῖν, κεφάλαιον. εἶτα λέγωμεν, ὅτι καὶ καινοτομεῖν προσήκει τῶν τοῦ συμφέροντος. τοῦτο γὰρ ἀντιπαραστατικῶς εἰσάξομεν. εἶτα ὅτι μηδὲ καινοτομεῖν· τοῦτο ἐνστατικῶς. καὶ πάλιν ὅτι δύσκολον τόδε ποιῆσαι, κεφάλαιον. ἀλλ' οὐ δύσκολον, ἐνστατικῶς. εἰ δὲ δύσκολον, ποιητέον, ἀντιπαραστατικῶς. ἅμα γάρ τοι καὶ ἡ εὐπορία τῶν νοημάτων καὶ τῶν ἐπιχειρημάτων ἀμύθητος καὶ πολλὴ γίνεται ζητούντων ἡμῶν, εἴτε τὴν ἔνστασιν πρώτην θείημεν, εἴτε τὴν ἀντιπαράστασιν, καὶ εἰς ἐκείνην πρῶτον τὴν προκειμένην ἀπὸ τῆς περιστάσεως ζητούντων τὰ νοήματα, εἶτα εἰσαγαγόντων τὴν ἑτέραν. καὶ πάλιν ἀπὸ τῆς αὐτῆς περιστάσεως ζητοῦντας τὰ ἐπιχειρήματα, καὶ εἰς ἄπειρον οὗτος ὁ λογισμὸς τὰ νοήματα ἐξάγει. εἰ γὰρ ἡ ἔνστασις εὕροι δύο ἐπιχειρημάτων πίστεις, καὶ ἡ ἀντιπαράστασις δύο, καὶ εἰς ἕκαστον ἐπιχείρημα

ἐπιχείρημα ἐργασίαν δῶμεν, καὶ καθ' ἑκάστην ἐργασίαν αὖθις ἐνθύμημα, τῷ ὄντι εἰς ἄπειρον ὁ τοιοῦτος λογισμὸς τὰ νοήματα ἐξάγει. τοῦτο δὲ ἀποστήσασα ὀλιγάκις ἡ τέχνη πάσχει. ἤδη δὲ ἠρκέσθησαν οἱ παλαιοὶ πολλάκις καὶ δίχα τῶν ἐπιχειρημάτων ἐν ταῖς λύσεσιν αὐτῶν τῷ ἐνστατικῷ ἢ ἀντιπαραστατικῷ μόνοις χρήσασθαι, ὡς μυριάκις ἐν τοῖς ἀρχαίοις ἐπιδείξομεν, τάξις δὲ οὐκ ἀεὶ τὴν αὐτὴν ἔχει τί πρῶτον θετέον, ἔνστασιν ἢ ἀντιπαράστασιν, ἀλλὰ τὸ παραδοξότερον αὐτῶν καὶ βιαιότερον, δεύτερον πράττεται. πάσχει δὲ τοῦτο ποτὲ μὲν ἡ ἔνστασις, ποτὲ δὲ ἡ ἀντιπαράστασις.

## ΠΕΡΙ ΕΡΓΑΣΙΑΣ ΕΠΙΧΕΙΡΗΜΑΤΩΝ.

Ὥσπερ τοίνυν τῆς λύσεως εὑρεθείσης καθ' ἕκαστον κεφάλαιον ἢ ἐκ τῆς ἐνστάσεως ἢ ἀντιπαραστάσεως δεόμεθα τῶν ἐπιχειρημάτων εἰς κατασκευὴν τῆς λύσεως, οὕτω δεησόμεθα πάλιν ἐργασίας εἰς τὴν κατασκευὴν τοῦ ἐπιχειρήματος. ἐργάζεται δὲ πᾶν ἐπιχείρημα ἀπὸ τούτων ἃ δοκοῦσιν εἶναί τινες ἐπιχειρήματα, οἷον, ἀπὸ παραβολῆς, ἀπὸ παραδείγματος, ἀπὸ μικροτέρου, ἀπὸ μείζονος, ἀπὸ ἴσου, ἀπὸ ἐναντίου. καὶ ἡ μὲν γένεσις τῶν ἐπιχειρημάτων ἀπὸ περιστάσεως. ταῦτα δὲ οὐ καθ' ἕκαστον κεφάλαιον ζητηθήσεται, ἀλλὰ καθ' ἕκαστον ἐπιχείρημα. ὥσπερ δὲ κεφαλαίου τεθέντος εἰς τὴν λύσιν ἢ κατασκευὴν, πολλάκις μὲν πολλῶν εὐποροῦμεν ἐπιχειρημάτων, πολλάκις δὲ ὀλίγων, οὕτω καὶ ἐπιχειρήματα εὑρεθέντα πολλάκις μὲν ἀπὸ τῆς ἐργασίας, εἰς κατασκευὴν εὑρέθη τοῦ ἐπιχειρήματος πλείονα, πολλάκις δὲ ἐλάττονα. οἷον τὸ ἐπιχείρημα ἔστω εἰ τύχοι ἀπὸ προσώπου, πολλάκις μὲν εἰς κατασκευὴν τοῦ ἐπιχειρήματος τῆς ἀπὸ τοῦ προσώπου εὕρηται ἐργασία ἐκ παρα-

δείγματος μόνου. πολλάκις δὲ καὶ ἐκ παραδείγματος
καὶ ἐκ παραβολῆς. πολλάκις δὲ καὶ ἐκ τούτων καὶ ἐκ τοῦ
ἐναντίου. πολλάκις δὲ καὶ ἐκ πλειόνων. θῶμεν δὲ καὶ τῶν
παραδείγματος, οὐ δεῖ καινοτομεῖν κεφάλαιον. ἡ λύσις,
ὅτι δεῖ καινοτομεῖν εἰ συμφέροι. ἐπιχείρημα ἀπὸ τοῦ προσώπου·
ὅτι δεῖ καινοτομεῖν ἀθηναίους ὄντας· καινοτόμοι γάρ ἐσμεν.
εἶτα ἐργασία ληφθεῖσα ἐκ παραδείγματος εἰς κατασκευὴν
τοῦ ἐπιχειρήματος τούτου, ὅτι ἀθηναῖοι καινοτόμοι· καὶ οἱ πα-
τέρες ἡμῶν ἐκαινοτόμησαν τόδε καὶ τόδε. καὶ πολλάκις ἓν
παράδειγμα οὐχ εὑρίσκεται, ἀλλὰ καὶ πλείονα. καὶ τοῖς μὲν
ἀπείροις ἔδοξε πολλὰ εἶναι ἐπιχειρήματα, ἡμῖν δὲ οὐκ ἐπι-
χειρήματα, ἀλλ' ἐργασίαι. καὶ ἐργασία ἀπὸ παραδείγμα-
τος μία, κἂν ᾖ τὰ παραδείγματα πολλά. καὶ ὁ δημο-
σθένης εἶπέ που λέγων· οὐ δὴ θαυμαστὸν εἰ στρατευόμενος ἐκεῖ-
νος καὶ παρὼν ἐφ' ἅπασι, ἡμῶν μελλόντων καὶ ῥᾳθυμούντων
περιγίνεται. τοῦτό ἐστιν ἐπιχείρημα ἀπὸ τοῦ πράγματος. εἶτα
ἐργασίᾳ κέχρηται ἀπὸ τοῦ ἐναντίου. τοὐναντίον γὰρ ἂν ἦν θαυμα-
στὸν, εἰ μηδὲν ποιοῦντες ἡμεῖς ὧν τοῖς πολεμοῦσι προσήκει, τοῦ πάν-
τα ποιοῦντος ἃ δεῖ περιῆμεν. ἂν δὲ λέγῃς καλὸν τὸ τιμᾶν γονέας,
ἐπιχείρημα ἀπὸ τοῦ πράγματος, ἐπιφέρῃς δὲ, καὶ γὰρ τὰ θη-
ρία τοῦτο ποιεῖ, ἐκ παραβολῆς ἐργασίαν τῷ ἐπιχειρήματι δί-
δως. κἂν λέγῃς ἐπιχείρημα πάλιν, ἔξεστι τῇ πόλει παρ'
ἑαυτῇ ποιεῖν ὃ βούλεται, εἶτα ἐπιφέρῃς, καὶ γὰρ ἐν ταῖς
οἰκίαις ἔξεστιν ἑκάστῳ δεσπότῃ ποιεῖν ἃ βούλεται, ἐργασίαν
ἀπὸ τοῦ μικροτέρου λέγεις.

## ΠΕΡΙ ΕΝΘΥΜΗΜΑΤΟΣ.

Τὸ δὲ ἐνθύμημα δόξαν δριμύτητος ἀποφέρεται μείζονα, γνωσθὲν ὅ,τι τέ ἐστι καὶ ὅπως εὑρίσκεται, καὶ ὅπου. καὶ γὰρ ἡ τάξις αὐτὴ τῆς δριμύτητος δόξαν ἐξ ἀνάγκης αὐτῷ προστίθησι. δεῖ γὰρ τεθέντος κεφαλαίου λῦσαι πρῶτον ἀπὸ τῆς ἐνστάσεως ἢ ἀντιπαραστάσεως. εἶτα προσλαβεῖν τὸ ἐπιχείρημα εἰς κατασκευὴν τῆς λύσεως ἀπὸ τῶν περιστάσεως. εἶτα ἐργάσασθαι ἀφ' ὧν τὴν ἐργασίαν ἔφαμεν γίνεσθαι τοῦ ἐπιχειρήματος. εἶτα τὸ ἐνθύμημα ἐπενεγκεῖν τῇ ἐργασίᾳ. οἷον, κεφάλαιον ὑποκείσθω, χαλεπὸν διορύξαι χερρόνησον. εἶτα ἡ λύσις ἀπὸ τῆς ἐνστάσεως· ὅτι οὐ χαλεπὸν τὸ διορύξαι. εἶτα ἐπιχείρημα ἀπὸ τοῦ πράγματος· γῆν γὰρ ὀρύξομεν. παιδιὰ δὲ τὸ ὀρύσσειν. εἶτα ἐργασία ἐκ παραδείγματος· ὅτι καὶ βασιλεὺς περσῶν δεηθείς ποτε, διώρυξε τὸν ἄθω. εἶτα ἐνθύμημα εἰς τοῦτο· καίτοι ἐκεῖνος μὲν διώρυξεν ὄρος, ἡμεῖς δὲ γῆν ὀρύξομεν. ὥσπερ γὰρ ἡ ἐργασία κατασκευάζει τὸ ἐπιχείρημα, οὕτω καὶ τὸ ἐνθύμημα κατασκευάζει τὴν ἐργασίαν. καὶ πάλιν ὥσπερ καθ' ἕκαστον ἐπιχείρημα ζητοῦμεν ἐργασίαν, οὕτω καὶ καθ' ἑκάστην ἐργασίαν ζητοῦμεν ἐνθύμημα· ὥστε εἰς ἄπειρον προχωρεῖν δύνασθαι τὴν δριμύτητα. εἰ ἡ λύσις μὲν εὐπορήσειεν ἐνστάσεώς τε καὶ ἀντιπαραστάσεως, τούτων δὲ ἑκάστη πάλιν ἐπιχειρημάτων δύο ἢ καὶ τριῶν· τῶν δὲ ἐπιχειρημάτων ἕκαστον ἐργασιῶν ὁμοίως δύο, ἢ καὶ τριῶν. τῆς δ' ἐργασίας ἑκάστης ἴδιον ἐνθύμημα εὑρούσης πάλιν. ἰστέον δὲ ὅτι καὶ πολλάκις ἐργασία μία πολλὰ εὑρίσκει ἐνθυμήματα. εἰ ζητοίη δὲ οὕτω καθ' ἑκάστην ἐργασίαν τὸ ἐνθύμημα ἀπὸ τῶν αὐτῶν περιστάσεων ζητήσει,

ἀφ'

ἀφ' ὧν ἐζήτησεν ἂν τὰ ἐπιχειρήματα τοῦ τεθέντος κεφαλαίου. ἔστι δ' ὃ λέγω σαφέστερον ἐκθήσομαι, ὅτι καθ' ἑκάστην ἐργασίαν τὰ ἐνθυμήματα εὑρίσκεται, σχῆμα μὲν ἔχοντα συγκριτικόν, εὑρίσκεται δ' ἐν τῇ συγκρίσει ἀπὸ τοῦ τόπου, ἢ χρόνου, ἢ τρόπου, ἢ προσώπου, ἢ αἰτίας, ἢ πράγματος. συμβήσεται γὰρ οὕτως ἐν ἐργασίᾳ μιᾷ καὶ δύο καὶ πλείονα εὑρεθῆναι ἐνθυμήματα· ἅπερ εὑρεθέντα δόξαν ἐπενθυμήματος παρέχει. ἐπενθύμημα γάρ ἐστι κυρίως ἐπιφθανόντι ἐνθυμήματι ἕτερον ἐπινοούμενον ἐνθύμημα, οἷον, τὸ παράδειγμα, καὶ γὰρ βασιλεὺς διώρυξε τὸν Ἄθω. εἶτα τὸ ἐνθύμημα ὃ ῥητέον, ὅτι συγκριτικῶς πᾶν εὑρίσκεται συγκρινόμενον ἀπὸ τῆς ἐργασίας καὶ πρὸς αὐτὸ τεῖνον. οἷον, καί τοι ἐκεῖνος μὲν ὄρος διῄρει δυσκολώτερον πρᾶγμα, ἡμεῖς δὲ γῆν διασκάπτομεν πρᾶγμα οὐ δυσχερές. εἶτα ἀπὸ τῆς αἰτίας, καί τοι ἐκεῖνος μὲν ἵνα πλεονεκτήσῃ, ἡμεῖς δὲ ἵνα μὴ πάσχωμεν κακῶς πλεονεκτούμενοι. τοῦτο ἐνθύμημά ἐστιν ἀπὸ τῆς αἰτίας εὑρεθέν· ἐπιφερόμενον δὲ τῷ πρώτῳ ἐνθυμήματι τῷ ὅτι ἐκεῖνο μὲν δυσχερέστερον, ἡμῖν δὲ ῥᾴδιον, ὅπερ εὑρεθὲν δόξαν ἐπενθυμήματος ἤνεγκε. καὶ μὴν ἔστι καὶ ἄλλο ἐνθύμημα εὑρεῖν εἰς τὴν αὐτὴν ἐργασίαν, ἀπὸ τοῦ καιροῦ· καὶ ὁ μὲν ταῦτα ἐποίει ἐπείγοντος αὐτὸν τοῦ πολέμου παρέργῳ χρώμενος τῷ πράγματι, ἡμεῖς δὲ ἐν ἔργῳ θέντες τοῦτο δυνάμεθα. οὐκ ἀγνοητέον δὲ ὡς ἡ τοῦ λόγου μεταχείρισις τὸ ἐνθύμημα τὸ δεύτερον εὑρεθὲν, ποιεῖ δοκεῖν ἐπενθύμημα εἶναι, εἴ τις τὸ πρῶτον εἰπὼν ἐνθύμημα καὶ παυσάμενος, εἶτα αὐτὸ ἐπαναλαβὼν πάλιν συνάψει, καὶ δεύτερον προστιθεὶς τῷ πρώτῳ καθάπερ αὐτῷ λεῖπον ὅτι προσεξεργάζων, οὐκ ἄλλο εὑρών. οἷον, καὶ ὁ μὲν Πέρσης βασιλεὺς ἵνα πλεονεκτήσῃ, διώρυξεν, ἡμεῖς δὲ ἵνα μὴ πλεονεκτώμεθα

νεκτώμεθα. εἶτα ἐπαναλαβόντες πάλιν φαμὲν ὥσπερ ἐπενθυμούμενοι· καὶ ὁ μὲν ἐπειγόντων αὐτὸν μειζόνων, ὅμως τοῦ πλεονεκτεῖν ἕνεκεν ἐποίει τὰ χαλεπώτερα· ἡμεῖς δὲ οὐδενὸς ἄλλου καλοῦντος ἡμᾶς, ἢ ἵνα μὴ ζημιωθῶμεν, τὸ πρᾶγμα οὐχ ὑποστησόμεθα; πολλάκις δὲ καὶ ἡ φύσις τῶν πραγμάτων ἐπενθυμήματος ἰδίαν εὕρεσιν κατασκευάζει, τοῦ ἐνθυμήματος καθ' αὑτὸ μὲν οὐκ ἀπαρτήσαντος· προσθήκης δέ τινος ἄλλης περιττοτέραν δριμύτητα χαριζομένης αὐτῷ τῷ ἐνθυμήματι. οἷον εἰ λέγοι τις, δεινὸν τὸ ἀδικεῖν πατρίδα· εἶτα ἐργάσαιτο ἐκ τοῦ ἐναντίου· χρὴ γὰρ ἀδικεῖν πολεμίους· εἶτα ἐνθύμημα θείη, ὅτι χαλεπώτερόν ἐστιν ὁ πολίτης ἀδικῶν τοῦ πολεμίου, ὅτι ὁ μὲν, διὰ τὸ γένος συγγνώμην ἔχει· ὁ δὲ, ὑποτείνει διὰ τὸ πολίτης εἶναι τὸ μισεῖσθαι. τούτῳ εἰ προσγένοιτο τῷ ἐνθυμήματι, τὸ, καὶ μάλιστα ἐὰν ὁ πολίτης φαίνηται τούτους ἀδικῶν, οὓς ἐδόκει πρότερον εὖ πεποιηκέναι, λοιπὸν τοῦτό ἐστι τὸ ἐκ τῆς φύσεως τοῦ αὐτοῦ πράγματος ἀληθινὸν ἐπενθύμημα, μετὰ προσθήκης τινὸς περιττοτέραν δριμύτητα χαριζόμενον αὐτῷ τῷ ἐνθυμήματι. καὶ λοιπὸν οὕτω γίνεται, καὶ καλεῖται ἐν ἑνὶ καὶ τῷ αὐτῷ προβλήματι διπλοῦ συγκριτικὴ ὑπέρτασις, περιττοτέραν δριμύτητα χαριζομένη αὐτῷ τῷ ἐνθυμήματι.

## ΠΕΡΙ ΤΩΝ ΑΠΑΡΧΗΣ ΑΧΡΙ ΤΕΛΟΥΣ.

Τὰ ἀπ' ἀρχῆς ἄχρι τέλους ἐστὶ μὲν τὸ συνεκτικώτατον πάντων τῶν κεφαλαίων. ἔνθεν γὰρ καὶ τὰ ἄλλα, γίνεται κεφάλαια. ἔχει δὲ οὐ τὴν αὐτὴν κατασκευὴν τῶν ἐπιχειρημάτων, οἵαν καὶ τὰ λοιπά· οὐ γὰρ ἡ περίστασις κατασκευάζει τὰ

ἀπ' ἀρχῆς ἄχρι τέλους, ἀλλ' ὥσπερ ἴδιος ἐπιχειρημάτων τόπος οὗτος τῶν ἀπ' ἀρχῆς ἄχρι τέλους ἡ ὑποδιαίρεσις καλουμένη. ἔστι δὲ ἡ ὑποδιαίρεσις ἡ τοῦ ἀθρόου πράγματος εἰς λεπτὸν τομή, εὑρισκομένη πολλή, καὶ γίνεται οὕτως· εἴ τις τὰ ἀπ' ἀρχῆς ἄχρι τέλους ὁρίσας ἑαυτῷ ὁλοσχερῶς καὶ ἀπαραλείπτως, καθ' ἕκαστον ὄνομα τῶν λεγομένων ἐν αὐτοῖς δύναιτο ὑποδιαιρεῖν, οὕτω πλάττων· εἰ γὰρ μὴ τόδε ἐποίησας, ἀλλὰ μικρότερον. εἰ γὰρ μὴ τοσαῦτα ἐποίησας, ἀλλὰ ἐλάττονα. οἷον, τρεῖς τις ἀπέκτεινε κατὰ τὸν τῶν ἀκρίτων νόμον υἱεῖς, καὶ ἀξιοῖ δημοσίᾳ τρέφεσθαι, νόμου κελεύοντος τὸν ἄπαιδα δημοσίᾳ τρέφεσθαι, γενόμενος ἐν τοῖς ἀπ' ἀρχῆς ἄχρι τέλους, οὕτω διασκοπήσεις, ὅπου τρεῖς ἀπέκτεινεν υἱεῖς, τὸ τρεῖς ὑποδιαιρήσεις, εἰ γὰρ ἕνα ἀπέκτεινε. τὸ υἱεῖς ὑποδιαιρήσεις εἰ, γὰρ μὴ ἑαυτοῦ παῖδα. τὸ ἀπέκτεινεν ὑποδιαιρήσεις, εἰ γὰρ ἀπεκήρυξεν. αὐτὰ δὲ ταῦτα νοεῖται μὲν οὕτως, ἰσχὺν δὲ λαμβάνει ἀπὸ τοῦ λόγου. ἐπεὶ δύναται καὶ ὡς πνεῦμα ἀποταθῆναι κατὰ τὸ τοῦ ἀντιθέτου σχῆμα. δύνασαι δὲ μετὰ τὸ πληρωθῆναι τὸ πνεῦμα ἕκαστον αὐτῶν εἰ θέλοις, καὶ κατὰ περίοδον ἀπολαμβάνειν, καὶ δύναται ὡς πνεῦμα ἀποταθῆναι κατὰ τὸ τοῦ ἀντιθέτου σχῆμα, οὕτως. οἷον, εἰ γὰρ μηδὲν προσήκοντας ἀπέκτεινας, εἰ γὰρ ἀλλοτρίους, εἰ γὰρ ὀθνείους, εἰ γὰρ ξένους, οὐκ ἂν ἠγανάκτησα καὶ τότε; οὐκ ἂν ἐδυσχέρανα; οὐκ ἂν ἀπῄτησα τιμωρίαν; νῦν δὲ φιλτάτους, οὓς ἐγέννησας, οὓς ἔθρεψας, ὑπὲρ ὧν ἔδει μάχεσθαι, ὑπὲρ ὧν ἔδει δεδιέναι μή τις αὐτοὺς ἄλλος ἀποκτείνῃ, φθάσας, τοῦτο ἐποίησας. ἆρα τὸ τοιοῦτον ἄγος καταδεξαίμην; οὐκ ἔστιν εἰπεῖν. εἰ δὲ βούλει καὶ συνάγεται ὧδε. ἄλλος μὲν οὖν τις δικαίως ἂν ὑπόσχοι τιμωρίαν, εἰ καί τινα τῶν μὴ προσηκόντων ἀποκτείνοιεν, οὗτος δὲ ἰδίους υἱεῖς τρεῖς ἀποκτείνας ἀφεθήσεται; δύνα-

ται δὲ ἡ ἑκάστη ὑποδιαίρεσις ὁρισθεῖσα, χώραν προσωποποιίας ἀναδέξασθαι, ποικίλη δὲ τοῖς σχήμασιν, οἷον, εἰ δ' ἕνα ἀπέκτεινα, οὐκ ἂν εἶπον καὶ τότε ὅτι φόνος ἀσεβὴς σοι τετόλμηται; γίνεται δὲ ὑποδιαίρεσις ποτὲ μὲν ἀπ' αὐτοῦ τοῦ πράγματος εἰς λεπτὸν τεμνομένου, ποτὲ δὲ ἐκ τῶν ὁμοίων λαμβανομένου. καὶ ἀπὸ μὲν αὐτοῦ τοῦ πράγματος, οὕτως, οἷον, προσῆλθε μάγος πατρὶ αἰτῶν θυγατέρα πρὸς γάμον, οὐκ ἔδωκεν· ἐρᾷ εἰδώλου ἡ κόρη, καὶ κρίνεται ὁ μάγος φαρμάκων. ἐνταῦθα ὑποδιαιροῦντες τὸν τοῦ εἰδώλου ἔρωτα, λέγομεν· ἐρᾷ εἰδώλου. εἰ γὰρ ἀνδρὸς ἤρα τινός, οὐκ ἂν νῦν σὲ ἤγαγον τὴν αἰτίαν; εἰ γὰρ σοῦ αὐτοῦ ἤρα, οὐκ ἂν ἐπήγαγον νῦν σὲ τὴν αἰτίαν; ταῦτα ὑποδιαίρεσίς ἐστιν ἐκ τῶν μικροτέρων. τὸν γὰρ τοῦ εἰδώλου ἔρωτα ὑποδιαιροῦμεν ἀπὸ τῶν μικροτέρων εἰς ἄλλους, ἀπὸ δὲ τῶν ὁμοίων οὕτως· εἰ γὰρ μὴ ἤρα, ἀλλ' ἐνόσει νόσον ἄλλην τῷ σώματι, οὐκ ἂν καὶ τότε σε ἔκρινα; καθόλου δὲ ὡς ἔφαμεν, καὶ τῶν ὁμοίων καὶ τῶν ἰδίων αἱ λεπταὶ ὑποδιαιρέσεις ἀναδέξονται τὰς προσωποποιίας ἀναγκαίας οὔσας· ἃς εἰ θέλοις, καὶ περιόδοις καὶ παντὶ τρόπῳ ἔξεστί σοι μηκύνειν. ἔστι δὲ ὑποδιαίρεσις καὶ ἐκ τοῦ μείζονος ἐνίοτε λαμβανομένη, ἵνα μὴ ἀεὶ τοῖς λεπτοῖς προσέχωμεν. συμβαίνει δὲ τοῦτο ὅταν ἀξιώμεθά τι πράξειν ἐπὶ μισθῷ φαινομένῳ, ἢ χάριτι, λέγοντες ὅτι οὐδὲ εἰ μείζονα ἐδίδου. οἷον, πέπομφεν ἑκατὸν τάλαντα φίλιππος, πρίασθαι βουλόμενος τὸν δημοσθένην· εἰς λεπτὸν ὑποτεμὼν ἐρεῖς, οὐδὲ ἄλλον τινὰ τῶν τυχόντων ἔδωκα ἄν, μήτοιγε δημοσθένην. τὰ δὲ ἑκατὸν τάλαντα, ἐκ τοῦ μείζονος, οὐδὲ εἰ μυρία διδοίη τάλαντα, οὐδ' ἂν πόλεις, οὐδ' ἂν ἔθνη ἀντὶ δημοσθένους λήψομαι.

ἀλλ᾽ ἵνα μὴ προσκορὲς εἴη τὸ τῆς ὑποδιαιρέσεως ἀεὶ τῷ αὐτῷ
σχήματι ἐκφερόμενον, ἐναλλαττέσθω τὰ σχήματα ποτὲ μὲν οὕτω
λεγόντων· εἰ γὰρ τόδε ἐποίησας, οὐκ ἔδει σε δοῦναι τιμωρίαν,
ποτὲ δὲ οὕτως· ἐγὼ μὲν γὰρ καὶ ἐπ᾽ ἐκείνῳ σε τιμωρίαν ἀπήτη-
σα ἄν, καί τοι μικρὸν ἦν καὶ μετριώτερον· ποτὲ δὲ οὕτως· ἄλ-
λος μὲν οὖν τις ἐμίσησεν ἂν καὶ διὰ τόδε. ἔστι δὲ τούτων
καλλίων ἡ μεταχείρησις, εἰ ἀναστρέφοι τις καὶ ὅλον τὸ πρᾶγμα
οὐκ ἀπὸ τοῦ πράγματος εἰς τιμωρίαν ἕλκων, ἀλλ᾽ ἀναστρέ-
φων τὴν τιμωρίαν, οἷον, εἰ καί τι τούτου μετριώτερον ἐποίησας,
ἵνα ποτὲ μὲν ἀπὸ τοῦ πράγματος ἀρχόμενοι εἰς τὴν ἀξίω-
σιν καταβαίνωμεν, ποτὲ δὲ ἀπὸ τῆς ἀξιώσεως ἀρφόμενοι εἰς τὸ
πρᾶγμα ἀνατρέχωμεν. ὅταν δὲ αἱ ὑποδιαιρέσεις ἄλογοι γίνων-
ται φασκόντων ἡμῶν, εἰ γὰρ τόδε ἐποίησας, οὐκ ἂν ἔκρινόν σε;
διὰ τὸ μὴ ἀλόγως ἂν κρῖναι δόξαι, οὕτω σχηματίσεις, εἰ τόδε
ἐποίησας, οὐκ ἂν ἔκρινον; ὡς ὁ συνθάψας τὴν χλαμύδα τῷ ἐρω-
μένῳ, καὶ μὴ κομίσας ἐκ τῆς ἀλλοδαπῆς, ἐνταλαμένου ἐκεί-
νου. ἐνταῦθα γὰρ ἐπεὶ μωρὸν ἦν τὸ λέγειν, ἔκρινα ἄν σε εἰ καὶ
ἐδάκρυες συνεχῶς, ἐρεῖς ὅτι εἰ ἐδάκρυες οὐκ ἂν ἐφόρτισας, εἰ πα-
ρεκαθεύδες τῷ τάφῳ οὐκ ἂν ἐμήνιον. καί τοι καὶ τότε εἰ δύνα-
σαι, βίασαι ἀνελεῖν, οὐ δέδωκας. καὶ καθόλου πᾶσαν ὑπο-
διαίρεσιν ἂν παραθεὶς συγχωρήσας ἀνελεῖν, εἶτα ἀνελὼν ἐπε-
νέγκοις, πολλαπλασιάσεις τὸν λόγον δριμέως, λέγων οὕτως·
εἰ μὲν τόδε ἐποίησας, συγγνώμης ἄξιος· ἐπεὶ δὲ τόδε, οὐκ ἔτι,
καί τοι οὐδὲ τόδε. οὕτω γὰρ καὶ αἱ προσωποποιΐαι, χώραν ἕξου-
σι μυρίαν. ἵνα δὲ μὴ προσκορὴς εἶναι δόξῃς διὰ τῶν προσωπο-
ποιϊῶν πληρῶν λόγους, θαυμαστὸς φανήσῃ ῥήτωρ, τὸ γνώρισμα
αὐτῆς ἀφαιρῶν καὶ χρώμενος αὐτῇ. εἰ γὰρ μὴ λέγοις, εἶπεν ἄν,

ἄλλος τι

ἄλλοτε φαίνεται πρότερον ἢ προσωποποιΐα. πρόσκειται τοῖς ἀπ' ἀρχῆς ἄχρι τέλους ὥσπερ ἴδιόν τι ἐπὶ τῷ τέλει καὶ τὸ πλασὸν ἐπιχείρημα καλούμενον. τινὲς δὲ οὕτως αὐτὸ ἐκάλεσαν πλασόν, οὐκ εἰδότες ὅτι καὶ πᾶσα ὑποδιαίρεσις πλαστή ἐστι. τὸ γὰρ μὴ γενόμενον, πλαττόμενον δὲ ὡς καὶ γενέσθαι δυνάμενον, τί αὐτῆς ἂν εἴη δήπουθεν εὑρέσεως. τὸ μὲν γὰρ κυρίως πλαττόμενον, ἐπιφερόμενον δὲ πᾶσι τοῖς ἀπ' ἀρχῆς ἄχρι τέλους, οὕτως εὑρίσκεται καθολικῶς· εἰ μὲν ἐπ' ἀγαθῷ τινι πραχθέντι δωρεὰν αἰτεῖς, καὶ πλάττεις οὕτως. εἶτα δέ, εἰ πρὶν ἢ ποιῆσαι τὸ ἀγαθὸν ᾔτουν δωρεάν, οὐκ ἄν μοι ἔδοτε, οὐκ ἂν ἐψηφίσασθε ἐπαγγελλομένῳ ποιήσειν. καὶ ἐπὶ τούτῳ ἐρεῖς, δεινὸν δὲ ἐπαγγελλομένῳ μὲν ποιήσειν ψηφίσασθαι, μὴ δοῦναι δὲ πεποιηκότι· εἰ δὲ ἐπὶ κακῷ τινι πραχθέντι, πάλιν δὲ τιμωρίαν ἀπαιτεῖς καὶ πλάττεις, ὁμοίως· εἰ δὲ πρὶν ἢ γενέσθαι τὸ κακόν, ἔγνωμεν ὅτι ἔσται, οὐκ ἂν ἐφιλοτιμησάμεθα κωλῦσαι; δεινὸν δὲ μέλλον μὲν γενέσθαι κωλύειν, γενόμενον δὲ μὴ τιμωρεῖσθαι. καὶ ἐφεξῆς τούτῳ τῷ σχήματι τῆς ζητήσεως χρώμενος, πολυτρόπως εὑρήσεις τὰ ἀπ' ἀρχῆς ἄχρι τέλους κατασκευάσαι. τὰ δὲ πλασὰ χώραν ἔχει μετὰ τὴν ἀνθορὰν ἐσβολὴν τὴν ἀπ' ἀρχῆς ἄχρι τέλους. χώραν δὲ ἔχει καὶ ἐν ταῖς ἐργασίαις ἀπὸ παραδείγματος, εἰ λέγοιμεν ἐπὶ τοῦ παραδείγματι τοῦ καλῶς πραχθέντι, ἢ κακῶς, τὸ πλασὸν ἐπιφέροντες. οἷον, ὃν δεῖ ἐχθρῷ ἐπιτάττοντι πείθεσθαι, τοῦτο τὸ ἐπιχείρημά ἐστιν. ἡ ἐργασία ἐκ παραδείγματος, οὐδὲ γὰρ πατέρες ἡμῶν ἐπείσθησαν τῷ Ξέρξῃ, γῆν αἰτοῦντι καὶ ὕδωρ, ἀλλ' ἐξελθόντες πολλὰ καὶ καλὰ ἔπραξαν. εἶτα πλασὸν φέρε· εἰ δὲ τότε συνεβούλευσέ τις δοῦναι γῆν καὶ ὕδωρ, οὐκ ἂν κατελεύσθη; ἐγὼ μὲν οἶμαι. ἐπὶ δὲ τῶν κακῶς, οἷον, οὐ

δεῖ πιστεύειν φιλίππῳ χαριζομένῳ, ἀπατεὼν γάρ ἐστιν. εἶτα ἐργασία ἐκ παραδείγματος, οὐδὲ γὰρ τοῖς ὀλυνθίοις συνήνεγκε πεισθεῖσιν αὐτῷ, ἀλλὰ ποτίδαιαν λαβόντες ἅπαντα προσαπώλεσαν· εἶτα πλαστὸν φέρε· εἰ δὲ τότε ὅτε τὴν ποτίδαιαν ἐλάμβανον εἶπέ τις αὐτοῖς θεόθεν ὅτι προσαπολοῦσι καὶ τὴν ὄλυνθον, ἆρα ἂν ἐδέξαντο; οὐκ ἔστιν εἰπεῖν. ἔτι παραπληρῶσαι δεῖ τὰ πλαστὰ, καὶ ἀπὸ τῶν ἐναντίων ζητεῖν πλάττειν· καὶ τοῦτο μυριάκις εὑρίσκεται. οἷον εἰ μὲν ἐπ' ἀγαθῷ αὐτοῖς γέρας, λέγε εἰ δὲ κακόν τι ἐπεποιήκειν, οὐκ ἂν τιμωρίαν ἔδωκα; ὡς ὁ δημοσθένης ἐν τῷ πρὸς λεπτίνην. διεξελθὼν γὰρ τὰς πράξεις τοῦ χαβρίου, λέγει ἐκ τοῦ ἐναντίου πλάττων· ἀλλ' εἰ μὲν μίαν ἀπώλεσεν ναῦν, περὶ θάνατον ἂν ἐκινδύνευσε. τοῦτο μέντοι καὶ διπλῆν ἔχει τὴν τῆς πλάσεως θεωρίαν. ἀπὸ γὰρ τοῦ ἐναντίου γενόμενον, τῷ μικροτέρῳ συμπλέκεται, ἢ ἐὰν ἵνα κελεύῃς δοῦναι τιμωρίαν, ἐπ' ἀδικήματι. ἔνεστι γὰρ λέγειν, εἰ ἃ ἔβλαψεν εὐηργέτησε, δωρεὰς ἂν ἔλαβε· δράσας δὲ κακῶς, οὐ κολασθήσεται; παντὸς δὲ τοῦ λεγομένου ζήτει τὸ ἐναντίον, καὶ πολλάκις εὑρήσεις τοῦτο παρ' ὅλον τοῦ πλαστοῦ τὸν λόγον μεμνημένος, ὅτι ὡς ἐπὶ τὸ πολὺ, ἢ ἀθρόον τὸ πραχθὲν ὡς οὐ γενόμενον πλάττεται, ἢ τὸ ἐναντίον αὐτοῦ. οἷον ἐπὶ τυραννοκτόνου· εἰ δὲ πρὶν ἀποκτεῖναι ἐπαγγελλόμενον, τοῦτο τοῦ ἀθρόου πλάσμα, ὡς μὴ γενομένου. καὶ ἄλλο ἐκ τοῦ ἐναντίου· εἰ δὲ μὴ κατώρθωσε, ἀλλὰ ἐλήφθη, τί ἂν ἔπαθον; καὶ εἰ δημοσθένην αἰτοίη φίλιππος ἢ τί τοιοῦτο, διάπλασον ἐκ τοῦ ἐναντίου. εἰ δὲ ὑμεῖς ἐβούλεσθε λαβεῖν ἓν τῶν τοῦ φιλίππου, πότε ἂν συνεχώρησεν ὑμῖν; εἰ δὲ τὸ εὐτελέστερόν τι συγχωρεῖ ἡ φύσις, οὐκ ἂν ὤκνησα διὰ τὸ σαφέστερον, σὺ δὲ παράπεμπε τῷ νῷ τὰς θεωρίας τῷ ῥητορικῷ

σου

ἐν λόγῳ κοσμῶν τὴν τέχνην. ἴσθι μέν τοι ὡς τοῖς ἀρχαίοις ἐντυγχάνοντες καὶ μάλιστα τῷ καθηγεμόνι μυρία καλὰ εὑρήσομεν, ὅσα δὲ πρὸς τὸ κατεπεῖγον τῆς ὑπαγορεύσεως ἐπιτρέχει, τῇ ψυχῇ δίδωμι.

## ΠΕΡΙ ΤΩΝ ΑΠΑΡΧΗΣ ΑΧΡΙ ΤΕΛΟΥΣ ΤΗΣ ΠΡΑΓΜΑΤΙΚΗΣ.

Δυσχερῆ λύσιν ἔχει τὰ ἀπ' ἀρχῆς ἄχρι τέλους τῆς πραγματικῆς. εὕρηται οὖν καὶ μέθοδος πρὸς ταῦτα, ὥστε τῷ λύοντι τὰ ἀπ' ἀρχῆς ἄχρι τέλους εὐπορίαν εἶναι. καὶ τοῦτο δὲ τὸ μάθημα σαφέστατα ἐκθήσομαι. ἐὰν μὲν τὸ πρᾶγμα παρ' ἡμῶν εἴη γεγονός, καὶ ὑπὸ τῶν ἐχθρῶν εἰς τὴν ἡμετέραν βλάβην εἰσαγόμενον, οὕτως αὐτὸ λύσομεν, ζητοῦντες τῶν ἀντιθετικῶν στάσεων τὰ λυσιτελοῦντα ἡμῖν θήσομεν, ὥσπερ ποιοῦμεν καὶ ἐν τῇ ἀντιλήψει· πολλάκις δὲ θήσομεν καὶ τῶν ἄλλων στάσεων τὰ συντελοῦντα εἰς τὴν ἡμετέραν ὠφέλειαν. καὶ μεταληπτικὰ δὲ ἂν ἔχῃ, τὸ κεφάλαιον τοῦ πλαττομένου θήσομεν ἔσθ' ὅτε, καὶ οὕτω λύσομεν, ὅτι οὐδὲν πρὸς ἡμᾶς τὸ γενόμενον. καὶ μάλιστα ἐὰν ἐκ φύσεως ᾖ τὸ γενόμενον, καὶ διὰ τοῦτο ἀξιῶμεν καί τι γενέσθαι, ὁ ἐνιστάμενος ἐρεῖ, ὅτι οὐ δι' ἡμᾶς γίνεται, ἀλλὰ διὰ τὴν αὐτοῦ φύσιν. οἷον ῥεῖ ἀπὸ τῆς Αἴτνης ἐπὶ τὴν Κατάνην τὸ πῦρ συνεχῶς, καὶ συμβουλεύει τις αὐτοὺς μετοικίζεσθαι. τοῦτο τοίνυν λέξει ὁ φεύγειν συμβουλεύων, ὅτι κινδυνεύομεν ἐπιόντος ἡμῖν τοῦ πυρός, καὶ ἀπαίρωμεν ἐνθένδε. ἀπαντήσομεν οὖν οὕτως, οὐ δι' ἡμᾶς ῥεῖ τὸ πῦρ, ἀλλὰ διὰ τὴν αὐτοῦ φύσιν.

# ΕΡΜΟΓΕΝΟΥΣ

## ΠΕΡΙ ΤΑΞΕΩΣ ΕΠΙΧΕΙΡΗΜΑΤΩΝ.

Ἡ τάξις τῶν ἐπιχειρημάτων διπλῆ. εἰ γὰρ τύχοι τὰ μὲν αὐτῶν ἀποδεικτικὰ εἶναι πολιτικῆς ἑρμηνείας δεόμενα, τὰ δὲ πανηγυρικά, τηρήσεις τὰ πανηγυρικὰ τελευταῖα, πρὸς τὸ δοκοῦν αὔξειν προχωροῦντα τὸν λόγον ἐπὶ τὸ ἀκμαιότερον, ἵνα τὰ τῆς τέχνης κατ' οἰκείαν τάξιν προχωροῦντα δόξαν ἀκμῆς τοῦ λέγοντι παράσχῃ, ὡς ὑπὸ τῆς ἐν τῷ λέγειν θερμότητος ἐπὶ τὸ ἀκμαιότερον προαγομένῳ· ἄλλως τε δὲ καὶ ἡδίων τοῖς ἀκούουσιν ὁ ἀπὸ τῶν ἀποδεικτικῶν ἐπὶ τὰ πανηγυρικώτερα χωρῶν, οὐχ ὁ ἀπὸ τῶν πανηγυρικῶν ἐπὶ τὰ ἀποδεικτικά. αὕτη μὲν ἰδέα πρώτη, δευτέρα δὲ ἐκείνη σοφωτέρα, ἰδόντα τὰ ἐπιχειρήματα ὁποῖά ἐστιν οἷα, τὸ προκλητικώτερον τοῦ ἑξῆς κεφαλαίου, τελευταῖον τιθέναι, ἵνα ἐκ τῆς ἀνάγκης τοῦ ἐπιχειρήματος, ἀνισταμένου τοῦ κεφαλαίου μετὰ τὸ ἐφεξῆς, ὑφ' ἓν ὁ λόγος γένηται, καὶ σῶμα μὴ διασπώμενος ἐν ταῖς ὑποφοραῖς, ἀλλὰ αὐτὸς αὑτοῦ δοκῶν ἔχεσθαι καὶ ἀνίστασθαι δι' αὑτοῦ. ὥσπερ οὖν ἴσμεν καὶ ἐπὶ ταῖς ἀντιλήψεσι τὸ ἀντιπαραστατικὸν μετὰ τὴν ἔνστασιν τελευταῖον τιθέμενον, ἐπειδὴ ἐγγυτικόν ἐστι τοῦ ὅρου. οἷον, ἐξῆν ἀποκτεῖναι τὸν υἱόν. ἡ ἔνστασις, οὐκ ἐξῆν· εἰ δὲ καὶ ἐξῆν, οὐκ ἔδει τὸ αἴτιον γενέσθαι σε τῇ μητρὶ θανάτου, ἵνα εὐθέως ὁ ὅρος ἀπαντήσῃ, τί τὸ αἴτιόν ἐστι θανάτου γενέσθαι. εἰ γὰρ καὶ ἀντιπαράστασίς ἐστιν ἡ ἀπαντήσασα, οὐκ ἐπιχείρημα, ὅμως εἰς παραδείγματος λόγον ἐθήκαμεν, ὅτι χρὴ καὶ ἐπὶ τῶν ἐπιχειρημάτων οὕτω τιθέναι τελευταῖον τὸ τοῦ μέλλοντος κεφαλαίου προκλητικόν. ἐπεὶ καὶ ἡ ἔνστασις καὶ ἡ ἀντιπαράστασις, τὸν αὐτὸν ἔχουσι λόγον· οὐκ ἀεὶ τῆς ἐνστάσεως ἢ τῆς ἀντιπαραστάσεως πρώτης τιθεμένης,

ἐπιμελῶς, ἀλλ' ἐναλλὰξ τοῦτο παραδόσης ἑκάστης. ὃν τρόπον φαμὲν δεῖν ἀνασκοπεῖν καὶ ἐπὶ τῶν ἐπιχειρημάτων. καὶ γὰρ τούτων ἕκαστον ἢ διὰ τὸ ἀκμαιότερον, δεύτερον τεθήσεται, ἢ διὰ τὴν τοῦ μέλλοντος κεφαλαίου προσδοκίαν.

## ΠΕΡΙ ΟΡΟΥ.

Ὅρος καὶ ἀνθορισμὸς, καὶ συλλογισμὸς, καὶ λύσις τοῦ συλλογισμοῦ, τέσσαρα μέν ἐστιν ὀνόματα, τῇ δὲ δυνάμει δύο· ὅ, τε γὰρ τὸν ὅρον ἔχων καὶ τὸν συλλογισμὸν τοῖς αὐτοῖς ἐπιχειρήμασι κατασκευάζειν ἑκάτερα δύναται, ὅ τε τὸν ἀνθορισμὸν καὶ τὴν λύσιν τοῦ συλλογισμοῦ τοῖς αὐτοῖς ἐπιχειρήμασι κατασκευάζειν ἑκάτερα δύναται. τέχνη δὲ θαυμασία παρ' ἡμῖν εὕρηται πρὸς τὸ μήτε πεφύρθαι τὸν λόγον, μήτε ἄπορον εἶναι διῃρημένης τῆς διανοίας, ὥσπερ καὶ ἐπὶ τῶν ἐπιχειρημάτων, ἵν' ὅ τε τὸν ὅρον μελετῶν, καὶ ὁ τὸν ἀνθορισμὸν ἀντιθεὶς τούτῳ, τὰ πρὸ τοῦ πράγματος εἰωθότα συμβαίνειν λέγωσι. καὶ ὁ μὲν τὸν ὅρον κατασκευάζων, οὕτω ζητεῖ· τόδε πρὸ τοῦ πράγματος ἔδει γενέσθαι, οὐ γέγονεν· ὁ δὲ, τὸν ἀνθορισμὸν κατασκευάζων, ἵν' οὕτω λέγῃ· ἔδει τόδε γενέσθαι πρὸ τοῦ πράγματος, γέγονεν. ταῦτα μὲν ἀπὸ τῶν πρὸ τοῦ πράγματος. οἷον, μαινόμενος ἀπέκτεινε τύραννον, σωφρονήσας αἰτεῖ τὸ γέρας. ἀνθίσταταί τις αὐτῷ· οὐ τοῦτό ἐστι τυραννοκτονία· ὁ δέ φησι, τοῦτό ἐστι τυραννοκτονία. ἔδει ἀνελθεῖν εἰς τὴν ἀκρόπολιν; ἀνῆλθον. ἔδει ἀποκτεῖναι; πεφόνευκα. ταῦτα πρὸ τοῦ πράγματος. ὁ δὲ τὸν ὅρον κατασκευάζων ἐρεῖ οὕτως, ἔδει βουλεύεσθαι πρῶτον τὸν μέλλοντα τυραννοκτονεῖν, συμμαι-

νόμιμος οὐκ ἐβουλεύσω, σωφρονούντων γὰρ ἔργον ἐστίν. ὥστε τῶν ὀφειλόντων τὰ πρὸ τοῦ πράγματος γενέσθαι παρὰ τοῦ τυραννοκτόνου, λείπει. ἔδει εἰδέναι τὸν τυραννοκτόνον τί ποιεῖ, σὺ δὲ οὐκ ᾔδεις. ὁ δὲ συλλογισμὸς ἀπὸ τῶν ἐπισυμβαινόντων τῷ πράγματι ἐπικατασκευασθήσεται. οἷον, οὐδὲν διαφέρει, εἴτε ἐμαινόμην, εἴτε ἐσωφρόνουν. ἃ γὰρ ὡς σωφρονοῦντος ἐμοῦ καὶ ἀποκτείναντος ἐπισυνέβη ἂν ἀγαθὰ, ταῦτα καὶ νῦν γέγονεν. ἔδει τὸν τύραννον ἀνῃρῆσθαι; ἀνῄρηται. ἔδει ἐλευθερίαν γενέσθαι; γέγονεν. ἔδει μηδένα εἶναι ἐπὶ τῆς ἀκροπόλεως; οὐδείς ἐστιν. ὁμοίως καὶ ὁ τὴν λύσιν τοῦ συλλογισμοῦ ἔχων, ἐκ τῶν μετὰ ταῦτα συμβαινόντων, εἴ τι μὴ ἐπιγέγονε λαμβάνει, ὡς ἐπιχείρημα φήσει, ὅτι πολὺ διαφέρει. ἃ τί ἂν ἐπισυνέβη σωφρονοῦντός σου ἀποκτείναντος, ταῦτα οὐ γέγονε νῦν σοῦ μαινομένου ἀποκτείναντος. οἷον, ὁ σωφρονῶν ἀποκτείνας, εὐθέως τιμᾶται, σὺ δὲ μετὰ τὸν φόνον ἐθεραπεύου ἰατροῖς ὑποκείμενος καὶ μάγοις. ὥστε τῇ μὲν δυνάμει τὰ αὐτὰ εἶναι, κἀκεῖνα οἷα τὰ ἐνθάδε, μόνῃ δὲ τῇ διαστάσει τῶν χρόνων διαφέρειν. δεῖ οὖν συμβαίνει μὴ διαμαρτεῖν τὰς δριμύτητας, πρός τε εὐπορίαν τοῦ ἐπιχειροῦντος, καὶ πρὸς διάκρισιν τῶν τε ἄνω κεφαλαίων καὶ τῶν ἐφεξῆς. ὡς ἂν μὴ τοῖς αὐτοῖς περιπίπτωμεν, περὶ τὰς αὐτὰς δυνάμεις ἔχειν ἑκάτερα.

## ΠΕΡΙ ΔΙΑΣΚΕΥΗΣ.

Διασκευὴ δὲ τοῦ προβλήματος ἡ διατύπωσίς ἐστι τοῦ πράγματος, ὥσπερ ἐν ποιητικῇ ἡ καθέκαστον τῶν γινομένων ἀφήγησίς τε καὶ διατύπωσις· διὰ μὲν τῶν πεπραγμένων τοῦ διασκευάζοντος ὀφείλοντος πλατῦναι τὸ πρᾶγμα

μόνον

μόνον, οὐ μέντοιγε οὔτε αἰτίαις οὔτε λογισμοῖς τοσοῦτον, οὔτε ἄλλῳ τινὶ ἐπιχειρήματι, ἀλλὰ μόνῳ τῷ τρόπῳ. διασκευάζεται μὲν γὰρ πάντως ἕν τι τῶν τῆς περιστάσεως. καὶ ὅτι δὴ ἂν ἐκεῖνο ᾖ, τῷ τρόπῳ πλατύνεται, καὶ μετὰ τοῦ τρόπου καὶ προσωποποιίαις, οἷα εἰκὸς ἦν πλεῖστα, ἐφ' ἑκάστου τῶν πραττομένων, καὶ λεχθῆναι δυναμένων παρὰ τῶν ἐμφαινομένων προσώπων ἐν τῇ διατυπώσει. ἔξεστι δὲ τὸν διασκευάζοντα πιθανῶς τολμᾶν καὶ λέγειν, καὶ ὅσα εἰκὸς ἐπισυμβαίνειν εἴωθε τοῖς πράγμασι παράδοξα ἢ θαυμαστά, καὶ ταῦτα λαμβάνοντα ἐκ τοῦ εἰκότος. ὃ γὰρ ἂν δυνηθῇ ποτε παρασυμβῆναι τοιούτῳ πράγματι, λέγειν ἔξεστι, ὡς παρασυνέβη καὶ τότε. πᾶν δὲ τὸ παρὰ τὸ εἰκὸς ἢ λεχθῆναι ἢ πραχθῆναι λεγόμενον, εἰς κακόζηλον ἐξάγει τὴν διασκευήν. γίνεται δὲ ἡ διατύπωσις τοῦ πράγματος, ἢ ἐκ τῶν παρελθόντων, ἢ ἐκ τῶν παρόντων, ἢ ἀπὸ τῶν μελλόντων, ἢ οἷα πάλαι ἐγένετο, ἢ οἷα νυνὶ γίνεται, ἢ ὁποῖα κατὰ τὸ μέλλον γενήσεται, ἡμῶν καὶ ταῦτα διατυπούντων. συνελόντι δὲ εἰπεῖν ἡ διασκευὴ τραγικῆς ἔχει φιλοτιμίαν. οὐδὲν δὲ ἕτερον ἡ ποιητικὴ ἔχει, πλὴν ἑκάστου τῶν γενομένων ἀφήγησίν τινα καὶ διατύπωσιν. χρὴ δὲ τὰ μέλλοντα μελετᾶν οἰκονομεῖν, εἰδέναι. εἰ μὲν γὰρ εὑρίσκοιτο διήγησις καὶ ἐκ τῶν παρελθόντων καὶ ἐκ τῶν μελλόντων ἢ ἀπὸ τῶν παρόντων μόνον, ἢ καὶ τῶν δύο καιρῶν ἢ καὶ τῶν τριῶν, ἔξεστι τὸν παρελθόντα ἀπολαβόντα ἐν τῇ διηγήσει ἐν διασκευῇ ἀποπληρῶσαι τὸ ἄνω μέρος, οὐ μέλλοντα ἐνοχλήσειν τοῖς κάτω μέρεσι τοῖς αὐτοῖς διὰ τὴν τῶν μελλόντων διατύπωσιν. εἰ δὲ εἴη τὸ πρᾶγμα ὀφεῖλον διασκευασθῆναι καὶ ἄνω καὶ κάτω ἐν ταῖς διηγήσεσι, μνήμην αὐτοῦ ποιησόμεθα, κατασκευάζοντες ταῖς αἰτίαις αἷς ἔφαμεν τὴν διήγησιν κατασκευάζεσθαι· τοὺς δὲ

τρόπους αὐτοὺς τῇ διασκευῇ φυλάξομεν. ἐὰν δὲ παντάπα-
σιν ᾖ ἄπορον εἰς διατύπωσιν τὸ πρᾶγμα, τότε μεταχείρησίς
ἐστιν οἰκονομίας ἀρίστη, τὸ μηδὲ ἐν τοῖς ἀπὸ ἀρχῆς ἄχρι τέλους
γενομένοις ἀποχρήσασθαι ταῖς ὑποδιαιρέσεσιν. ἀλλ᾽ ἀθρόως
εἰπόντες τὸ πρᾶγμα ἐκεῖ καὶ πλάσαντές τινα πλασὰ καὶ τῷ
ἀθρόῳ τῷ πράγματι ἐπιτρέποντες, τὰς καθ᾽ ἕκαστον ὑποδιαιρέ-
σεις τοῖς ποιοῦσι φυλάξομεν, τῇ κατασκευῇ χρώμενοι ἐνταῦθα
ἀντὶ τῆς διασκευῆς. καὶ τοὺς ὑπομερισμοὺς, οὓς ἐμέλλομεν ἐν
τοῖς ἀπ᾽ ἀρχῆς ἄχρι τέλους ποιεῖν, ὡς κατασκευάζοντες, τούτους
φυλάξομεν τῇ διασκευῇ ὡς διατυποῦντες, μόνῃ τῇ τῶν κώλων
ἁρμονίᾳ χρώμενοι διαφερούσῃ (ἄλλα γάρ ἐστι κατασκευαζόντων
κῶλα, καὶ ἄλλα διασκευαζόντων) προσέτι δὲ καὶ τὰς περὶ τὴν
κατασκευὴν περιόδους ἀφαιροῦντες. ἀλλότριον γὰρ περίοδος
διασκευῆς. ὅθεν γίνεται καὶ ἡ τῶν προσωποποιιῶν εὐπορία.
εἰ γὰρ καὶ ἀποροίη τὸ πρᾶγμα διασκευῆς ἀθρόως, ὁ ὑπομερισ-
μὸς προσωποποιίας οὐκ ἀπορεῖ. χρὴ δὲ εἰδέναι ὅτι καὶ πᾶς
ὑπομερισμὸς τὰ αὐτὰ λέγει τῇ διασκευῇ ἀνεμποδίστως. δεῖ
γὰρ πάντως ἐκ τῆς ὑποδιαιρέσεως εἰς τὸ πρᾶγμα αὐτὸ ἐπα-
νελθεῖν· ἀλλὰ καὶ καθ᾽ ἑκάστην ὑποδιαίρεσιν τοῦτο ποιεῖν, ἀνεπα-
χθές ἐστιν ἀεί. ταυτολογεῖ δὲ διασκευῇ καὶ ἡ τῶν καλουμένων
χωρίων ἀγωγὴ, καὶ ἐκείνη ἀνεπιλήπτως. ἀνάγκη γὰρ ἀπὸ τοῦ
παραδείγματος ἢ τοῦ μυθικοῦ ἢ τοῦ ἱστορικοῦ μεταβαίνοντα
εἰς τὸ ἴδιον πρᾶγμα, τὸ αὐτὸ λέγειν πολλάκις οἷον ὡς ἐπὶ πα-
ραδείγματος τοῦτο ὑποδεῖν ἵνα σαφέστερον· ἐπίπρασκεν
ἀλέξανδρος τοὺς θηβαίων αἰχμαλώτους· πριάμενοι λακεδαι-
μόνιοι τριακοσίους, κατέσφαξαν ἐπὶ τὸ ἐν λεύκτροις τρόπαιον,
καὶ κρίνονται τῶν εἰς τοὺς ἕλληνας ἀδικημάτων. ἐὰν γοῦν δια-

σκευ

σκευάζοντες λέγωμεν, τριακοσίους ἐθύσατε, ὡς ἱερεῖα ὠμῶς τε ἀνηλεῶς τοῖς βωμοῖς, ὡς σφάγια. ταῦτα πάλιν καὶ διασκευάσομεν καὶ ἐν ταῖς διατυπώσεσιν αὐταῖς ὡς ἔφαμεν, λέγοντες καὶ ὡς προσῆκε, δεδακρυμένους, θρηνοῦντας, ἐστεφανωμένους, καὶ οἷα ἐποίουν, περιπτυσσόμενοι ἀλλήλους, καὶ οἷα ἔλεγον, ἱκετεύοντες καὶ ὀδυρόμενοι. μέχρι τούτων ἡ διατύπωσις ἡ ἀπὸ τοῦ πράγματος. ἐὰν δὲ ἐπεισάγειν ἐθέλῃς χωρίον, ἀπὸ ἑνὸς ὀνόματος λήψῃ πρόφασιν ἱστοριῶν, ὡς ἐνταῦθα, τριακοσίους ἐθύσατε· διεφθείρατε τὸν ἀριθμὸν ἡμῶν τὸν ἐπαινούμενον τῶν τριακοσίων τῇ τούτων τελευτῇ. μετὰ γὰρ τὸ εἰπεῖν ὡς ἀνηλεῶς ἀπεκτείνατε, καὶ διασκευάσαι, δύνασαι εἰπεῖν ὅτι ἀπέθανον ἡμῶν καὶ ἐν Θυρέᾳ τριακόσιοι, ἀλλ' πολέμου νόμῳ· ὑμεῖς δὲ ἱερείων νόμῳ τούτους κατεσφάξατε. καὶ πάλιν ἄλλο χωρίον· ἀπέκτεινεν ὑμῶν καὶ βασιλεὺς τριακοσίους ἐν πύλαις, ἀλλ' οὐκ ἔθυσεν· ὑμεῖς δὲ προεσήσασθε τριακοσίους, ἱερεῖα τοῖς βωμοῖς. πάλιν ἐπὶ τὴν διασκευὴν χωρήσομεν εἰ τύχοι παράδειγμα· κἂν κλέωνος μνημονεύσῃς τοῦ περὶ πύλον καὶ σφακτηρίαν χωρίον ἐπεισάγων. κἀκεῖθεν ἐπαναδραμεῖν εἰς τὴν διασκευὴν δύνασαι πάλιν ἀκινδύνως.

# ΕΡΜΟΓΕΝΟΥΣ

## ΠΕΡΙ ΕΥΡΕΣΕΩΝ ΤΟΜΟΣ ΤΕΤΑΡΤΟΣ.

### ΠΕΡΙ ΛΟΓΟΥ ΣΧΗΜΑΤΩΝ.

Ἐπειδὴ οὖν καὶ περὶ τῶν ἐπιχειρημάτων καὶ περὶ τῶν ἐργασιῶν καὶ περὶ τῶν ἐνθυμημάτων τῆς εὑρέσεως πάντα εἰς τέλος πεπλήρωται, ἀναγκαῖον ἐστὶν καὶ περὶ τῶν τοῦ λόγου σχημάτων, καθὰ προσήκει ἕκαστον αὐτῶν ἐκφέρεσθαι. ὅσα μὲν γὰρ τῶν ἐπιχειρημάτων ἢ τῶν ἐργασιῶν πολιτικά ἐστι τῷ νῷ καὶ ἀποδεικτικά, προσήκει ταῦτα στρογγύλως καὶ κατὰ ἀντίθετα καὶ κατὰ περίοδον ἐκφέρεσθαι· ὅσα δὲ πανηγυρικὰ τῷ νῷ ἤτοι πραγματικὰ ἢ ἐκ παραβολῆς λαμβανόμενα, ταῦτα δεῖ πνευματικῶς ἀποτείνεσθαι, καὶ ἀκμαίως. τὰ γὰρ ἐνθυμήματα πάντα στρογγύλως τε καὶ κατὰ σύγκρισιν ἐκφερόμενα, δριμύτητος δόξαν πλείονα ἀποφέρεται, ἢ εἴτις αὐτὰ ἁπλῶσαι θελήσει τῷ λόγῳ. καίτοι καὶ τούτῳ τῷ σχήματι ὁ Δημοσθένης ἐκαλλωπίζετο πολλάκις, ὡς ἐν τοῖς βιβλίοις εὑρίσκομεν, ὡς ἐκεῖνο ἐν τῷ περὶ τοῦ στεφάνου· ὑμεῖς τοίνυν ὦ ἄνδρες Ἀθηναῖοι Λακεδαιμονίων, γῆς καὶ θαλάττης ἀρχόντων, καὶ τὰ κύκλῳ τῆς Ἀττικῆς κατεχόντων ἁρμοσταῖς καὶ φρουραῖς, Εὔβοιαν, Τάναγραν, τὴν Βοιωτίαν πᾶσαν, Μέγαρα, Αἴγιναν, Κλεωνάς, τὰς ἄλλας νήσους, οὐ ναῦς, οὐ τείχη τῆς πόλεως τότε κεκτημένης,

νης,

νης, ἐξήλθετε εἰς Ἁλίαρτον· καὶ πάλιν οὐ πολλαῖς ἡμέραις ὕστερον εἰς Κόρινθον, τῶν τότε Ἀθηναίων πολλὰ ἂν ἐχόντων μνησικακῆσαι, καὶ Κορινθίοις καὶ Θηβαίοις τῶν περὶ τὸν Δεκελικὸν πόλεμον πεπραγμένων. ἀλλ' οὐκ ἐποίουν ταῦτα, οὐδὲ ἐγγὺς τούτων. καίτοι ταῦτα ἀμφότερα αἰσχίνη, οὔτε ὑπὲρ εὐεργετῶν ἐποίουν, οὔτε ἀκίνδυνα ἑώρων, ἀλλ' οὐ διὰ ταῦτα προΐεντο τοὺς καταφεύγοντας ἐπ' αὐτούς, ἀλλ' ὑπὲρ εὐδοξίας καὶ τιμῆς ἤθελον τοῖς δεινοῖς ἑαυτοὺς ἐκδιδόναι, ὀρθῶς καὶ καλῶς βουλευόμενοι· καὶ γὰρ ἐνταῦθα τὸ μὲν ἐπιχείρημα ἦν καλὸν τὸ μὴ μνησικακεῖν τοῖς ἀδικήσασιν, ἐὰν κινδυνεύωσιν. ἡ ἐργασία δὲ αὕτη· οὐδὲ γὰρ Κορινθίοις οὐδὲ Θηβαίοις ἐμνησικακήσατε, ἀλλὰ κἀκείνοις ἐβοηθήσατε. τὸ δὲ ἐνθύμημα, καίτοι Λακεδαιμονίων, γῆς καὶ θαλάττης ἀρχόντων, καὶ φοβερῶν ἡμῖν ὄντων πραγμάτων. ἔλαθε δὲ ἁπλώσας αὐτὸ ἀπὸ τοῦ καὶ τὴν τάξιν ὑπαλλάξαι. δεινὸς γὰρ ἀεὶ σοφίσασθαι τὰς τέχνας καὶ ἀποκρύπτειν ὁ ῥήτωρ. καὶ ἄλλοτε μὲν ἄλλως ἐποίει, τῇ τάξει δὲ ἐνταῦθα. ὅθεν καὶ τολμήσας ἁπλῶσαι τὸν λόγον τοῦ ἐνθυμήματος, εἶτα προσελθὼν τῇ ἐργασίᾳ, καὶ πάλιν ἀναγκασθεὶς ἐκ τῆς τέχνης μνησθῆναι τοῦ ἐνθυμήματος, τῷ νῷ συνέστρεψεν αὐτὸ ἐν τῷ εἰπεῖν, καίτοι τότε ταῦτα ἀμφότερα οὔθ' ὑπὲρ εὐεργετῶν ἐποίουν οὔθ' ἀκίνδυνα ἑώρων, καὶ προσήγαγε τὴν ἐπίτασιν τῷ ἐπιχειρήματι. τὸ δὲ εἰπεῖν οὐδὲ ἀκίνδυνα ἑώρων, τὸ ἐνθύμημά ἐστιν ὃ φθάσας ἥπλωσεν ἤδη.

## ΕΡΜΟΓΕΝΟΥΣ

## ΠΕΡΙ ΑΝΤΙΘΕΤΟΥ.

Ἀντίθετόν ἐστι σχῆμα λόγου διπλασιάζον πάντα τὸν ὑποκείμενον νοῦν, τοῦτον τὸν τρόπον· εἴ τις τοῦ κατὰ φύσιν ζητουμένου τὸ ἐναντίον λαμβάνων καταβαίνοι εἰς τὸ ὑποκείμενον. οἷον, ἐπειδὴ ἡμέρα ἐστὶ δεῖ ποιῆσαι τόδε· τοῦτο τὸ ζητούμενον. τὸ δὲ ἀντίθετον αὐτοῦ· εἰ μὲν γὰρ μὴ ἦν ἡμέρα ἀλλὰ νὺξ, ἴσως ἐχρῆν μὴ ποιεῖν. εἶτα καταβαίνει εἰς τὸ ἴδιον· ἐπειδὴ δέ ἐστιν ἡμέρα, ποιῆσαι προσῆκεν. οἷον ἐν τοῖς προβλήμασι, δεῖ καινοτομεῖν, πόλεμος γάρ ἐστι· τοῦτο τὸ κατὰ φύσιν. τὸ δὲ ἀντικείμενον αὐτοῦ· εἰ μὲν γὰρ μὴ ἦν πόλεμος, ἀλλὰ εἰρήνη καὶ ἡσυχία, ἔδει μὴ καινοτομεῖν. ἀρετὴ δὲ τοῦ ἀντιθέτου ὅτι καὶ ἁπλούμενον ὑπὸ πλήθους τῶν κώλων πνεῦμα γίνεται, καὶ συστρεφόμενον τῇ ἑρμηνείᾳ, περιόδου τάξιν ἐπέχει. οἷον, εἰ μὲν γὰρ ἦν ἐν ἡσυχίᾳ τὰ καθεστηκότα καὶ ἀπραγμοσύνη κατεῖχεν ἡμᾶς, καὶ μήτε φοβερὸν μήτε ἄτοπον ἐφειστήκει παρὰ τῶν πολεμίων μηδέν, ἀδείας δὲ ἦμεν ἐμπεπλησμένοι καὶ ἐξουσίας τοῦ πράττειν ὅσα βουλομένοις ἡμῖν ἐτύγχανεν, ἔδει φυλάττειν τὰ καθεστηκότα, καὶ παρακινεῖν μηδέν, μηδὲ καινοτομεῖν, ἀλλὰ τοῖς ἀρχαίοις ἐμμένειν ἔθεσί τε, καὶ ψηφίσμασι, καὶ νόμοις· ἐπεὶ δὲ πόλεμος κεκίνηται, καὶ πλησίον οἱ πολέμιοι, καὶ ἐφέστηκε τὰ δεινὰ καὶ ταραχὴ πσαυτη τῶν πραγμάτων, τίνος ἕνεκεν οὐ καινοτομήσομεν; αὐτοῦ τοῦ πολέμου ταύτην ἔχοντος τὴν φύσιν, ἀφ' ἑαυτοῦ τεχνᾶσθαι τὰ πολλά, καὶ τὸν τῶν ἀνθρώπων μεταποιεῖν ἐπὶ τὸ καινότερον, βίον. τοῦτο ἐκταθὲν τοῖς κώλοις ἐγένετο πνεῦμα. δύναται δὲ συστραφὲν εὐρύθμως, γενέσθαι περίοδος. οἷον, ἃ γὰρ ἐφυλαξάμεθα ἂν ποιεῖν εἰκότως, εἰρήνης ὑπαρχούσης,

ταῦτα βέλτιον ἐργάσασθαι πολέμου καθεστηκότος. καὶ οὔτε ἰσχυρότερον, οὔτε ἀναγκαιότερον εὑρίσκεται σχῆμα τοῦ ἀντιθέτου παρὰ τοῖς ἀρχαίοις ῥᾳδίως οὐδέν. καί τοι γε πάντως περὶ μιᾶς προτάσεως τοῦ ἀντιθέτου περιττῆς οὔσης τῇ ἀληθείᾳ τοῖς ἀκούουσιν, ὅμως τὸ λεγόμενον οὐκ ἔξω τοῦ εἰκότος δοκεῖ λέγεσθαι. ποιεῖ δὲ αὐτὸ δοκεῖν ἀναγκαῖον εἶναι ἡ τοῦ κατὰ φύσιν προσδοκία. ἐν ᾧ γὰρ τὴν πρότασιν ὁ ῥήτωρ λέγει τοῦ ἀντιθέτου, ἐν τούτῳ τὸ κατὰ φύσιν ἤδη τοῖς ἀκούουσι νοεῖται ὡς περὶ ἀποδόσεως νοήματι· τὸ δὲ σχῆμα οὕτως ἐστὶν ἀξιέραστον, ὡς μὴ περίοδον ποιεῖν μόνον καὶ πνεῦμα, ἀλλὰ καὶ καθάπαξ πάντα νοῦν κοσμεῖν. κοσμεῖ δὲ καὶ προοίμιον πολλάκις, εἴ τις τοιούτῳ σχήματι τὸ προοίμιον διενέγκοι, ὡς ὁ δημοσθένης· εἰ μὲν περὶ καινοῦ τινος προὐτίθετο πράγματος λέγειν ὦ ἀθηναῖοι, καὶ γὰρ ἐνταῦθα τὸ κατὰ φύσιν ἐστίν, ἐπειδὴ δὲ περὶ ὧν πολλάκις ἤδη πρότερον εἰρήκασιν οὗτοι, συμβαίνει καὶ νυνὶ σκοπεῖν, ἡγοῦμαι καὶ πρῶτος ἀναστὰς εἰκότως ἂν συγγνώμης τυγχάνειν. τὸ δὲ ἀντίθετον, εἰ μὲν περὶ καινοῦ τινος πράγματος προὐτίθετο λέγειν, ὑπερσχεῖν ἔδει με τοῖς πρεσβυτέροις παραχωροῦντα πρῶτον εἰπεῖν. ἰστέον δὲ ὅτι περὶ ῥητορικοῦ ἀντιθέτου διειλέχθημεν. ἐπεὶ οἱ φιλόσοφοι ἐναντίον καὶ ἀντίθετον οὐ διαιροῦσι, παρ᾽ ἡμῖν δὲ τὸ ἀντίθετον σχῆμά ἐστι τοῦ λόγου· τὸ δὲ ἐναντίον, δριμύτης νοήματος ἀπὸ τῆς ἐργασίας λαμβανομένη. οἷον, οὐ δὴ θαυμαστόν ἐστιν εἰ στρατευόμενος ἐκεῖνος καὶ παρὼν ἐφ᾽ ἅπασι, καὶ μηδένα καιρὸν μηδ᾽ ὥραν παραλείπων, ἡμῶν μελλόντων καὶ ψηφιζομένων περιεγίνετο· τοῦτο γὰρ εἰ μὲν ἀντίθετον ἐβούλετο ποιῆσαι, οὕτως ἂν μετεχειρίσατο· εἰ μὲν γὰρ μήτε πονῶν, μήτε παρὼν τοῖς πράγμασι περιεγίνετο ἡμῶν, θαυμαστὸν ἦν. τὸ δὲ ἀντίθετον ταῦτα

ἔχει τὴν δύναμιν τοῦ λέγειν· εἰ γὰρ μὴ ἐγίνετο, ὃ ἐγένετο. τὸ δὲ ἐναντίον ἀναστρέφει τὸ πρᾶγμα ἀπὸ τῶν δρώντων εἰς τοὺς πάσχοντας, καὶ ἀπὸ τῶν πασχόντων εἰς τοὺς δρῶντας. ὃ πεποίηκεν ἐνταῦθα ὁ ῥήτωρ· τοὐναντίον γὰρ ἦν θαυμαστόν, εἰ μηδὲν ποιοῦντες ἡμεῖς ὧν τοῖς πολεμοῦσι προσήκει, τῶν πάντα ἃ δεῖ ποιούντων περιῆμεν. πολὺ γὰρ διενήνοχε λέγειν, ὅτι θαυμαστὸν ἦν εἰ Φίλιππος μὴ πονῶν, ἡμῶν περιῆν, ὃ τοῦ ἀντιθέτου ἐστὶν ἰσχύς, ἢ λέγειν πάλιν, εἰ μηδὲν ποιοῦντες ἡμεῖς, Φιλίππου περιῆμεν. ὃ ἐστὶν ἐνάργεια τοῦ ἐναντίου. καὶ περὶ μὲν ἀντιθέτου τοσαῦτα εἰρήσθω.

## ΠΕΡΙ ΠΕΡΙΟΔΟΥ.

Ἡ δὲ περίοδος οὐχ ἑνὶ ὑποπίπτει σχήματι ὥστε αὐτὸ παραδοῦναι, ἀλλὰ πολλοῖς καὶ ποικίλοις, ἃ παρὰ τῶν ἀρχαίων λαμβάνοντες ἐν τηρήσει πεποιήκαμεν. ἔστι μὲν οὖν περίοδος κυρίως ἡ τοῦ ὅλου ἐπιχειρήματος ἀναγκαστικὴ σύνοδος καὶ κλεὶς τρόπον τινά, καὶ ἀληθινὴ περίοδος τοῦτό ἐστιν ἡ ἀπαρτίζουσα τὸ ἐπιχείρημα καὶ συνάγουσα. ὡς τόγε ἑτέρως λέγειν, περιοδικῶς ἐστι λέγειν οὐ περίοδον ποιεῖν. ἀλλ' ἑρμηνεύειν περιοδικῶς, καὶ σχῆμα περιόδου λαμβάνειν. ἡ δὲ ἀληθινὴ περίοδος οὐ τῷ σχήματι μόνον, ἀλλὰ καὶ τῷ νῷ συνάγει τὸ ἐπιχείρημα, ὅ, τινες καὶ ἐνθύμημα καλοῦσιν. οὐ πᾶσα δὲ δύναιτο ἂν ἐνθυμηματικὴ περίοδος εἶναι, εἰ μὴ καὶ γνωμικὴ τὸ καθόλου εἰς τὸ ἴδιον κατάγουσα, καὶ τὸ ἴδιον εἰς τὸ καθόλου ἀνάγουσα· τηρήσαντες οὖν εὕρομεν παρὰ τοῖς ἀρχαίοις τὰς μεταβολὰς τῶν πτώσεων, ὀνομαστικῆς τε γενικῆς καὶ δοτικῆς καὶ αἰτιατικῆς ποιούσας περιόδους. οἷον, ὁ γὰρ οἷς ἂν ἐγὼ ληφθείην ταῦ-

τα πράττων καὶ κατασκευαζόμενος, οὗτος ἐμοὶ πολεμεῖ, κἂν
μήπω βάλλῃ καὶ τοξεύῃ. τοῦτο κατὰ τὴν ὀνομαστικήν· κατὰ δὲ
τὴν γενικήν, ὧν οὖν ἐκεῖνος μὲν ὀφείλει τοῖς ὑπὲρ αὐτοῦ
πεπολιτευμένοις χάριν, ἡμῖν δὲ δίκην προσήκει λαβεῖν, τού-
των οὐχὶ νῦν ὁρῶ τὸν καιρὸν τοῦ λέγειν. κατὰ δὲ τὴν δοτικήν,
οἷς γὰρ οὖσιν ἡμετέροις ἔχει χρῆσθαι, τούτοις πάντα τὰ ἄλλα
ἀσφαλῶς κέκτηται. κατὰ δὲ τὴν αἰτιατικήν, εἶθ' ὃν ἡ τύχη καὶ
τὸ δαιμόνιον, φίλον μὲν ἀλυσιτελῆ, συμφέροντα δὲ ἐχθρὸν
ἐμφανίζει, τοῦτον ἡμεῖς φοβούμεθα; τὸ γὰρ κλητικὸν σχῆμα,
πνεύματός ἐστι μέρος ἀποστροφὴν ἐργαζόμενον, καὶ καταφο-
ράν. εἶτα, ὅτι ἂν εἰπὼν σέ τις ὀρθῶς προσείποι. καὶ πάλιν, ἀ=
πόκριναι γάρ δεῦρο ἀναστάς μοι. οὐ γὰρ δὴ ἀπειρίαν οὐ φή=
σεις ἔχειν ὅ τι εἴποις. εἰσὶ δὲ καὶ ἀποδεικτικαὶ τοῖς σχήμα=
σιν. οἷον, ἐν μὲν γὰρ τῷ γράψαι μηδένα εἶναι ἀτελῆ, τοὺς
ἔχοντας ἀφείλετο τὴν ἀτέλειαν, ἐν δὲ τῷ προσγράψαι μηδὲ
τὸ λοιπὸν ἐξεῖναι δοῦναι ὑμᾶς, τὸ δοῦναι ὑμῖν ἐξεῖναι. ταύ-
της τὸ σχῆμα, καλὸν μὲν ζηλοῦν καὶ ἀπὸ τῆς ἑρμηνείας, κρεῖτ-
τον δέ, εἰ τὸ ἐλλεῖπον ἀπὸ κοινοῦ ποιοῖ τις ἐν ταῖς μεταποιήσε=
σιν, ἵνα τὸ ἐν τῇ προτάσει εἰρημένον, ἐν τῇ ἀποδόσει λείπῃ μέν,
μὴ λεγόμενον, φαίνηται δέ, ὡς λεγόμενον. ὡς καὶ ἐνταῦθα
τὸ ἀφείλετο ἐν τῇ προτάσει λέλεκται, ἐν δὲ τῇ ἀποδόσει
συνυπακούεται. ἔστι δὲ καὶ ἐπιτιμητικὴ περίοδος τῷ
σχήματι, ὅταν λέγωμεν· εἶτα ἃ Φίλιππος ἂν εὔξαιτο τοῖς
θεοῖς, ταῦτα ὑμῶν τινες ἐνθάδε ποιοῦσιν. κἀκεῖ πάλιν·
εἶτ' οὐκ αἰσχύνεσθε, εἰ μηδ' ἃ πάθοιτ' ἂν εἰ δύναιτ'
ἐκεῖνος, ταῦτα ποιῆσαι καιρὸν ἔχοντες οὐ τολμήσετε; γί=
νεται δὲ καὶ ἐκ συμπλοκῆς δύο ἀδικημάτων. οἷον, νῦν

δὲ ἃ μὲν πλεύσασιν ἦν σῶσαι, βαδίζειν κελεύων ἀπολώλεκεν ὄντος, ἃ δ' εἰποῦσι τἀληθῆ ψευδόμενος. καθόλου δὲ περὶ σχήματος περιόδου λεκτέον. περίοδός ἐστι σχῆμα αὐτοτελὲς ὅλου τοῦ ἐπιχειρήματος ἐν ἑρμηνείας ῥυθμῷ συντόμως ἀπηρτισμένον, τὰ δὲ ἐν αὐτῇ συντόμως ὑπερβατὰ καλῶς σχηματίζει τὰς περιόδους· ὁ γὰρ οἷς ἂν ἐγὼ ληφθείην. ἔστι γὰρ τὸ ἑξῆς· ὁ γὰρ ταῦτα πράττων καὶ συσκευαζόμενος οἷς ἂν ληφθείην ἐγώ. ἰστέον δὲ ὡς τὴν περίοδον ἤτοι ἰσοσκελῆ καὶ ἰσόπλευρον ἀπὸ τῶν κώλων εἶναι δεῖ κατὰ τὴν ἑρμηνείαν ἢ συντομωτέραν ἐν τῇ ἀποδόσει. ἀτονία δὲ ῥήτορος τὴν ἀπόδοσιν τῆς περιόδου μακροτέραν ποιεῖσθαι τῆς προτάσεως. καὶ καθάπαξ εἴ τις ἐκλεξάμενος τὰ παρὰ τῶν ἀρχαίων σχημάτων τῶν περιόδων μιμοῖτο ἐν ταῖς μεταποιήσεσι, πλῆθος ἂν εὕροι περιόδων. καὶ γὰρ παραβολῆς σχῆμα ἄριστον, ὥσπερ γὰρ εἴ τις ἐκείνων προήλω, σὺ τάδε οὐκ ἔγραψας ἄν, οὕτως ἂν σὺ νῦν δίκην δῷς ἄλλος οὐ γράψει. καὶ διαπορητικῶς ἐστι περιοδεῦσαι, ἂν ἄρξηταί τις ὡς ὁ Δημοσθένης ἐν τῷ κατὰ Τιμοκράτους· διατί ἄρα νὴ Δία, διατί τοῦτο οὐχὶ καλῶς ἔχειν τὸ ψήφισμα ἔδοξέ τισι; πότερον, ὅτι παρὰ τοὺς νόμους; καὶ μὴν μόνον ἐστὶ κατὰ τοὺς νόμους. ἀλλ' ὅτι τάξεως λύσις; καὶ μὴν καὶ τοῦτο, ὡς οὐκ ἄλλο, θεμέλιος εὐταξίας. ἀλλ' ὅτι τόδε; καὶ ἀποδώσεις αὐτό. γίνεται δὲ ὅταν καὶ δύο καὶ τρία νοήματα ἔχῃς· οἷον, εἴ τις ἐκείνην ἐθελήσειε μεταποιῆσαι τὴν περίοδον, περιοδικὴν μᾶλλον οὖσαν ἢ περίοδον· νῦν δὲ ἃ μὲν πλεύσασιν ἦν σῶσαι, βαδίζειν κελεύων ἀπολώλεκεν ὄντος· ἃ δὲ εἰποῦσι τἀληθῆ ψευδόμενος. καὶ πάλιν διατί γὰρ ἂν νὴ Δία, διατί φείσαιτό τις Αἰσχίνου; πότερον, ὅτι τὴν ἔξοδον ἐπετάχυνε; καὶ μὴν πλεῖν ἔδει καὶ μὴ βα

δίζειν

δίζειν. ἀλλ' οὐ τἀληθῆ πρὸς ὑμᾶς ἔφησε; καὶ μὴν ψευσάμενος πάντα ἀπολώλεκεν. ἡ δὲ τῆς μεταποιήσεως ἀρετὴ τοῦ ὑποθέντος νοήματος πᾶν σχῆμα οὕτως ἐφαρμόσαι δύναται, ὃ μᾶλλον ἐκπλήττει γινόμενον ἐξ αὐτοσχεδίου, ἢ γραφῇ παραδιδόμενον. γίνεται δὲ καὶ μονόκωλος περίοδος. γίνεται δὲ καὶ δίκωλος, καὶ τρίκωλος, ἡ ἐκ τριῶν κώλων συνεστηκυῖα, καὶ τετράκωλος ἡ ἐκ τεττάρων. κῶλον δέ ἐστιν ἡ ἀπηρτισμένη διάνοια. ἡ γὰρ μονόκωλος ἐκείνη, ἐπειδὴ κρέμαται ἡ διάνοια αὐτῆς μέχρι τοῦ τέλους τῶν ὑπερβατῶν οὕτω σχηματισθείσης χοινοτενῶς διείληπται· εἶτα οὐκ αἰσχύνεσθε εἰ μηδὲ ἃ πάθοιτ' ἂν εἰ δύναιτ' ἐκεῖνος, ταῦτα ποιῆσαι καιρὸν ἔχοντες οὐ τολμήσετε; δίκωλος δὲ ἐκείνη, ἡ προτάσεως μονοκώλου κειμένης ἀπόδοσιν ἀπαιτοῦσα μονόκωλον. τοῦτο δὲ μάλιστα πάσχουσιν αἱ γνωμικαί. ἔστι δὲ γνωμικὴ περίοδος αὕτη· τὸ γὰρ εὖ πράττειν παρὰ τὴν ἀξίαν, ἀφορμὴ τοῦ κακῶς φρονεῖν τοῖς ἀνοήτοις γίνεται. τρίκωλος ἐκείνη, ὅταν δύο κώλων διαφόρων προτεθέντων, ἀρκεῖ μονόκωλος ἑκατέροις ἀπόδοσις. ὧν οὖν ἐκεῖνος μὲν ὀφείλει τοῖς ὑπὲρ αὐτοῦ πεπολιτευμένοις χάριν, ὑμῖν δὲ δίκην προσήκει λαβεῖν· μέχρι τούτου ἡ πρότασις. εἶτα ἐπήρκεσεν ἑκατέροις τοῖς κώλοις ἡ ἀπόδοσις μονόκωλος, τοῦτον οὐχὶ νῦν ὁρῶ τὸν καιρὸν τοῦ λέγειν. τετράκωλος δὲ ἡ ἐν ἑκατέρᾳ προτάσει ἀπόδοσιν καὶ ἐν τῇ ἀποδόσει πρότασιν ἰδίαν ἔχουσα. οἷον, ἐν μὲν γὰρ τῷ γράψαι μηδένα εἶναι ἀτελῆ τοὺς ἔχοντας ἀφείλετο τὴν ἀτέλειαν, ἐν δὲ τῷ προσγράψαι μηδὲ τὸ λοιπὸν ἐξεῖναι δοῦναι, τὸ δοῦναι ὑμῖν ἐξεῖναι. τῆς τετρακώλου ταύτης καὶ ἡ χρεία καλλίστη ἐν ταῖς μεταποιήσεσιν, ὅτι καὶ δύναται στρέφεσθαι. τετράκις γὰρ μετασχηματιζομένη, ἐκ τῶν προτάσεων καὶ τῆς ἀποδό-

σεων ἀλύπως δύναται λεχθῆναι τετράκις. εἰ δὲ δεῖ καὶ χιασθῆναι αὐτὴν, τότε δὴ τότε δύναιτό τις αὐτὴν ἐκ τῶν νοημάτων ἀνάγκης καὶ πλεονάκις στρέφειν. οὐ πᾶσα δὲ χιασθῆναι δύναται περίοδος τετράκωλος. ἔσω δὲ πρῶτον αὕτη ἡ τετράκις μὲν στρεφομένη, μηδὲ ἅπαξ δὲ χιαζομένη· οἷον, ἐν μὲν γὰρ τῷ γράψαι μηδένα εἶναι ἀτελῆ τοὺς ἔχοντας ἀφείλετο τὴν ἀτέλειαν, ἐν δὲ τῷ προσγράψαι μηδὲ τὸ λοιπὸν ἐξεῖναι δοῦναι ἡμῖν, τὸ δοῦναι ὑμᾶς ἐξεῖναι. δύναται δὲ αὕτη ἀθρόως ἀναστραφεῖσα, καὶ ἄλλως γενέσθαι· ἡ γὰρ δευτέρα πρότασις καὶ ἀπόδοσις γίνονται πρῶται. οἷον, ἐν μὲν γὰρ τῷ προσγράψαι μηδὲ τὸ λοιπὸν ἐξεῖναι δοῦναι ἡμᾶς ἀφείλετο, ἐν δὲ τῷ γράψαι μηδένα εἶναι ἀπελῆ τὴν ἀτέλειαν τοὺς ἔχοντας. ἢ τὰς δύο προτάσεις ἐκλαβὼν συντίθημι· ἐν μὲν γὰρ τῷ γράψαι μηδένα εἶναι ἀτελῆ, καὶ ἐν τῷ προσγράψαι μηδὲ τὸ λοιπὸν ἐξεῖναι δοῦναι, καὶ τοὺς ἔχοντας ἀφείλετο τὴν ἀτέλειαν, καὶ ὑμᾶς τὸ δοῦναι ὑμῖν ἐξεῖναι. ἢ τὰς ἀποδόσεις ποιῶ προτάσεις, καὶ τοὺς ἔχοντας ἀφείλετο τὴν ἀτέλειαν καὶ ὑμᾶς τὸ δοῦναι ὑμῖν ἐξεῖναι, ἐν τῷ γράψαι μηδένα εἶναι ἀτελῆ καὶ ἐν τῷ προσγράψαι μηδὲ τὸ λοιπὸν ἐξεῖναι δοῦναι ὑμῖν, καὶ αὕτη ἐστί, καὶ οὕτω γίνεται ἡ πολλάκις μὲν ἀναστρεφομένη, μηδὲ ἅπαξ δὲ χιαζομένη· ἐκείνη δὲ ἡ παρὰ τῷ Δημοσθένει καὶ χιασθῆναι δύναται· ὁ μὲν γὰρ Φίλιππος ὅσῳ πλείονα ὑπὲρ τὴν ἀξίαν πεποίηκε τῆς αὑτοῦ, τοσούτῳ θαυμαστότερος παρὰ πᾶσι νομίζεται· ὑμεῖς δὲ ὦ ἄνδρες Ἀθηναῖοι, ὅσῳ χεῖρον ἢ προσῆκε κέχρησθε τοῖς πράγμασι, τοσούτῳ πλείονα αἰσχύνην ὠφλήκατε. καὶ μυριάκις ἐστὶ ποιεῖν τῆς ἀναδεχομένης τοῦτο τὸ σχῆμα. πῶς δὲ ἀναδέχεται τὸν χιασμόν; ὅταν ἐν ἀμφοτέραις ταῖς προτάσεσι ἀμφότερα

ἁρμόζω

ἁρμόζωσι δὲ αἱ ἀποδόσεις, καὶ ἐναλλάξ, οἷον, ὁ μὲν γὰρ φίλιππος ὅσῳ πλείονα ὑπὲρ τὴν ἀξίαν πεποίηκε τὴν ἑαυτοῦ· τοῦτο ἡ πρότασις. ἁρμόζει δὲ αὐτῇ ἑκατέρα ἀπόδοσις, εἴτε βούλοιτό τις λέγειν, τοσούτῳ θαυμαστότερος ἐκεῖνος παρὰ πᾶσι νομίζεται, εἴτε βούλοιτο λέγειν, τοσούτῳ πλείονα ὑμεῖς αἰσχύνην ὠφλήκατε. καὶ πάλιν· ὑμεῖς δὲ ὦ ἀθηναῖοι ὅσῳ χεῖρον ἢ προσήκει χρῆσθε τοῖς πράγμασιν. ἡ πρότασις ἡ δευτέρα πρὸς ἀμφότερα ἁρμόσει, εἴτε βούλοιτό τις λέγειν, τοσούτῳ πλείονα αἰσχύνην ὠφλήκατε, εἴτε βούλοιτο λέγειν, τοσούτῳ θαυμαστότερος ἐκεῖνος παρὰ πᾶσι νομίζεται. καὶ ὅλως ἄπειρος ὁ περὶ τούτων λόγος.

## ΠΕΡΙ ΠΝΕΥΜΑΤΟΣ.

Δεῖ τοίνυν τὸν μέλλοντα λέγειν τὰ ποῖα τῶν νοημάτων κατὰ πνεῦμα ἐξενεχθήσεται, πρῶτον εἰπεῖν τί ἐστι πνεῦμα, καὶ πόσα εἴδη αὐτοῦ, καὶ πόθεν γίνεται, καὶ πῶς συντίθεται. πνεῦμα μὲν οὖν ἐστι σύνθεσις λόγου διάνοιαν ἀπαρτίζον, ἐν κώλοις καὶ κόμμασι μετρούμενον, πρὸς τὴν διάρκειαν τοῦ πνεύματος κατὰ τὴν φωνὴν τοῦ λέγοντος· ἐπεὶ δὲ καὶ περὶ κώλου καὶ κόμματος ἔφαμεν, ἰστέον ἐν συντόμῳ ὡς δεῖ καὶ πνεῦμα καὶ κῶλον ἀπαρτίζειν τὴν διάνοιαν. διαφέρει δὲ ἀλλήλων τοῖς μέτροις. τὸ μὲν γὰρ ἀπὸ τεττάρων καὶ πέντε συλλαβῶν καὶ μέχρι τῶν ἓξ κόμμα ἐστὶν ἐπωδῷ μετρούμενον, τὸ δὲ ὑπὲρ τὰς ἑπτὰ καὶ ὀκτωκαίδεκα καὶ ἐγγίζον ἤδη τῷ τριμέτρῳ, καὶ μέχρι τοῦ ἡρωϊκοῦ προχωροῦν, κῶλον γίνεται ὀρθὸν καὶ τεταμένον. ὁ δὲ τῶν συλλαβῶν ἀριθμὸς περινενόηται. τὸ δὲ ὑπὲρ τὸ ἡρωϊκὸν χοινοτενὲς κέκληται, χρήσιμον προοιμίοις μάλιστα καὶ ταῖς τῶν προοιμίων περιβολαῖς.

οἱ δὲ

οἱ δέ, φασὶ καὶ τὸν ἐπῳδὸν κῶλον εἶναι, τὸ δὲ ὑποκάτω κόμμα, ταῦτα μὲν οὖν κῶλά ἐστιν. ἀλλ᾽ ὁ τὴν Εὔβοιαν ἐκεῖνος σφετεριζόμενος, καὶ κατασκευάζων ἐπιτείχισμα ἐπὶ τὴν Ἀττικήν. εἶτα ἐπιφέρει κόμματα καὶ καταλαμβάνων Ὠρεὸν καὶ κατασκάπτων Πορθμόν, εἶτα διαδέχεται καὶ κῶλον πάλιν, καὶ καθιστὰς ἐν μὲν Ὠρεῷ Φιλιστίδην τύραννον, εἶτα κόμμα πάλιν, ἐν δὲ Ἐρετρίᾳ Κλείταρχον, ἢ κῶλον ἐπῳδῷ ἴσον, καὶ καθόλου τὸ πνεῦμα τούτοις συνέχεται. οὔτε γὰρ ἀριθμῷ οὔτε ἕξει ὑποπίπτει τὸ πνεῦμα, ἀλλὰ τὸ παρατυχὸν γίνεται. δι᾽ ἄλλων μέν τοι οὐ γίνεται. ἰστέον δὲ ὅτι καὶ ἀπὸ τῶν πέντε συλλαβῶν ὡς ἔφαμεν καὶ τεττάρων δέ γε καὶ ἧττον τὸ κόμμα συνίσταται. εἰ γὰρ ἀπαρτίζοιτο διάνοια καὶ ἐν δύο συλλαβαῖς κόμμα ἐστί. κόμμα δέ ἐστι σύνθεσις διανοίας μικροτέρα κώλου. ἐπεὶ τὸ πνεῦμα αὐτοῦ μετ᾽ ὀλίγον καὶ εἰς τοιαῦτα καταλήγει κόμματα, ὅταν λέγῃ, πότερον ταῦτα ποιῶν ἠδίκει καὶ παρεσπόνδει καὶ τὴν εἰρήνην ἔλυεν, ἢ οὔ; καὶ γὰρ αἱ ὑπὸ τέλει δύο συλλαβαί, ἢ οὔ; κόμμα ἐστὶν ἐρωτηθέντος ὁλοκλήρως ἀνθρώπου τὴν διάνοιαν. εἴδη δὲ πνευμάτων δύο· ἤτοι γὰρ ἓν νόημα λαβόντες καὶ τοῦτο ἐργαζόμενοι τῇ ἑρμηνείᾳ πλείοσι κώλοις ὡς ἔφην διήκουμεν, τὸ ἓν ἐπεκτείνοντες· οἷον, ὅτε γὰρ πρῶτον ὁ Φίλιππος Ἰλλυριοὺς καὶ Τριβαλλούς, τινὰς δὲ καὶ τῶν Ἑλλήνων κατεστρέφετο, καὶ δυνάμεις πολλὰς καὶ μεγάλας ἐποιεῖτο ὑφ᾽ ἑαυτόν, καί τινες τῶν πόλεων ὑπὸ τῇ τῆς εἰρήνης ἐξουσίᾳ βαδίζοντες ἐκεῖσε, διεφθείροντο ὧν εἷς οὗτος ἦν, τότε δὴ τότε πάντες ἐφ᾽ οὓς ταῦτα παρεσκεύαζεν ἐκεῖνος, ἐπολεμοῦντο. εἰ δὲ μὴ αἰσθάνοντος, ἕτερος λόγος οὗτος, οὐ πρὸς ἐμέ. τοῦτο γὰρ σύμπαν ἑνός ἐστι νοήματος ἑρμηνεία, τὸ ὅτι πάλαι Φίλιππος τοῖς Ἕλλησιν ἐπεβούλευεν.

ἢ ὅταν πολλὰ πράγματα ἀθρόως ἔχοντες εἰπεῖν, καθέκαστον
κῶλον πρᾶγμα ἀπαρτίζωμεν, ὡς ἐν ἐκείνῳ. ἀλλ' ὁ τὴν εὔ=
βοιαν ἐκεῖνος σφετεριζόμενος, καὶ κατασκευάζων ἐπιτεί=
χισμα ἐπὶ τὴν ἀττικήν, καὶ καταλαμβάνων ὠρεόν, καὶ κα=
τασκάπτων πορθμόν. καὶ διόλου τοῦτο τὸ πνεῦμα συναπαρ
τίζει τῷ πράγματι ἐν τῷ κώλῳ, καὶ παρὰ τοῦτο οὐκ ἔστιν ἄλ
λο εἶδος πνεύματος. ἐλέγχεται δὲ τὸ πνεῦμα καὶ γίνεται
τῇ ἐπιμονῇ τοῦ σχήματος. δεῖ γὰρ ἐπιμείναντα τῷ σχήμα=
τι, τῇ ὁμοιότητι τοῦ σχήματος δεῖξαι τὴν τέχνην. συνδεῖται δὲ
τὸ πνεῦμα καὶ συντίθεται μάλιστα καὶ εὔτονον γίνεται τοῖς
συνέχουσι συνδέσμοις τοῖς συμπλεκτικοῖς. καὶ πάσχει δέ γε
κοσμούμενον ἀπ' ἀρχῆς ἄχρι τέλους. καὶ παράδειγμα οὐκ ἔθη
κα. οὐδὲν γάρ ἐστιν ὅτι μὴ οὕτως ἔχει. σχήματα δὲ πνευμάτων
ὅσα καὶ λόγων. ἔξεστι γὰρ ὅθεν βούλει σοι τὸ πνεῦμα λαβόν
τι καὶ λέγοντι μόνον, ἐπιμεῖναι, ἐν ὅτῳ δ' ἂν ἐπιμείνοις πνεῦ
μα ποιεῖς. μετρίως δὲ ἀπὸ τῶν παραδειγμάτων τὰς τηρήσεις ἐκ
θεῖναι ἀναγκαῖον. ἔστι γὰρ αὐτῶν τὸ μὲν, ἀποφαντικὸν κατὰ τὴν
ὀρθὴν πτῶσιν· οἷον ἀλλ' ὁ τὴν εὔβοιαν ἐκεῖνος σφετεριζόμενος·
ἀπὸ γὰρ τοῦ σφετεριζόμενος ἡ ἐπιμονὴ γενομένη, τὸ σχῆμα
προήγαγεν· ἔστι δὲ καὶ κατ' ἐρώτησιν, ἐάν τις λέγῃ· τίς γὰρ ὁ
τὴν εὔβοιαν ἐκεῖνος σφετεριζόμενος; τίς ὁ καταλαμβάνων
ὠρεόν; τίς ὁ κατασκάπτων πορθμόν; τίς ὁ κατασκευάζων ἐπι=
τείχισμα ἐπὶ τὴν ἀττικήν; καὶ διόλου ἀλλάξας τὸ σχῆμα, σῶον
ἐποίησας τὸ πνεῦμα, κἂν αὐτὰ λέγῃς τὰ ῥήματα μόνον ἀντὶ
τοῦ ἄρθρου τοῦ, ὁ, τὸ τίς μόνον παραλαβὼν διὰ τὸ σχῆμα. ἔστι δὲ ἐν
ἐλεγκτικὸν μόνον ἐὰν λέγῃ· οὐχ οὗτος ἐστὶν ὁ τὴν εὔβοιαν σφε
τεριζόμενος; οὐχ οὗτος ἐστὶν ὁ κατασκευάζων ἐπιτείχισμα

ἐπὶ τὴν Ἀττικήν; καὶ τὰ ἑξῆς ὁμοίως, καὶ δεικτικὸν δὲ γίνεται.
καὶ πάλιν τοῦ οὐχὶ ἀφαιρεθέντος. οἷον, οὗτός ἐστιν ὁ τὴν Εὔ-
βοιαν σφετεριζόμενος, οὗτος ὁ κατασκευάζων ἐπιτείχισμα
ἐπὶ τὴν Ἀττικήν. καὶ ἡ ἔνστασις μέντοι τοῦ πνεύματος ποιεῖ
σχῆμα κάλλιστον, ἐὰν λέγωμεν, οὐ τὴν Εὔβοιαν ἐσφετερίζου; οὐ
κατεσκεύαζες ἐπιτείχισμα ἐπὶ τὴν Ἀττικήν; καὶ καθόλου ἀπο-
στροφὴ πᾶσα εἰς πρόσωπον ἐπιμείνασα, πνεῦμα ἐγένετο, κἂν
εἰς ἐμαυτὸν ἐπιστρέψας λέγω· ἐγὼ μὲν ἤμην ὁ τὴν Εὔβοιαν σφε-
τεριζόμενος, ἐγὼ δὲ ὁ κατασκευάζων ἐπιτείχισμα ἐπὶ τὴν
Ἀττικήν, ἐγὼ δὲ ὁ καταλαμβάνων Ὠρεόν, ἐγὼ δὲ ὁ κατασκά-
ψων Πορθμόν· δύναται γάρ που ἐν προβλήματι καὶ Φίλιπ-
πος λέγειν ταῦτα. ἡ ἀρνητικὸν πάλιν πνεῦμα, ἐάν τις λέγῃ,
οὐκ ἐγὼ τὴν Εὔβοιαν ἐσφετεριζόμην, οὐκ ἐγὼ κατεσκεύασα ἐ-
πιτείχισμα ἐπὶ τὴν Ἀττικήν. ἔστι καὶ ἀπαγορευτικὸν σχῆμα, ὃ ἐ-
πιμεῖναν, πνεῦμα γίνεται, ὅταν λέγῃ. μή μοι μυρίους, μηδὲ δι-
σμυρίους λόγους, μηδὲ τὰς ἐπιστολιμαίας ταύτας δυνάμεις πρό-
σφερε. ἰστέον δὲ ὅτι ἐπὶ πάντων τούτων αἵ τε τῶν ἀριθμῶν ἀλ-
λαγαὶ ἑνικῶν καὶ πληθυντικῶν ἀλλάσσουσι καὶ μετασχηματίζου-
σιν, αἵ τε τῶν γενῶν καὶ τῶν πτώσεων καὶ τῶν ἐγκλίσεων. ἀριθ-
μῶν μὲν ὁπόταν τις λέγῃ, οὗτός ἐστιν ὁ τόδε ποιῶν, ποτὲ δὲ
λέγῃ, οὗτοί εἰσιν οἱ καταλαμβάνοντες Ὠρεόν, οὗτοί εἰσιν οἱ κα-
τασκάψαντες Πορθμόν· γενῶν δὲ ἐάν ποτε μὲν ἀρσενικὸν προ-
θῇς, ποτὲ δὲ θηλυκόν, ποτὲ δὲ οὐδέτερον, εἶτα ἐπιμείνῃς.
γένους γὰρ ἀλλαγὴ σχήματός ἐστιν ἀλλαγή. πτώσεων δὲ ἐάν πο-
τε μὲν ὀνομαστικῶς, ποτὲ δὲ γενικῶς, ποτὲ δὲ κατὰ δοτικήν, ποτὲ
δὲ κατὰ αἰτιατικὴν ἐξενέγκῃς τὰ σχήματα καὶ τὰς πτώσεις, ἑ-
νικῶς μὲν ἐκφέρων, ἄλλο πνεῦμα ποιεῖς, πληθυντικῶς δὲ ἄλλο, καὶ κα-

τὰ

τὰ τὰς ἐγκλίσεις ὁμοίως. ταῦτα μὲν οὖν φύσει ἔχει τοιαύτην, καὶ πάντα, ἵνα μὴ καθέκαστον λέγωμεν. πᾶσα δὲ πτῶσις, πᾶσα ἔγκλισις, πᾶς ἀριθμός, πᾶν γένος, πᾶσα μετοχή, πᾶσα ἀντωνυμία, μεταποιούμεναι καὶ μεταλλασσόμεναι, τὰ σχήματα ἀλλάσσουσι. ἐκεῖνο δὲ ἄξιον εἰδέναι, ὅτι προχωροῦν τὸ πνεῦμα ἐν τῷ σχήματι εἰς συχνὰ κῶλα, ὀφείλει καὶ μεταπεσεῖν εἰς ἄλλο σχῆμα προχωροῦντος λόγου, καὶ τῷ δευτέρῳ πάλιν εἰ τύχοι ὑποπίπτει τὸ τρίτον. ἡ δὲ κοινωνία ἡ τοιαύτη καὶ ἡ διαδοχὴ ὡραῖον ποιεῖ τὸν λόγον ἐν τῷ πνεύματι. οἷον, ἐὰν ἀπὸ τῶν ἀποφάσεων εἰς τὰς πεύσεις καταστῇς, ὡς ὁ Δημοσθένης τὰ πρῶτα κῶλα ἀπεφήνατο, ἀλλ' ὁ τὴν Εὔβοιαν ἐκεῖνος σφετεριζόμενος, εἶτα κατέβη εἰς τὰς πεύσεις, πότερον ταῦτα ποιῶν ἠδίκει καὶ παρεσπόνδει; ἢ τὸ ἔμπαλιν, ἂν ἐρωτήσας εἰς τὸ δεικτικὸν μεταβάλλῃς, ἢ εἰς ἄλλο τι. πλὴν ἰστέον ὅτι καλόν, ὑπομείναντα τῷ πνεύματι ἐν τῷ ἑνὶ σχήματι, καὶ εἰς διαδοχὴν ἄλλου προχωρῆσαι. πολλάκις δὲ τοῦτο οὕτω παραλλαγὴ τὸν λόγον ἐποίησεν, ὥστε καὶ εἰς τρίτον σχῆμα μεταβαίνοντας ἀναστῆσαι τοὺς ἀκούοντας, ὥσπερ ἀκμαζούσης τῆς τοῦ λέγοντος φορᾶς, ἣν παρίστησι τοῖς ἀκούουσιν ἡ τοῦ σχήματος μεταβολή. τοὺς πολλοὺς δὲ καὶ ἠπάτησεν ἡ θεωρία ὡς ἀκμὴ οὖσα. ὁ δὲ ἀκμαῖος λόγος οὐχ ὁ αὐτός ἐστιν ἐν λόγῳ καὶ νοήματι. ἀκμὴ δὲ ἄλλο τῆς διανοίας ἐστὶ καὶ ἄλλο λόγου. ἀκμὴ γάρ ἐστι λόγου τὸ κατὰ πνεῦμα σχημάτων μεταβολή· νοημάτων δὲ ὅταν πληρώσας τις ἓν νόημα ἐν πνεύματι, εἰς ἄλλο νόημα λαθὼν μεταβῇ, κἀκεῖνο ποιεῖ πνεῦμα· εἶτα ἀπ' ἐκείνου εἰς ἄλλο πνεῦμα, καὶ οὕτως ἐκ τῶν ἀδήλων εἰς ἄλληλα διαδεχομένων ἀκμὴ γίνεται. ὡς δὲ ἐπὶ παραδείγματος τὸ δημοσθενικὸν ῥητέον, ὅπως εἰδείημεν ὅτι ἡ τῶν πνευμάτων συνθήκη ἀκμή ἐστιν.

ὅτε γὰρ πρῶτον ὁ Φίλιππος Ἰλλυριοὺς καὶ Τριβαλλοὺς, τινὰς
δὲ καὶ τῶν Ἑλλήνων κατεστρέφετο, καὶ δυνάμεις πολλὰς καὶ με-
γάλας ἐποιεῖτο ὑφ' ἑαυτόν, καί τινες τῶν ἐκ τῶν πόλεων ἐπὶ
τῇ τῆς εἰρήνης ἐξουσίᾳ βαδίζοντες ἐκεῖσε διεφθείροντο, ὧν εἷς
οὗτος ἦν, τότε δὴ τότε πάντες ἐφ' οὓς ταῦτα παρεσκευάζετο
ἐκεῖνος, ἐπολεμοῦντο. εἰ δὲ μὴ ᾐσθάνοντο, ἕτερος λόγος οὗ-
τος οὐ πρὸς ἐμέ. μέχρι τούτου τὸ πνεῦμα· εἶτα τὸ, οὐ πρὸς
ἐμὲ, θελήσας ἐργάσασθαι, ἄλλο πνεῦμα ἐποίησεν· ἐγὼ μὲν γὰρ
προὔλεγον, καὶ διεμαρτυρόμην, καὶ παρ' ὑμῖν ἀεὶ, καὶ ὅποι πεμ-
φθείην· αἱ δὲ πόλεις ἐνόσουν, καὶ τοῦτο μέχρι τῶν προδοτῶν
προχωροῦν ἓν πνεῦμά ἐστιν. εἶτα λέγει καὶ τὰ ἄλλα· πλὴν
ἐκείνους ὅμως οἰομένους ἄλλους πωλεῖν, πρώτους ἑαυτοὺς πε-
πρακότας ᾐσθῆσθαι. ἀπὸ τούτου καταλιπὼν πάλιν τὸ ἐγὼ οὐκ
αἴτιος, ἐργάζεται πνεῦμά τι ἄλλο, ὅτι οἱ προδόται πρὸ τῶν
ἄλλων ἑαυτοὺς πιπράσκουσιν. ἀντὶ γὰρ φίλων καὶ ξένων ἃ τό-
τε ὠνομάζοντο, νῦν κόλακες καὶ θεοῖς ἐχθροὶ, καὶ πάντα ἃ
προσήκει ἀκούουσι. καὶ τὰ παραδείγματα ληφθέντα εἰς κατα-
σκευήν ἐστι τούτου, καὶ ἔστιν ἐνταῦθα· ἐπεὶ διά γε ὑμᾶς καὶ πάλαι
ἂν ἀπολώλειτε. ὥστε ἡ τῶν τριῶν πνευμάτων σύνθεσις, ἀκμὴ
γέγονεν ἐντελὴς, ἐκ νοημάτων οὖσα. ἐπὶ τούτοις προσθετέον ἐ-
κεῖνο ὅπερ ἐστὶ λαμπρὸν πάνυ, καὶ ποιεῖν, καὶ τὸ εἰδέναι, ὅτι ἀκ-
μῆς γενομένης ἀπὸ τῶν νοημάτων, δεῖ τελευταῖον τηρεῖν τὸ πο-
ριμώτερον. δεῖ γὰρ ἀεὶ τὸν λόγον αὔξειν. ποριμώτερον δέ ἐστι
τὸ ἐκ παραδειγμάτων τὴν σύστασιν λαβεῖν δυνάμενον ἢ παραβο-
λῶν. οὕτω γὰρ τῆς τέχνης τὴν τάξιν σε διδασκούσης, καὶ ἐπὶ
τὸ κρεῖττον κατ' ὀλίγον προαγομένης καὶ ἐναγούσης, εὐδοκιμεῖν
ἡ ψυχὴ δοκεῖ τῆς τέχνης, δι' ὧν προσήκει ὁδευούσης. καὶ γὰρ

καὶ

καὶ ὁ Δημοσθένης τὰ περὶ τῆς προδότας παραδείγματα, τελευταῖα ἐφύλαξε· καὶ Ὅμηρος τὸ κατὰ κῶλον πνεῦμα ἐν πράγμασι πληρώσας, ἐπὶ τὴν παραβολὴν ἦλθεν,

Ἀσπὶς ἄρ' ἀσπίδ' ἔρειδε, κόρυς κόρυν, ἀνέρα δ' ἀνήρ.
Ψαῦον δ' ἱππόκομοι κόρυθες λαμπροῖσι φάλοισι
Νευόντων, ὡς πυκνοὶ ἐφέστασαν ἀλλήλοισιν.

Εἶθ' ἡ παραβολή,

Ὡς δ' ὅτε τοῖχον ἀνὴρ ἀράρῃ πυκινοῖσι λίθοισι,
Δώματος ὑψηλοῖο βίας ἀνέμων ἀλεείνων,
Ὡς ἄρα κόρυθές τε καὶ ἀσπίδες ὀμφαλόεσσαι.

## ΠΕΡΙ ΤΑΣΕΩΣ.

Τάσις δέ ἐστι λόγου, ὅταν ὑπεραίρῃ παρὰ τὸ μέτρον τοῦ λόγου τὸ πνεῦμα, μακρότερον γινόμενον τοῦ δυνατοῦ ἐν ἰδίῳ ληφθῆναι τοῦ λέγοντος πνεύματι. τοῦτο γάρ ἐστιν ἡ τάσις, τὸ ἀπεπτάσθαι ἐπὶ μακρότερον ἢ χρὴ τὸ πνεῦμα. καταφορὰ δέ ἐστιν ἡ ἐν τῇ κατηγορίᾳ τάσις. τινὶ δὲ διαλλάττει, ὅτι ἡ τάσις καὶ ἐν ἀπολογίαις εἶναι δύναται, ἡ καταφορὰ δὲ οὐκ ἂν γένοιτο ἐν ἀπολογίᾳ.

## ΠΕΡΙ ΔΙΛΗΜΜΑΤΟΥ.

Τὸ δὲ διλήμματόν ἐστι σχῆμα μὲν λόγου, δριμύτητος δὲ δόξαν ἔχον καὶ ἀλήθειαν. ἔστι δὲ τοιοῦτον, ὅταν δύο ἐρωτήσεις ἐρωτῶντες τὸν ἀντίδικον, πρὸς ἑκατέραν ὦμεν εἰς λύσεις παρεσκευασμένοι. δεῖ γὰρ τὰς ἐρωτήσεις ἐναντίας ἀλλήλαις εἶναι, ὡς πάντως ἢ ταύτην ἢ ἐκείνην ἀποκρινομένου τοῦ ἐχθροῦ. εἰ μὲν οὖν ἔχοιμεν ἀμφοτέρας λῦσαι, δεῖ ἐρωτᾶν κατὰ διλήμματα.

ματα· εἰ δὲ μή, μὴ προτείνειν τὸ σχῆμα· ἐὰν γὰρ τῶν ἐρωτήσεων ἡ ἑτέρα ῥᾳδία ᾖ τῷ ἐχθρῷ πρὸς ἀπόκρισιν, σοὶ δὲ λυσλυτος, πάντως ἡττηθήσῃ. ἐρωτᾷς δὲ ἢ ὡς οὐκ ἀποκριθησομένου, ἢ ὡς εἰ καὶ ἀποκρίνοιτο λῦσαι. εἰ δὲ ἀποκρινόμενός σε νικήσειε, σαυτῷ αἴτιος ἐγένου τῆς ἥττης. οὐδὲ γὰρ ἐν ταῖς ἁπλαῖς ἐρωτήσεσι, μήτοιγε καὶ τὰ διλήμματα ἐρωτᾶν δεῖ, εἰ μὴ τότε ὅταν ἢ μὴ ἔχῃ τί ἀποκρίνηται, ἢ ὅταν μέλλῃ τοῦτο ἀποκρίνεσθαι, ὅ σοι συμφέρει. καθόλου γὰρ ὁ ἐρωτῶν, ὡς εἰς νίκην τῇ ἐρωτήσει θαρρῶν ἐρωτᾷ. τὸ δὲ διλήμματόν ἐστι τοιοῦτον. οἷον, πότερον παρῆς τούτοις γινομένοις καὶ συνευφραίνου, ἢ οὐ παρῆς; ἐάν τε γὰρ εἴπῃ παρήμην καὶ συνευφραινόμην, παρεσκεύασαι ὁ ῥήτωρ εἰπεῖν, πῶς οὖν κατηγορεῖς τούτων οἷς συνευφραίνου; ἐάν τε λέγῃ οὐ παρήμην, ἀπαντήσεται αὐτῷ, ὅτι δίκης ἄξιος, τοῖς ἀγαθοῖς τῆς πόλεως μὴ συμπαρών. καὶ πάλιν. ᾔδεις τὰ μέλλοντα ἢ οὐκ ᾔδεις. ἐάν τε γὰρ εἴπῃ ᾔδειν, ἀπαντᾷ, τί οὖν οὐ προέλεγες; ἐάν τε εἴπῃ οὐκ ᾔδειν, τί οὖν ἡμῶν ὡς εἰδότων κατηγορεῖς; εἰ μὲν γὰρ ᾔδεις, προειπεῖν ὤφελες. εἰ δὲ οὐκ ᾔδεις, τί τῶν ἄλλων, ὡς μὴ εἰδότων κατηγορεῖς; περὶ ἀνοίας τῶν μελλόντων κοινῆς οὔσης πρὸς πάντας ἀνθρώπους; γίνεται δὲ τὰ διλήμματα ἤτοι τῶν δύο ἐρωτήσεων δι' ἓν πέρας ἐρωτωμένων, οἷον, εἴτε καλὴν ἔγημας εἴτε αἰσχράν, οὐκ ἔδει γῆμαι. ἓν γὰρ πέρας συνάγεται ἐξ ἀμφοτέρων, τό, μὴ δεῖν γῆμαι· διὰ μὲν τὴν καλήν, κοινήν· διὰ δὲ τὴν αἰσχράν, ποινήν. καὶ τὰ μὲν κοινὰ διλήμματα ταῦτά ἐστιν, ἢ ὅταν τῶν ἐρωτήσεων ἑκάστη ἰδίας ἀποδόσεως δέηται. τοῦτο δὲ τὸ διλήμματον σεσόφισται, καὶ δημοσθενικόν ἐστι σχῆμα, ὅπερ καὶ παρ' ἡμῶν ἐν τῇ διαιρετικῇ τέχνῃ, ὡς πραγματικὸν ἀντιληπτικὸν μεμελέτηται.

## ΠΕΡΙ ΠΑΡΗΧΗΣΕΩΣ.

Παρήχησις δέ ἐστι κάλλος ὁμοίων ὀνομάτων ἐν διαφόρῳ γνώσει ταὐτὸν ἠχούντων. οἷον, ὅταν δύο ἢ τρεῖς ἢ τέσσαρας λέξεις ἢ ὀνόματα εἴπῃ τις, ὅμοια μὲν ἠχοῦντα, διάφορον δὲ τὴν δήλωσιν ἔχοντα. ὡς παρὰ τῷ Ξενοφῶντι, πείθει τὸν πειθίαν. καὶ παρὰ τῷ ὁμήρῳ, ἀλλ' οὐκ εὐπείθει πείθοντο. κἀκεῖ μάλιστα ἐναργῶς· ἤτοι ὅ γ' ἐς πεδίον ἀλήϊον οἶος ἀλᾶτο ὃν θυμὸν κατέδων, πάτον ἀνθρώπων ἀλεείνων. ἐνταῦθα γὰρ ὅμοια μὲν ἀλλήλοις ἠχεῖ τὸ ἀλήϊον καὶ τὸ ἀλᾶτο καὶ τὸ ἀλεείνων. ἀλλὰ τὸ μέν ἐστι τόπου ὄνομα τὸ ἀλήϊον, τὸ δὲ ἀλᾶτο πρᾶγμα, τὸ δὲ ἀλεείνων πρᾶγμα μὲν καὶ αὐτό, ἄλλο δὲ παρὰ τὸ προσεσημασμένον. καὶ ὁ θουκυδίδης, καὶ μετὰ τόπε αἴγυπτος ὑπὸ τῷ ξέρξῃ βασιλεῖ ἐγένετο, πλὴν ἀμυρταίου τοῦ ἐν τοῖς ἕλεσι βασιλέως. τοῦτον δὲ διὰ μέγεθος τοῦ ἕλους οὐκ ἠδύναντο ἑλεῖν, καὶ ἅμα μαχιμώτατοί εἰσι τῶν αἰγυπτίων οἱ ἕλειοι. ἕλος μὲν γὰρ ὁ τόπος. ἑλεῖν δὲ τὸ πρᾶγμα. ἕλειοι δὲ οἱ ἐνοικοῦντες.

## ΠΕΡΙ ΚΥΚΛΟΥ.

Κύκλος ἐστὶ σχῆμα καὶ αὐτὸ ἑρμηνείας ἴδιον κάλλος ἐμπεριέχον λόγου. γίνεται δὲ ὅταν ἀφ' οὗ ἄρξοιτό τις ὀνόματος ἢ ῥήματος εἰς τὸ αὐτὸ καταλήξῃ πάλιν, μήτε πτῶσιν ἀλλάξας, μήτε σχῆμα, μήτε χρόνον, μήτε ἀριθμόν, μήτε ἄλλο τι. οἷον, σοὶ μὲν γὰρ ἦν κλέπτης ὁ πατήρ, εἴπερ ἦν ὅμοιός σοι. ἀπὸ γὰρ οὗ ἤρξατο μορίου τῆς ἀντωνυμίας, εἰς αὐτὸ ἔληξεν. ἐγχωρεῖ δὲ καὶ περιοδικῶς αὐτὸ λεχθῆναι δύνασθαι. καὶ μὲν καὶ διηγηματικῶς. ὡς ὁ δημοσθένης ἐν τῷ πρὸς λεπτίνην·

λέγετ

λέγεται τοίνυν τειχίζειν ἐκεῖνος εἰπὼν οἴχεσθαι πρεσβεύσων εἰς Λακεδαίμονα, καὶ διελθὼν τὰ κατὰ Θεμιστοκλέους πάλιν ὁμοίως ἐπαύσατο, καὶ πάντες ἴστε ὃν τρόπον ἐξαπατῆσαι λέγεται. τὸν γάρ τοι κύκλον οὐχ ὁ ῥυθμὸς ἐλέγχει, ἀλλὰ ἡ ἀρχὴ καὶ ἡ τελευτή. εἴρηται δὲ κύκλος ἀπὸ τῶν ἐν τῇ γῇ γραφομένων κύκλων. ὥσπερ γὰρ ἐκείνων διὰ τὸ ἐξ ἴσου πανταχόθεν περιφερὲς, ἡ ἀρχὴ ἄδηλος, ὅθεν ἂν ἐθελήσωμεν τεκμήρασθαι οὐ δυναμένων τὴν ἀρχὴν, οὕτω δὴ καὶ τούτων ἐκ τῆς ὁμοιότητος τῶν ὀνομάτων, ἀμφιβόλου τῆς ἀρχῆς καθισταμένης, ὅθεν εἶναι δύναται. διόπερ εἰ θέλοιμεν αὐτὸ τοῦτο ἀφοριζόμενοι τὸ τί ἐστι κύκλος ποιῆσαι τὸ σχῆμα τοῦ λόγου ἐν τῷ περὶ αὐτοῦ λέγειν τοῦ κύκλου, ἔσται δὴ οὕτω· κύκλος ἐστὶ τὸ ἀφ' ὧν ἂν ἄρξηταί τις ὀνομάτων, εἰς τὰ αὐτὰ καταλήγειν δύνασθαι πάλιν. τοῦτο γάρ ἐστιν ὁ κύκλος.

## ΠΕΡΙ ΕΠΙΦΩΝΗΜΑΤΟΣ.

Τὸ ἐπιφώνημα λόγος ἐστὶν ἔξωθεν ἐπὶ τῷ πράγματι παρ' ἡμῶν λεγόμενος. δεῖ δὲ αὐτὸν καὶ προσέχεσθαι τῷ ὑποκειμένῳ, ὡς ἐκείνου μέρος ὄντα, ἵνα μὴ ἀπᾴδῃ. δεῖ δὲ αὐτὸν καὶ ἔξωθέν τι προσειληφέναι, ἵνα ᾖ καὶ ἡ τοῦ ἐπιφωνήματος φύσις φανερά. τὸ δὲ προσλαμβανόμενον ἔξωθεν τετολμῆσθαι δεῖ ἀσφαλῶς. διὰ τοῦτο γάρ τοι καὶ ἐπιφώνημα λέγεται, οὐχ ὅτι αὐτὸ τὸ πεπραγμένον λέγεται, ἀλλ' ὅτι τῷ γινομένῳ ἐπιφωνεῖται. μέχρι γὰρ ἄν τις κατὰ κῶλον μεμετρημένος διατυπῶν ἐθέλῃ τὸ γινόμενον, τὸ πρᾶγμα λέγει, ἐὰν δὲ παυσάμενος ἐπενέγκῃ τι τῷ παντὶ, ὡς παρ' αὐτοῦ ἔξωθεν, τοῦτο

ἐπὶ

ὑπερφώνημα λοιπόν ἐστι. οἷον, σὺν δ' εὖρός τε νότος τε ὄρωρ' ἐπαΐξας, ζέφυρός τε δυσαὴς καὶ βορέης αἰθρηγενέτης μέγα κῦμα κυλίνδων· καὶ σὺν δὲ νεφέεσσι κάλυψε γαῖαν ὁμοῦ καὶ πόντον· μέχρι τούτων ἡ διατύπωσις. τὸ δὲ, ὀρώρει δ' οὐρανόθεν νύξ, ὑπερφώνημα λοιπόν ἐστιν. ἡ μὲν γὰρ ἐκ τῶν νεφῶν σκότος γίνεται, προσέχεται τῇ ἀληθείᾳ, καὶ ἴδιον τοῦ πράγματος ἐγένετο· ἣ δὲ ἐξ οὐρανοῦ λέγει τὴν νύκτα γεγονέναι, διὸ ἐτόλμησε, καὶ νύκτα εἰπὼν τὸ ἄλλο σκότος, καὶ ἐξ οὐρανοῦ γεγονέναι, ὅθεν οὐδέποτε γίνεται σκότος, οὐδὲ νύξ. καὶ τὸ μὲν ἀληθινὸν ὑπερφώνημα τοῦτό ἐστιν. ἔστι δὲ καὶ ἄλλο ὑπερφωνήματος εἶδος τρόπον τινὰ γινόμενον, ὃ καὶ ἀκμὴν ἐκάλεσάν τινες, οὐκ ὀρθῶς ὁρίζοντες ἐν ἑνὶ κώλῳ ἀκμήν. ἐπεὶ μηδὲ ὅθεν γίνεται δυνατόν τις εἰδέναι. ἔστι δὲ τοῦτο τοιοῦτον, ὅταν πνεύματος κατὰ μέρος ἀποταθέντος ἐν πολλοῖς κώλοις, ἐπὶ τέλει πάλιν ἓν κῶλον τεθῇ, συλλήβδην, ὡς εἰπεῖν, πᾶν τὸ πνεῦμα δυνάμενον ἀφορίσασθαι καὶ ἔχειν ἐν ἑαυτῷ, οἷον, αἴας δ' οὐκ ἔτ' ἔμιμνε· βιάζετο γὰρ βελέεσσι, καὶ ὅλον τὸ παρ' ὁμήρῳ πνεῦμα. κατὰ μέρος γὰρ εἰπὼν τὰ συμβάντα περὶ αἴαντι καὶ ὑπερσυμβαίνοντα, ἐπὶ τέλει πάλιν ὥσπερ ἐν ἑνὶ κώλῳ πάντα ἐπαλιλλόγησεν, εἰπών, πάντῃ δὲ κακὸν κακῷ ἐστήρικτο. ἔστι δὲ ὑπερφωνηματικὰ καὶ τὰ ἀπὸ τῶν τρόπων ὀνόματα, ἐκλαμβανόμενα λοιπὸν εἰς τὸ πρᾶγμα, τολμηρῶς ἡμῶν βιαζομένων τὰ ἐκ τοῦ ἀλλοτρίου πράγματος εἰς τὸ ἡμέτερον μεταφέρειν, ὡς τὸ ἀσφαλὲς ἐχόντων διὰ τὸ καὶ εἰς τὴν παραβολὴν αὐτὰ προειρηκέναι. οἷον, ἐὰν τις ναυάγιον ἐκ παραβολῆς εἰπὼν ἐν λόγῳ, εἶτα μεταβαίνων εἰς τὰ πράγματα, ἐθελήσειε κατ' ὄνομα λέγειν, ἕκαστον τῶν ἐκ τῆς ναυαγίας, σημαίνων τὸ ὑποκείμενον·

οἷον, ἐν χειμῶνι καὶ νῦν ἐστι τὰ τῆς πόλεως πράγματα, καὶ κλύδωνι, καὶ σαλεύεται τὰ καθεστηκότα, καὶ δεῖται τοῦ κυβερνήσαντος αὐτά. καὶ πάλιν αὐτοῦ μεμνησόμεθα τούτου ἑξῆς, ἐν τῷ περὶ τροπῆς λόγῳ.

## ΠΕΡΙ ΤΡΟΠΗΣ.

Τροπὴ δέ ἐστι τὸ μὴ τοῦ ὑποκειμένου πράγματος, ἀλλοτρίου δὲ σημαντικὸν ὄνομα θεῖναι, κοινὸν εἶναι δυνάμενον καὶ τοῦ ὑποκειμένου, καὶ τοῦ ἔξωθεν ἐμφαινομένου. ὃ καλεῖται καὶ μεταφορὰ παρὰ τοῖς γραμματικοῖς. οὐχ ὡς ἐκεῖνοι λέγουσι, τὸ ἀπὸ τῶν ἀψύχων ἐπὶ τὰ ἔμψυχα, καὶ τὸ ἀνάπαλιν, ἀλλὰ καθόλου ἡ ῥητορικὴ πολυπραγμονοῦσα μηδὲν μήτε ἐμψύχων, μήτε ἀψύχων, οὕτω χρῆται τοῖς ἀλλοτρίοις ὀνόμασιν. οἷον, προπέποται τὰ τῆς πόλεως πράγματα, ἀντὶ τοῦ προδέδοται· καὶ τιθασσεύουσιν, ἀντὶ τοῦ κολακεύουσιν. ἐμφαίνεται γὰρ ἐκείνῳ τε τῷ ὀνόματι τὸ συμπόσιον μὴ ὑποκείμενον, καὶ τούτῳ τὰ θηρία τιθασσευόμενα, τῷ λόγῳ μὴ ὑποκείμενα. τούτου δὲ τοῦ εἴδους εἴ τις ἐφαψάμενος, πληρώσειε καὶ ἐφεξῆς τῆς τροπῆς ὄνομα, ὡς πᾶσαν ἐνθεῖναι, τῆς παραβολῆς ἀρετὴν ἐποίησεν· εἰ δὲ ἐλλείψειε, κακοζηλότερόν ἐστιν. οἷον ἐφ᾽ ἡμᾶς ἐχθρὸν αὐτὸν τηλικοῦτον ἠσκήσαμεν, εἰπὼν ὄνομα καὶ λαβὼν ἀπὸ τοῦ ἀγῶνος, εὐθέως ἀπέδωκεν, ἢ φρασάτω τις ἐμοί, πόθεν ἄλλοθεν ἰσχυρὸς ἢ παρ᾽ ἡμῶν αὐτῶν γέγονε φίλιππος, καὶ τὰ ἑξῆς ὁμοίως. δεῖ μέντοι εἰδέναι, ὅτι ὅσα μέν ἐστι συντελικὰ τῆς τροπῆς, εὐθὺς ἀποδοθήσεται· ὅσα δὲ γελοιότερα, διὰ πολλοῦ τοῦ χρόνου λανθάνονται· ἃ τοῖς μὲν τεχνίταις κατάδηλα ὄντα, τοῖς ἀτέχνοις δὲ μηδὲ φαινόμενα. τοῦτο μὲν

οὖν

οἷον σεμνὸν ὂν εὐθέως ἀπεδόθη, τὸ δὲ προπέσοι τὰ τῆς πόλεως πράγματα, εἰ μὴ εἶχεν ἐγγὺς παρακειμένην τὴν ἀπόδοσιν, γελοιότερον ἦν ἄν, διὰ πολλοῦ δὲ τεθὲν λανθάνον, οὐδὲ φαίνεται. ὑποβαίνων γὰρ ἔρχεται ὧδέ πως· μεθύων τῷ μεγέθει τῶν πεπραγμένων Φίλιππος. ὥρμηται δὲ τὸ τοῦ μεθύειν ὄνομα ἀπὸ ἀρχῆς τῆς προθέσεως. ἐδόκει δὲ εἶναι γελοιότερον, εὐθὺς παρακείμενον τῷ προπέσοι τὸ μεθύειν· τῷ μέν τοι μεθύειν παρακείμενον τὸ ὀνειροπολεῖν σεμνὸν ὂν, ἐκόσμησε τὸν λόγον. κοινὸν γάρ ἐστι τῆς μέθης τὸ ὀνειροπολεῖν.

## ΠΕΡΙ ΣΕΜΝΟΥ ΛΟΓΟΥ.

Σεμνὸν δὲ εἴ τι που ἐστὶν ἐν τοῖς οὖσι, τί ἄλλο μᾶλλον ἐστὶν ἢ λόγος; καὶ τὸ μὲν σεμνὸν τοῦ νοῦ, σεμνῶς οὐχ ἑρμηνεύεται ὑπὸ τῆς τοῦ ῥήτορος δυνάμεως, ἀλλ᾽ ὑπὸ τῆς ἀνάγκης αὐτοῦ τοῦ πράγματος. οἷον, ὁ μὲν δὴ μέγας ἐν οὐρανῷ Ζεὺς πτηνὸν ἅρμα ἐλαύνων, καὶ ὅσα ἄλλα τοιαῦτα· ὅπου δὲ ἂν ὁ νοῦς αἰσχρὸς ᾖ, τότε χρεία τῆς σεμνότητος τοῦ λόγου, ἵνα τὸ νοούμενον αἰσχρῶς, οὕτως διενέγκῃ τις τῷ λόγῳ εὐφυῶς, ὄνομα ἀντὶ ὀνόματος ἀμείβων, ὡς μὴ δόξαι τισὶν αἰσχρὸν εἶναι τὸ πρᾶγμα διὰ τὴν τοῦ λόγου σεμνότητα, ὡς παρὰ τῷ Μενάνδρῳ· πυθομένου γάρ τινος κόρης, πῶς εἴη διεφθαρμένη, σεμνῶς ἀφηγήσατο πρᾶγμα αἰσχρὸν ὀνόμασι βελτίστοις· Διονυσίων ἦν πομπή, ὁ δέ μοι ἠκολούθησε μέχρι τὰ πρὸς τὴν θύραν· ἔπειτα φοιτῶν καὶ κολακεύων τὴν μητέρα, ἔγνω με. τὸ γὰρ διεφθάρθαι καὶ ὑβρίσθαι, σεμνῶς ἔγνω με εἰπὼν, ἐκόσμησε πρᾶγμα αἰσχρὸν σεμνοτέρᾳ λόγου συνθέσει. γίνεται μὲν οὖν ἢ ὀνόματι ἡμῶν ἀντὶ ὀνόματος χρωμένων, ἢ πολλάκις οὐδὲ λέγεται τὸ πρᾶγμα, ἐὰν αἰσχρὸν ᾖ πάνυ, ἀλλὰ τὰ πρὸ τοῦ πράγματος εἰωθότα γίνεσθαι καὶ λέγεσθαι,

καὶ τὰ παρασυμβαίνοντα τῷ αἰσχρῷ πράγματι, ἅπερ ἐξ ἀνάγκης ἐνδόξως καὶ σεμνῶς δηλοῖ καὶ αὐτὰ τὰ σιγώμενα. σεμνῶς μέν, ὅτι μὴ λέγεται· ἐνδόξως δέ, ὅτι τοῖς ἑκατέρωθεν νοεῖται. ὡς καὶ παρ' Ὁμήρῳ. λῦσε δὲ παρθενικὴν ζώνην ἐπὶ δ' ὕπνον ἔχευεν, ἡ δ' ὑποκιοσαμένη τέκετο ὃν ἔφη τεκεῖν. ἐνταῦθα γὰρ τὴν συνουσίαν ἐδήλωσε τῷ καὶ τὰ γενόμενα πρὸ τῆς συνουσίας εἰπεῖν λῦσε δὲ παρθενικὴν ζώνην, καὶ τῷ ἐπενεγκεῖν ἃ μετὰ τὴν συνουσίαν γίνεται ἡ δὲ ὑποκισσαμένη τέκετο, ὃν ἔφη τεκεῖν.

## ΠΕΡΙ ΚΑΚΟΖΗΛΟΥ.

Τὸ δὲ κακόζηλον γίνεται ἢ κατὰ τὸ ἀδύνατον, ἢ κατὰ τὸ ἀνακόλουθον, ὃ καὶ ἐναντίωμά ἐστιν, ἢ κατὰ τὸ αἰσχρόν, ἢ κατὰ τὸ ἀσεβές, ἢ κατὰ τὸ ἄδικον, ἢ κατὰ τὸ τῇ φύσει πολέμιον. καθ' οὓς τρόπους καὶ ἀνασκευάζομεν μάλιστα, τὰ διηγήματα ἐκβαλόντες ὡς ἄπιστα. διά τοι τοῦτο φαμὲν καὶ τὰς διασκευὰς μέχρι τοῦ εἰκότος προχωρεῖν, ὡς εἰ παρὰ τὸ εἰκὸς εὑρεθείη τι πάντως κακόζηλον ἐσόμενον, καὶ ἐμπεσούμενον τῇ ἀνασκευῇ. καὶ γὰρ ἐκεῖ λέγομεν, οὐκ εἰκὸς τόδε πραχθῆναι, ἢ ὅτι ἀδύνατον, ἢ ὅτι αἰσχρόν, καὶ τὰ ἑξῆς. γίνεται δὲ τὸ κακόζηλον ὅμως καὶ τροπικῇ λέξει μιᾷ χρησαμένων, εἶτα τὸ πλῆρες τῆς τροπῆς ἀποδοῦναι μὴ δυναμένων. ἰστέον μέν τοι ὅτι τὰ κακόζηλά ἐστι πολλάκις ἰᾶσθαι τῇ προκατασκευῇ τῇ καὶ προθεραπείᾳ καλουμένῃ. τὰ γὰρ προμαλαχθέντα τῇ ἑρμηνείᾳ νοῦν εἰσάγει. ὅθεν καὶ τὸ τόλμημα προσδοκᾶται τοῖς ἀκούουσιν. ὃ καὶ πρὶν λεχθῆναι ἀσφαλὲς εἶναι δοκεῖ. γυμνὸν δὲ ἂν τεθῇ πρὸ τῆς

κατα

κατασκευῆς τοῦ λόγου, κακόζηλον ἔδοξεν ἢ τῷ νῷ, ἢ τῷ λόγῳ, καὶ σκόπει πῶς ὁ Ὅμηρος ἐποίησεν. ὡς γὰρ ἔμελλε λέγειν· ἧκε δὲ ἀποῤῥήξας κορυφὴν ὄρεος μεγάλοιο, φοβούμενος τοῦτο τὸ ἀδύνατον, προκατασκευάζει τοιοῦτον ἄνδρα τῷ λοιπῷ διηγήματι, ὡς μηδὲ τὸν περὶ τούτου λόγον ἄπιστον καταστῆναι λεχθέντα, τῷ τε τροφὰς αὐτῷ περιθεῖναι μείζονας ἢ κατὰ ἄνθρωπον, τῷ τε ἀποδοῦναι αὐτῷ ῥόπαλον βαστάζειν, οἷον, οὐκ ἄνθρωπον, καὶ λίθον· καὶ τῷ τὴν ἰδέαν αὐτοῦ διελθεῖν, ὡς μεγάλην καὶ φοβεράν· καὶ τῷ εἰπεῖν, οὐδὲ ἐῴκει ἀνδρί γε σιτοφάγῳ, ἀλλὰ ῥίῳ ὑλήεντι. πάντες γὰρ οἱ περὶ τούτου προγυμνασθέντες λόγοι, πιστὸν ἐποίησαν εἶναι δοκεῖν τὸ παράδοξον τὸ περὶ τοῦ κύκλωπος ῥηθέν, τὸ ἧκε δὲ ἀποῤῥήξας κορυφὴν ὄρεος μεγάλοιο. εἰ γὰρ ὁ τοιοῦτος ἦν, οἷον αὐτὸν προκατεσκεύαζεν, οὐδὲν ἦν τὸ ὁ τοιοῦτον αὐτὸν ποιῆσαι δυνηθῆναι. γίνεται δὲ τὸ κακόζηλον καὶ κατὰ τὸ εὐτελὲς πολλάκις. ὡς ἐκεῖνο, οἴμοι δράκων μου γίνεται τὸ ἥμισυ. θεραπεύεται δὲ τὰ κακόζηλα οὐ τῇ προδιορθώσει μόνῃ, ἢ τῇ προκατασκευῇ ὡς ἐδείξαμεν, ἀλλὰ καὶ τῇ ἐπιδιορθώσει καλουμένῃ. δεῖ δὲ εἰδέναι, ὅτι τὰ εὐτελῶς εἰρημένα ἡ σεμνότης διορθοῦται· ὡς παρὰ τῷ εὐριπίδῃ, οἴμοι δράκων μου γίνεται τὸ ἥμισυ. τοῦτο δὲ κοινῶς καὶ εὐτελῶς εἰπὼν ἐθεράπευσε τῇ ἐπιφορᾷ, τέκνον περιπλάκηθι τῷ λοιπῷ πατρί. τοῦτο δὲ οὐ μόνον σεμνῶς εἴρηται, ἀλλὰ καὶ ἐπιφωνηματικῶς, διὰ τὸ τετολμῆσθαι, ὅτι τὸ ἐναντίον ἐὰν συμβῇ τινὶ μετὰ σεμνότητα εἰς αἰσχρὸν κατενεχθῆναι, κακοζηλότερον ἐγένετο. ὡς ἑτέρωθι ὁ αὐτός, ἡ δὲ καὶ πίπτουσ' ὅμως πολλὴν πρόνοιαν εἶχεν εὐσχήμως πεσεῖν· τοῦτο σεμνῶς εἰπὼν ἐπήνεγκεν εὐτελὲς καὶ κοινὸν καὶ κακόζηλον, κρύπτουσ' ἃ κρύπτειν ὄμματ' ἀρσένων χρεών.

## ΕΡΜΟΓΕΝΟΥΣ

# ΠΕΡΙ ΤΩΝ ΕΣΧΗΜΑΤΙΣΜΕΝΩΝ ΠΡΟΒΛΗΜΑΤΩΝ.

Τῶν ἐσχηματισμένων προβλημάτων τὰ μέν ἐστι κατὰ τὸ ἐναντίον, τὰ δὲ κατὰ τὸ πλάγιον, τὰ δὲ κατ' ἔμφασιν. ἐναντίον μὲν οὖν ἐστιν, ὅταν τὸ ἐναντίον κατασκευάζωμεν, οὗ λέγομεν. οἷον, ἤτησαν οἱ ἀθηναῖοι παρὰ λακεδαιμονίων εἰρήνην, οἱ δὲ ἀντῄτησαν περικλέα· βουλευομένων τῶν ἀθηναίων, αὐτὸς ὁ περικλῆς ὑβριοπαθῶν, ἐπὶ τῇ βουλῇ, ἀξιοῖ ἀπέρχεσθαι. ὁμολογουμένως γὰρ ὁ περικλῆς, εἰ καὶ λέγει πέμψατέ με, σχήματι μόνον λόγου λέγει· ἐπεὶ ταῖς μεταχειρήσεσι χρῆται, ταῖς κατασκευαζούσαις ὅτι οὐ χρὴ πεμφθῆναι αὐτόν. πλάγιον δέ ἐστιν ὅταν μετὰ τοῦ κατασκευάζειν τὸ ἐναντίον, καὶ ἄλλο τι περαίνῃ ὁ λόγος. οἷον, πλούσιος ἐν λιμῷ ὑπέσχετο θρέψειν τὴν πόλιν, εἰ λάβοι τὸν πένητα πρὸς σφαγήν, οὐκ ἔδωκεν ὁ δῆμος, ὁ πένης ἑαυτὸν προσεπαγγέλλει. ἐνταῦθα γὰρ τὸ ἐναντίον βούλεται ὁ πένης οὗ περ λέγει· ἀποθανεῖν γὰρ οὐ βούλεται. κατασκευάζει δὲ ἐκ πλαγίου καὶ τὸ μὴ εἶναι παρὰ τοῦ πλουσίου τὸν σῖτον, καὶ τὸ εἰ ἔστιν, ἁπλῶς λαβεῖν. κατ' ἔμφασιν δέ ἐστιν, ὅταν τι λέγειν μὴ δυνάμενοι διὰ τὸ κεκωλῦσθαι καὶ παρρησίαν μὴ ἔχειν, ἐπὶ σχήματι ἄλλης ἀξιώσεως ἐμφαίνωμεν κατὰ τὴν σύνθεσιν τοῦ λόγου, καὶ τὸ οὐκ ἐξὸν εἰρῆσθαι, ὡς εἶναί τε νοῆσαι τοῖς ἀκούουσι, καὶ μὴ ἐπιλήψιμον εἶναι τοῖς λέγουσι. οἷον, τὸν μαινόμενον φεύγειν ὁ νόμος ἐκέλευε· φήμης οὔσης, ὅτι σύνεστιν ὁ πατὴρ τῇ τοῦ υἱοῦ γυναικί, ἀξιοῖ ὁ παῖς ὡς μαινόμενος φεύγειν.

ἐνταῦθα δὲ τὸ μὴ δοκεῖν περὶ τῆς φυγῆς διαλέγεται, καὶ τοῦτο τῷ λόγῳ ἐπιδείδεται, δι' ὅλου δὲ ἐμφαίνει τὴν μοιχείαν τοῦ πατρὸς κατὰ τῆς γυναικός. τὰ μὲν οὖν πλάγια καὶ τὰ ἐναντία, ἐν τούτῳ διαλλάττει μόνον, ὅτι τὰ μὲν ἐναντία ἓν μελετᾷ, τὰ δὲ πλάγια καὶ διπλοῦν ἐκφέρει τὸν νοῦν πολλάκις καὶ πλείονα. ἡ μέντοι μεταχείρησις ἡ αὐτή, ἀφ' ἧς τὸ μελετᾶν εἰδέναι γίνεται. μελετῶντι γὰρ τῶν τοιούτων προβλημάτων αἱ ὑποφοραί, ἀπὸ τῆς κατασκευῆς ἐκφερόμεναι· κἀκεῖθεν πάλιν ἐκ τῶν ἐπιχειρημάτων ὅσα ἂν εὑρίσκῃ. ὁ γὰρ παρὰ τῶν ἐχθρῶν λόγος ἰσχυροποιούμενος ἀσθενεστέρας ἀναγκάζων εἶναι τὰς λύσεις, ἐκδείκνυσι βούλεσθαι πλέον εἶναι τὸν σοφιστήν, ἢ κατὰ τὸ δοκοῦν εἰσάγεσθαι. οἷον, ὁ περικλῆς ἐν τῷ ἑαυτὸν ἀξιοῦν ἀπελθεῖν εἰς λακεδαίμονα· ὁ γοῦν ὑπὲρ αὐτοῦ λέγων, ταῦτα ἐκ τῆς ὑποφορᾶς κατασκευασθῆναι ποιήσει, ἃ περικλῆς εἶπεν, ἂν αὐτὸς ὑπὲρ αὑτοῦ πάντως, ἢ εἴ τις αὐτὸν ἄλλος μὴ διδόναι λακεδαιμονίοις ἠξίου. φήσει τοίνυν ἴσως παρελθών, ὡς οὐ δεῖ τοῖς ἐχθροῖς ἐπιτάττουσι πείθεσθαι, δεινὸν γοῦν εἶναι τὸ πρᾶγμα καὶ ἠλίθιον, εἴ τις χαριεῖται κελεύουσι τοῖς ἐχθροῖς. φίλοις γὰρ ἐπιτάττουσι δεῖ πείθεσθαι καὶ οὐ πολεμίοις. καὶ ὅτι οὐδὲ οἱ πατέρες ἡμῶν ὑπήκουσαν οὐδενί, μήτε ξέρξῃ, μήτε μαρδονίῳ μήτε δαρείῳ μήτε ἄλλῳ τινί. καὶ ὅτι μηδὲ ὑμᾶς μήτε λακεδαιμονίοις πολλὰ ἐπιτάττουσι περὶ ποτιδαίας καὶ περὶ αἰγινητῶν καὶ περὶ μεγαρέων. καὶ καθάπαξ μία μεταχείρησις ἐν τοῖς ἐσχηματισμένοις ἡ τῶν ὑποφορῶν κατασκευή. ἔστι καὶ ἄλλη μεταχείρησις, τὸ, περιτιθέντα ἑτέρῳ τὸν λόγον εἰσάγειν τὰ νοήματα. οἷον, ἄλλος μὲν οὖν ἂν εἴπε τις μὴ πέμπεσθαι κελεύων αὐτὸν λακεδαιμονίοις, ὡς οὐ χρὴ πολεμίοις ἐπιτάττουσι πείθεσθαι, δεινόν τε γὰρ εἶναι τὸ πρᾶγμα καὶ

ἠλίθιον

ἠλίθιον, καὶ μήτε τοὺς πατέρας, μήτε ἡμᾶς ποτὲ τοιοῦτόν τι πεπραχέναι, καὶ τοιαῦτα νοήματα, ἐγὼ δὲ οὔ φημι ταῦτα. ἔστι δὲ καὶ ἐν ἄλλῳ μεταβάλλειν σχήματι, ἐάν τις λέγῃ· ἐγὼ δὲ εἰ μὲν ἄκοντά μέ τις ἠξίου βιαζόμενος ἀπελθεῖν πρὸς Λακεδαιμονίους, εἶπον ἂν τάδε καὶ τὰ αὐτὰ νοήματα, ἅπερ εἰ καὶ μὴ ἐσχηματισμένως ἐμελετῶμεν, ἐλέγομεν ἄν. διὰ τοῦτο γὰρ καὶ ἐσχηματισμένα καλεῖται τὰ τοιαῦτα προβλήματα. ἐπειδὴ τὰ αὐτὰ δεῖ λέγεσθαι νοήματα, ἅπερ εἰ καὶ μὴ ἐσχηματισμένως ἐμελετῶμεν, εἴπομεν ἄν. δεῖ δὲ μεταχειρήσεως καὶ τοιούτου σχήματος ἀσφαλοῦς εὐπορῆσαι, ἵνα μὴ λύοντες τὰς ἐμφάσεις, γυμνοὺς εἰσάγωμεν τοὺς λόγους, ὡς ἄντικρυς μὴ θέλοντες. καὶ ταυτὶ μὲν περὶ πλαγίων καὶ ἐναντίων. τὸ δὲ κατ' ἔμφασιν σχῆμα τοιοῦτόν ἐστιν, οἷον καὶ προειρήκαμεν. μελετᾶται ἐνίοτε μὲν σχήματος εὑρέσει κἀκεῖνο τοιούτου, ἵνα τις ἄντικρυς λέγων τὸ πρᾶγμα μὴ δοκῇ λέγειν, ὃ δὴ καὶ εὕρημά ἐστιν ἐμὸν ἐν μελέτῃ γενόμενον ἐμῇ, καὶ ἐκδέδοται. οἷον, φήμη ἦν, ὅτι σύνεστιν ὁ πατὴρ τῇ τοῦ υἱοῦ γυναικί, ἔγκυος ἐγένετο ἡ γυνή, ἔχρησεν ὁ θεὸς τὸ γεννηθησόμενον, φονέα ἔσεσθαι τοῦ πατρός· οὐ βούλεται ἐκτιθέναι τὸ γεννηθὲν ὁ παῖς, καὶ ὑπὸ τοῦ πατρὸς ἀποκηρύττεται. ἐνταῦθα γὰρ ὁ παῖς πρὸς τὴν ἀποκήρυξιν ἀπολογούμενος ὀφείλει τὴν ἐπιτρέχουσαν φήμην περὶ μοιχείας κατὰ ἔμφασιν δηλοῦν ὡς λίαν ἀνεπιλήπτως, καὶ ἐλέγχειν τὸν πατέρα εὐσχημόνως, φανερῶς δὲ μὴ λέγειν, ὅτι μοιχεύεις τὴν γυναῖκα τὴν ἐμήν, καὶ δηλοῦν, ὅτι τοῦτο γίνεται. οὕτως οὖν ηὐπορήσαμεν σχήματος τοιούτου, καὶ ἄντικρυς εἰπόντες αὐτό, λέγειν οὐκ ἐδόξαμεν. ἔστι δὲ τόδε, σὸν εἶναι πάτερ λόγισαι τὸ παιδίον, οὐκ ἐμόν.

ἐκτίθης ὁ ἐγέννησας. ῥίπτεις τὸ παιδίον οὗ γέγονας πατήρ. Δεῖ δὲ ἐν τοῖς τοιούτοις, τοῖς κατ᾽ ἔμφασιν λέγω, καὶ ὀνομάτων εὐπορῆσαι διπλᾶ δηλῶσαι δυναμένων καὶ τὸ ἀνεύθυνον, καὶ τὸ σεσημασμένον. οἷον, φήμη ἦν ὅτι σύνεστιν ὁ πατὴρ τῇ θυγατρὶ τῇ ἰδίᾳ· ἀπόρρητόν τι ἡ μήτηρ εἰποῦσα τῷ υἱῷ ἀπήγξατο· πυνθάνεται ὁ πατὴρ τὸ ἀπόρρητον, καὶ οὐ λέγοντα τὸν υἱὸν ἀποκηρύσσει. οἷον ἡμῖν ἐξενήνεκται καὶ περὶ τοῦδε προοίμιον δεύτερον τόδε. περὶ μὲν οὖν ἀποκηρύξεως ταύτης ἔλαττον ἐμοὶ μέλει, λυποῦμαι δὲ ὑπὲρ τοῦ πατρὸς, εἰ μετὰ τοσαύτην εὐθηνίαν γένους μόνῃ σύνεστι τῇ θυγατρὶ καὶ συζήσεται. κοινὰ μὲν γάρ ἐστι καὶ τοῦ ἄλλου βίου τὰ τοιαῦτα ὀνόματα τοῖς ἀνθρώποις, δοκεῖ δὲ μάλιστα ἴδια εἶναι τῇ ὑποκειμένῃ ἐμφάσει, ὡς δηλῶσαι δυνάμενα τό, τε ἀνεύθυνον καὶ τὸ σεσημασμένον, τό, τε σύνεστι φημὶ καὶ τὸ συζήσεται. ἀλλὰ καὶ ἡ περὶ συνθέσεως πάλιν ἀκολουθία συγκειμένη μὲν ἄλλο δηλοῖ, διαιρουμένη δὲ ἄλλο ἐμφαίνει. οἷον, φήμη ἦν ὅτι σύνεστιν ὁ πατὴρ τῇ τοῦ υἱοῦ γυναικί· μοιχὸν καταλαβὼν, ἐγκεκαλυμμένον ὁ υἱὸς ἀφῆκε, καὶ ἀποκηρύσσεται ὑπὸ τοῦ πατρός. εἴρηται ὅπου καὶ τοῦ μοιχοῦ λαβόμενος ἐβόων ὦ πάτερ. τὸ γὰρ ὄνομα τοῦ πατρὸς εὐθὺς τῷ μοιχῷ παρακείμενον ἐν τῇ συνθέσει, ἐποίησε τὴν ἔμφασιν· καὶ τὸ ἐπενηνεγμένον δὲ ὁμοίως ἔχει, καὶ τοῦ μοιχοῦ λαβόμενος ἐβόων πάτερ, σὺ δὲ ἦς οὐδαμοῦ. τῷ γὰρ μοιχῷ καὶ τῷ πατρὶ προστεθὲν εὐθέως, τὸ σὺ δὲ ἦς τῇ συνθέσει τὴν ἔμφασιν ἐδήλωσε, τὴν ἀσφάλειαν δὲ ἔχει ἑκάτερον ἀπὸ τοῦ οὐδαμοῦ.

## ΕΡΜΟΓΕΝΟΥΣ

# ΠΕΡΙ ΤΩΝ ΣΥΓΚΡΙΤΙΚΩΝ ΠΡΟΒΛΗΜΑΤΩΝ.

Τὰ συγκριτικὰ προβλήματα εἰ μὲν στοχασμῷ περιπέσοι ἢ ὅρῳ, ῥᾳδίαν ἔχει καὶ τὴν διαίρεσιν. διπλοῖς γὰρ τοῖς κεφαλαίοις καθ' ἕκαστον χρώμεθα. ἐν μὲν τοῖς στοχασμοῖς ταῖς βουλήσεσι καὶ ταῖς δυνάμεσι, λέγοντες· ἐμὲ μὲν οὐκ εἰκὸς βουληθῆναι τόδε ποιῆσαι διὰ τόδε, σὲ δὲ εἰκὸς βουληθῆναι τόδε ποιῆσαι διὰ τόδε, καὶ πάντα ἐκφέρων εἰς δέον τὰ ἐπιχειρήματα. εἶτα πάλιν· ἐμὲ μὲν οὐκ εἰκὸς δυνηθῆναι τόδε ποιῆσαι, διὰ τόδε, σὲ δὲ εἰκὸς τόδε ποιῆσαι δυνηθῆναι διὰ τόδε. καὶ τοῦτο κατασκευάζοντες, καὶ τὸ χρῶμα τὸ μὲν ἡμέτερον τιθέντες καὶ κατασκευάζοντες, τὸ δὲ παρὰ τοῦ ἐχθροῦ τεθὲν λύοντες τοῖς ἐπιχειρήμασι· καὶ τὴν πιθανὴν ἀπολογίαν τὴν ἐκείνου μὲν λύοντες, κρατύνοντες δὲ τὴν ἡμετέραν. καὶ μὴν καὶ τὰ ἐν τοῖς ὅροις ὁμοίως διπλῶς μελετῶντες λέγομεν. οἷον, τοῦτό ἐστι τὸ ἐργάσασθαί τι, ὃ πεποίηκα ἐγώ, καὶ εἰπεῖν ἅπερ εἰργάσατο· εἶτα ἐπενεγκεῖν, σὺ δὲ τούτων ἐποίησας οὐδέν· εἶτα ἀνθυπενεγκεῖν ἐκεῖθεν τὰ αὐτῷ πεπραγμένα, καὶ λέγειν, ὡς ταῦτα οὐδέν ἐστι. χρησόμεθα δὲ τοῖς ἐπιχειρήμασι καὶ ταῖς ἐφόδοις ταῖς μελετικαῖς, καὶ ἐν τοῖς διπλοῖς ὅροις, αἷς ἐδιδάξαμεν δεῖν χρῆσθαι καὶ ἐν τοῖς ἁπλοῖς ἀπό τε τῶν πρὸ τοῦ πράγματος, καὶ ἀπὸ τῶν μετὰ τὸ πρᾶγμα συμβαινόντων. ἐκεῖθεν γὰρ ἡ ἁπλῆ εὐπορία, ἐνταῦθα διπλῆ γίνεται. εἰ δὲ πραγματικὴ ἀμφισβήτησις παρεμπέσοι, τότε δεῖ ζητεῖν, τίνα ἐστὶ τὰ συγκρινόμενα, δύο ἢ καὶ πλείονα, καὶ οὕτως

οὕτως ἐκ τῶν παρακολουθούντων ἑκάστῳ τὰς συγκρίσεις ποιήσας, μάλιστα δὲ εἰ πρόσωπον συγκρίνοιτο, τότε ἔχειν δεῖ τὴν ἀπὸ τῶν ἐγκωμίων καὶ ψόγων σύγκρισιν, καὶ γένη, καὶ ἐπιτηδεύματα, καὶ πράξεις, καὶ τύχας, καὶ ἅπαντα τὰ συγκρινόμενα. ὁμοίως δὲ ἔχει καὶ τὰ ἐκ τῆς ἄλλης περιστάσεως, ὅτι ἂν εἰς σύγκρισιν ἐμπέσοι, τὰ παρακολουθοῦντα ἑκάστοις συγκρινομένοις. παρακολουθεῖ δὲ ἄλλα μὲν τόποις, ἄλλα δὲ χρόνοις, ἄλλα δὲ ἑκάστοις τῶν ἄλλων περιστάσεων.

ΤΕΛΟΣ.


ALIT DVOS ERITH
TVMNON

# ΕΡΜΟΓΕΝΗΣ

## ΠΕΡΙ ΜΕΘΟΔΟΥ ΔΕΙΝΟΤΗΤΟΣ.

# HERMOGENES

## DE METHODO GRAVITATIS, SIVE VIRTVTIS COMMODE DICENDI.



PARISIIS
Excudebat Christianus Wechelus, sub scuto Basiliensi, in uico Iacobæo, anno
1531

Universitäts- und Landesbibliothek Düsseldorf

VD16

Universitäts- und
Landesbibliothek Düsseldorf

## ΕΡΜΟΓΕΝΟΥΣ ΠΕΡΙ ΜΕΘΟΔΟΥ ΔΕΙΝΟΤΗΤΟΣ.

Ἂν μέρος λόγου εὕρηται μὲν τῶν μη-
κύνσει πράγματος, καιροῦ δὲ ἰδίου τυ-
χόν· ὁ δὲ καιρὸς κατὰ ἤθους προσθήκην
γινόμενος, ἰδίαν διαφορὰν ἀπεργάζε-
ται· καὶ οὐ μόνον ἰδίαν, ἀλλὰ καὶ διάφορον·
καὶ οὐ μόνον διάφορον, ἀλλὰ καὶ δια-
φόρους· καὶ οὐ μόνον διαφόρους, ἀλλὰ καὶ ἐναντίας· οἷον, κακοῦργος Κακοῦργος
πᾶς ὁ κακόν τι ἐργαζόμενος, ἰδίως δὲ ὁ κλέπτης. διάφορον δέ,
οἷον, δημηγορεῖν, τὸ ἐν δήμῳ ἀγορεύειν, ἰδίως δὲ τὸ κεχαρισμένα Δημηγορεῖν
λέγειν, καὶ τὸ ἀπᾴδοντα λέγειν. διαφόρους δέ, οἷον, ἄνθρωπος,
γένους ὄνομα, καὶ ἤθους ἡμέρου, καὶ τύχης ὄνομα, καὶ πανουργίας.
ἐναντίας δέ, ὡς τό, μείνατε τὸν χρόνον τὸν πολύν, τὸν ὀλίγον· καὶ
παρὰ Πλάτωνι, χρόνον δὴ τὸν πολὺν δηλοῖ· καὶ τό, αὐτὸς ὦ Φαί- Χρονος
δων παρεγένου; αὐτὸς ὦ Ἐχέκρατες. ὁ μὲν γὰρ ἤρετο ὡς θαυ-
μάζων καὶ μακαρίζων τὸν παραγενόμενον· ὁ δὲ ἀπεκρίνατο σε-
μνυνόμενος καὶ μέγα φρονῶν. πάσης λέξεως τῆς ἀγνοουμένης
ἐν πεζῷ λόγῳ, τρεῖς μέθοδοι τῆς εὑρέσεως. ἢ γὰρ ἐθνική ἐστιν ἡ λέ-
ξις, ἢ τεχνική, ἢ νομική. ὁ γοῦν παρασάγγης οὐκ οἶδα τί ἐστιν. Παρασάγγης
ἐθνικὸν γάρ ἐστι καὶ περσικόν, ὅσον μέτρον, οἱ τριάκοντα στάδιοι·
χοῖνος δὲ αἰγύπτιον, οἱ ἑξήκοντα στάδιοι. νομικὸν δὲ ὄνομα τὸ Χοῖνος
τοιοῦτον, πομπεύει ἀντὶ τοῦ κατηγορεῖν εἴλετο. ἐν Ἀθήναις, τοῖς πομπεύειν
Διονυσίοις ἐπόμπευον, καὶ ἀλλήλοις ἐλοιδοροῦντο, καὶ τοῦτο
ἐκαλεῖτο πομπεύειν, καὶ εἰσαγγελία δὲ καὶ ἡ φάσις, καὶ ἄλλα

τοιαῦτα ὀνόματα, νομικά ἐστι. τεχνικὰ δὲ, ἐκεῖνα, ζεύξαντες τὰς παλαιὰς ναῦς, ναυπηγικὸν ὄνομα· καὶ δὶς διὰ τεσσάρων, μουσικόν· καὶ μοσχεύειν, γεωργικόν, καὶ ὅσα τοιαῦτα. τὰ ἁμαρτήματα κατὰ τὴν λέξιν κατὰ δύο τρόπους γίνεται, ἀκυρίαν καὶ παραφθοράν. ἀκυρίαν μὲν· οἷον ἐὰν εἴπῃ τις ἐρωτῶ καὶ παρακαλῶ ἀντὶ τοῦ δέομαι, ἀκύρως εἴρηκε· τὸ μὲν γὰρ παρακαλεῖν, ἢ καλεῖν ἐστὶν ἢ προτρέπεσθαι· τὸ δὲ ἐρωτᾷν, πυνθάνεσθαι· παραφθορὰν δέ· οἷον, ὃ καλοῦσι διάζωμα ἐάν τις εἴπῃ διαζώστραν, ἢ τὸ αἱμωδεῖν ἀμωδεῖν, καὶ τὰ τοιαῦτα. Πότε ταυτότητι ὀνομάτων χρησόμεθα, καὶ πότε ποικιλίᾳ; ταυτότητι μὲν, ὅταν τοῦ πράγματος ἓν ὄνομα ᾖ τὸ ἐναργέστατον· τότε γὰρ οὐ δεῖ χορηγίαν ζητεῖν τὴν ἀφανίζουσαν τὴν ἐνάργειαν τοῦ πράγματος· ἐὰν δέ τις παραλάβῃ, ἐπίδειξιν μὲν ἄκαιρον ἐποιήσατο, τὴν χρείαν δὲ ἀπολώλεκε τῆς συγγραφῆς· Ὅμηρος, ὡς δὲ χιὼν κατατήκετ' ἐν ἀκροπόλοισιν ὄρεσσιν, ἥν τ' εὖρος κατέτηξεν, ἐπὴν ζέφυρος καταχεύῃ, τηκομένης δ' ἄρα τῆς, ποταμοὶ πλήθουσι ῥέοντες, ὣς τῆς τήκετο καλὰ παρήϊα δακρυχεούσης· οὔτε τὸ λείβεται, οὔτε τὸ χεῖται, οὔτε τὸ λύεται οὕτως ἁρμόζει ὡς τὸ τήκεται. ὄψις γάρ ἐστι χιόνος ἀναλισκομένης ἡ τηκεδών· ὅταν δὲ πολλὰ ὀνόματα ἔχῃ τις ἰσότιμα, καὶ ὁμοίως ἔχοντα ἐνάργειαν χρήσιμον, ἡ ποικιλία ἁρμόζει· οἷον Ὅμηρος· ὡς δ' ὅταν ὠδίνουσαν ἔχῃ βέλος ὀξὺ γυναῖκα δριμὺ, τότε προΐεισι μογοστόκοι εἰλείθυιαι Ἥρης θυγατέρες πικρὰς ὠδῖνας ἔχουσαι· ἔχομεν ὀξὺ, δριμὺ, πικρόν· ἐπεὶ δ' οὐκ ἔχει ἄλλο ἰσότιμον, ὑπὲρ τὸ πρῶτον ἐπανέρχεται, ὡς ὀξεῖαι ὀδύναι δῦνον μένος Ἀτρείδαο· καὶ ὁ Θουκυδίδης ἐν τῷ προοιμίῳ· τεκμήριον, σημεῖον, παράδειγμα, μαρτύριον· καὶ ἀεὶ κύκλον ποιεῖται τῶν ὀνομάτων. ἐκ δὲ τεκμη

ρίων

παρακαλεῖ

Quando dictiones nō variabimus · uel pro cop. Eras.

Τήκομαι de nive propri[e]

Τηκεδών

ρίων, ὧν περὶ μακρότατον σκοποῦντί μοι πιστεῦσαι ξυμβαίνει·
καὶ μαρτύριον δέ· δῆλον γὰρ καθαιρουμένης ἀπὸ Ἀθηναίων· καὶ
σημεῖον δ' ἐστὶ ταῦτα τῆς Ἑλλάδος ἔτι οὕτω γινόμενα περί τε
Λοκροὺς καὶ τοὺς Ὀζόλας, καὶ τοὺς Αἰτωλοὺς, καὶ Ἀκαρνᾶνας· καὶ παρά-
δειγμα τόδε τοῦ λόγου οὐκ ἐλάχιστόν ἐστι διὰ τὰς μετοικίας
εἰς τὰ ἄλλα μὴ ὁμοίως αὐξηθῆναι. Η περιττότης, ἐστὶ διπλῆ, καὶ Superfluitas
κατὰ λέξιν καὶ κατὰ γνώμην· ἑκατέρα δὲ διπλῆ, καὶ ἡ κατὰ λέξιν
καὶ ἡ κατὰ γνώμην. καὶ ἡ μὲν κατὰ λέξιν γίνεται διατριβὴ, καὶ πλή-
θει· ἡ δὲ κατὰ γνώμην, κατὰ ἐπενθυμήσεις καὶ λόγων καθολικῶν
τοῖς ἰδίοις συμπλοκήν. Διατριβὴ, ἐστὶ βραχέως διανοήματος
ἠθικοῦ ἔκτασις, ἵνα ἐμμείνῃ τὸ ἦθος τοῦ λέγοντος ἐν τῇ γνώμῃ
τοῦ ἀκούοντος· οἷον, τὴν μὲν ὕβριν Μειδίου πάντες ἴστε· ὑβρίζετο
νῦν δι' αὐτοῦ οὕτως· τὴν μὲν ἀσέλγειαν ὦ ἄνδρες δικασταὶ καὶ τὴν
ὕβριν, ᾗ πρὸς ἅπαντας ἀεὶ χρῆται Μειδίας, οὐδένα οὔθ' ὑμῶν
οὔτε τῶν ἄλλων πολιτῶν ἀγνοεῖν οἴομαι· καὶ τὸ περὶ τοῦ στεφά-
νου προοίμιον ὁμοίως ἔχει· πλῆθος δὲ, ἐστὶ ποικίλων ὀνομά- πλῆθος
των ἰσοτίμων ἐπίσχησις εἰς κίνησιν ἤθους· οἷον, τοῦ δὲ παρόντος
ἀγῶνος ἡ προαίρεσις αὐτή, ἔχθραν μὲν ἐπήρειαν ἔχει· καὶ
ὕβριν, καὶ προπηλακισμὸν, καὶ λοιδορίαν ὁμοῦ, καὶ πάντα τὰ
τοιαῦτα· ὅπου καὶ τὸ πλῆθος ἔδειξεν, εἰπὼν ὁμοῦ. ἡ δὲ ἐπεν-
θύμησις, ἐστὶν ἐνθύμημα ἐπιφερόμενον, ὃ μὴ προστιθὲν μὲν
οὐ ποθεῖται· προστιθὲν δὲ, τὸ πᾶν ὠφελεῖ. οἱ δὲ καθολικοὶ λό-
γοι, δῆλον ὅτι ποτέ εἰσι· παραδείγματα δὲ τῶν ἐπενθυμήσεων
καὶ τῶν καθολικῶν λόγων παραλλὰξ εἰσὶν ἐν Θουκυδίδου ἐπιτα-
φίῳ, ὧν ὁ καιρὸς ὄντος· πρὸς μὲν τὰ σκληρὰ καὶ αὐθάδη δια-
νοήματα ἐπενθυμήσεις παραλαμβάνονται, ἵνα μαλάξωσι τὰ

ἤδη· πρὸς δὲ τὴν πίστιν τῶν ἰδίων λόγων οἱ κοινοὶ λόγοι καὶ καθολικοί· ἀμφοτέρων δ' ἦν ἐν τῷ ἐπιταφίῳ χρεία. καὶ γὰρ αὐθαδές ἐστι καὶ ἄπιστον τὸ λέγειν, οὐκ ἔδει γενέσθαι ἐπιτάφιον τῶν πάλαι οὕτω δοκιμασάντων. πρὸς μὲν γὰρ τὸ αὔθαδες αἱ ἐπενθυμήσεις, πρὸς δὲ τὸ ἄπιστον, οἱ καθολικοὶ λόγοι. τῶν δὲ αὐθαδῶν καὶ τολμηρῶν διανοημάτων θεραπεῖαι καὶ παραμυθίαι δύο, ἡ βραχεῖα προσθήκη, ἡ ὁμολογία τοῦ τολμήματος. βραχεῖα μὲν οὖν προσθήκη οὕτως, ὁ μὲν οὖν παρὼν καιρὸς ὦ ἀθηναῖοι μονονουχὶ λέγει, φωνὴν ἀφιείς, ὅτι τῶν πραγμάτων ἡμῖν ἐκείνων αὐτοῖς ἀντιληπτέον ἐστί· καὶ πάλιν ἀλλαχοῦ, ὥσπερ ἑωλοκρασίαν τινά μου τῆς ἑαυτοῦ πονηρίας κατασκευάσας· καὶ πλάτων· οἷον ἁλμυρὰν ἀκοὴν ἀποκλύσασθαι ποτίμῳ λόγῳ. αὔθαδες δὴ τοῦτο. τίς οὖν ἡ βραχεῖα προσθήκη; οἷον ἁλμυρὰν ἀκοήν· ὁμολογία δὲ τοῦ τολμήματος, ὡς ἐν τῷ κατὰ τιμοκράτους, καὶ γὰρ εἰ φορτικὸς ὁ λόγος εἶναι δοκεῖ, ὅμως ἐρῶ· ἀπεκτείνατε αὐτὸν, ἵνα τοῖς ἀσεβέσιν ἐν ᾅδου θῆ τοῦτον τὸν νόμον. πότε

*παράληψις* παράλειψις καὶ ἀποσιώπησις γίνεται; ὅταν βουληθῶμεν τὴν ὑπόνοιαν μείζονα κατασκευάσαι τοῦ πράγματος ἐν τῇ γνώμῃ τῶν ἀκουόντων, ἢ λέγομεν· οἷον, λάβωμεν πρῶτον ἐκ τοῦ λόγου παράδειγμα, πῶς ὄντος κέχρηται τῷ πατρί, λέγω ἴσως ἢ ἀντεῖπεν ἢ οὐκ ἐπείσθη· *ἀποσιώπησις* ἡ δὲ ἀποσιώπησις μείζονα τὴν ὑπόνοιαν πεποίηκεν, ὡς ἐπιβουλεύων τῷ πατρί. δημοσθένης δὲ τῇ ἀποσιωπήσει τῇ τελείᾳ οὕτως κέχρηται ἐν τῷ περὶ τοῦ στεφάνου· ἀλλ' ἐμοὶ μὲν, ὃν βούλομαι δὲ δυσχερὲς εἰπεῖν οὐδὲν, ἀρχόμενος τοῦ λόγου. ἐν

*Praeteritio* προσποιήσει δὲ παραλείψεως ἡ μνήμη τῶν πραγμάτων κατὰ ἓξ τρόπους γίνεται· ἤτοι ὅταν μικρὰ μὲν ᾖ τὰ πράγματα, χρήσιμα δὲ τῷ λέγοντι· ἢ ὅταν ᾖ γνώριμα, διὰ μὲν τὸ γνώριμα

εἶναι,

εἶναι, φησὶ παραλιπεῖν· διὰ δὲ τὸ χρήσιμα εἶναι, λέγει αὐτά· ἢ ὅταν ἐπαχθῆ ᾖ, χρήσιμα δὲ τῷ λέγοντι, διὰ μὲν τὸ ἐπαχθῆ εἶναι, φησὶ παραλιπεῖν· διὰ δὲ τὸ χρήσιμα εἶναι, λέγει αὐτά. παραδείγματα τούτων, τῶν μὲν μικρῶν ἐν τῷ κατὰ Μειδίου· ὅσα μὲν οὖν ἢ τοὺς χορευτὰς κωλύων ἀφεθῆναι τῆς στρατείας ἠνώχληκεν, ἢ προβαλλόμενος καὶ κελεύων ἑαυτὸν εἰς Διονύσια χειροτονεῖν ἐπιμελητὴν, ἢ τὰ ἄλλα ὅσα τοιαῦτα, ἐάσω· εἶτα τὴν αἰτίαν ἐπιφέρει τοῦ προσποιεῖσθαι παραλιπεῖν· οὐ γὰρ ἀγνοῶ τοῦθ' ὅτι τῶν μὲν ἐπηρεαζομένων τὴν αὐτὴν τούτων ἕκαστον ὀργὴν ἥνπερ ἄλλο τι οὐ τῶν δεινοτάτων παρίστησιν, ὑμῖν δὲ τοῖς ἔξω τοῦ πράγματος οὖσιν οὐκ ἂν ἴσως ἄξια αὐτὰ καθ' ἑαυτὰ ἀγῶνος φανείη. τῶν δὲ γνωρίμων, ἐν τῷ περὶ ἀτελείας· ἐγὼ δ' ὅτι μὲν τινῶν κατηγοροῦντα πάντας ἀφαιρεῖσθαι τὴν δωρεὰν, τῶν ἀδίκων ἐστὶν, ἐάσω· εἶτα τὴν αἰτίαν ἐπιφέρει τοῦ προσποιεῖσθαι παραλιπεῖν· καὶ γὰρ εἴρηται πρότερον τινὰ, καὶ ὑφ' ὑμῶν ἴσως διαγινώσκεται· τῶν δὲ ἐπαχθῶν παράδειγμα ἐν τῷ περὶ τοῦ στεφάνου· ἐν μὲν τοῖς ἰδίοις εἰ μὴ πάντες ἴστε ὅτι κοινὸς καὶ φιλάνθρωπος, πᾶσι τοῖς δεομένοις ἐπαρκῶν, σιωπῶ, καὶ οὐδὲν εἴποιμι περὶ αὐτῶν, οὔτε εἴ τινας ἐκ πολεμίων ἐλυσάμην, οὔτε εἴ τισι θυγατέρας ἀποροῦσι συνεξέδωκα· εἶτα τὴν αἰτίαν τοῦ παραλιπεῖν ἐπιφέρει· ἐγὼ νομίζω τὸν μὲν εὖ παθόντα δεῖν μεμνῆσθαι παρὰ πάντα τὸν χρόνον, τὸν δὲ εὖ ποιήσαντα, εὐθὺς ἐπιλελῆσθαι, εἰ δεῖ τὸν μὲν χρηστοῦ, τὸν δὲ μὴ μικροψύχου ποιεῖν ἔργον ἀνθρώπου· τὸ δὲ τὰς ἰδίας εὐεργεσίας ἀναμιμνήσκειν, μικροῦ δεῖν ὅμοιόν ἐστι τῷ ὀνειδίζειν. τὸ περιπλέκειν διαβάλλεται μὲν ὡς κακία τοῦ λέγειν· εἰ δὲ ἐν καιρῷ γίνοιτο, ζηλωτὸν ἂν σχῆμα εὑρεθείη. καιρὸς οὖν τῆς περιπλοκῆς τῶν λόγων τριπλοῦς. περιπλέκομεν γὰρ ἤτοι ὅταν αἰσχρὰ ᾖ τὰ λεγόμενα.

λεγόμενα· φυλαττόμενοι γὰρ τὴν ἀπρέπειαν τοῦ λόγου, αὐτῷ τῷ περιπλέκειν δηλοῦμεν ἃ θέλομεν εὐπρεπῶς, καὶ πικρότερον τὸν λόγον ποιούμεθα· ἢ ὅταν λυπηρὰ ᾖ τοῖς ἀκούουσιν· ἢ ὅταν ἐπαχθῆ τοῖς λέγουσι. παραδείγματα τῶν μὲν αἰσχρῶν, ἐν τῷ κατὰ Τιμάρχου φησὶν Αἰσχίνης· εἰδὼς δὲ αὐτὸν ἔνοχον ὄντα· θέλει μὲν εἰπεῖν τῇ πορνείᾳ, φυλαττόμενος δὲ τὸ αἰσχρὸν, περιπλέκει, λέγων, οἷς ὀλίγῳ πρότερον ἠκούσατε ἀναγινώσκοντος τοῦ γραμματέως· τῶν δὲ λυπηρῶν ὁ Δημοσθένης, ὃς ἐν τοῖς Φιλιππικοῖς φησίν· ὁ μὲν οὖν παρὼν καιρὸς μονονουχὶ λέγει φωνὴν ἀφιείς, ὅτι τῶν πραγμάτων ὑμῖν ἐκείνων αὐτοῖς ἀντιληπτέον ἐστί· καὶ ἐπειδὴ λυπηρὸν ἐστι τὸ λέγειν, εἰ δὲ μὴ ἀπολεῖται τὰ πράγματα, περιέπλεξεν, εἴπερ ὑπὲρ σωτηρίας ὑμῶν αὐτῶν φροντίζετε· καὶ πάλιν παρὰ πόδας ἔνεστί γε περιπλοκὴ μετὰ συλλήψεως· ἡμεῖς δὲ, ὑπακούεται ἀμελοῦμεν· ἀλλὰ τοῦτο λυπηρὸν ἐστι τοῖς Ἀθηναίοις, πῶς οὖν περιέπλεξεν; οὐκ οἶδα ὅν τινά μοι δοκοῦμεν ἔχειν τρόπον πρὸς αὐτά. τῶν δὲ ἐπαχθῶν παράδειγμα ἐν τῷ κατὰ Μειδίου· φησὶ γὰρ ὁ Δημοσθένης, πρῶτον μὲν ὅτι ἐθελοντὴς χορηγεῖν ὑπέστην, ὅπερ ἐστὶ φιλοτιμίας· εἶτα δὲ κληρουμένων πάντων, πρῶτον αἱρεῖσθαι τὸν αὐλητὴν ἔλαχον, ὅπερ ἐστὶν εὐτυχίας· ἐπάγει γοῦν λέγων· ὑμεῖς μὲν οὖν, ὡς εἰκὸς, ἀμφότερα ἀπεδέξασθε, τήν τε φιλοτιμίαν τὴν ἐμὴν, καὶ ἐπειδὴ ἐπαχθές ἐστι τὸ λέγειν, καὶ τὴν εὐτυχίαν, περιέπλεξε, καὶ τὸ συμβὰν ἀπὸ τῆς τύχης. ὅτι δὲ τὸ ὄνομα τοῦ σχήματος τοῦτό ἐστιν ἡ περιπλοκή, Αἰσχίνης φησὶν ἐν τῷ κατὰ Τιμάρχου οὕτως· φανήσεται οὖν οὐ μόνον ἑταιρηκώς, ἀλλὰ (μὰ τὸν Διόνυσον οὐκ οἶδα ὅπως δεῖ περιπλέκειν ὅλην τὴν ἡμέραν) καὶ πεπορνευμένος· ὃς διʼ ὅλου τοῦ λόγου περιπλέξας διὰ τὸ αἰσχρὰ εἶναι τὰ ῥήματα, ἐπὶ τέλει δὲ νικηθείς,

περιπλοκή

νικηθεὶς, εἶπεν ὑπὸ τῆς χολῆς, καὶ πεπορνευμένος.

Epanalepsis

Ἐπανάληψις γίνεται κατὰ τρόπους τρεῖς, περὶ πράγματος διδασκαλίᾳ, περὶ προσώπου συστάσει ἢ διαβολῇ, καὶ ἤθους βεβαιώσει. περὶ πράγματος διδασκαλίᾳ, ὡς παρ' Ὁμήρῳ· ἀλλ' ὁ μὲν αἰθίοπας μετεκίαθε τηλόθ' ἐόντας, Αἰθίοπας, τοὶ διχθὰ δεδαίαται ἔσχατοι ἀνδρῶν, ἐπανέλαβε τὸ ὄνομα, ἵνα δείξῃ δύο γένη αἰθιόπων. περὶ προσώπου συστάσει, Νιρεὺς δ' αὖ σύμηθεν ἄγε τρεῖς νῆας ἐΐσας· Νιρεὺς ἀγλαΐης θ' υἱὸς χαρόποιό τ' ἄνακτος· Νιρεὺς, ὃς κάλλιστος ἀνὴρ ὑπὸ ἴλιον ἦλθεν· ἐπανέλαβεν ἵνα κοσμήσῃ τὸ πρόσωπον. περὶ διαβολῇ δέ· ἄρες ἄρες βροτολοιγὲ, μιαιφόνε, τειχεσιπλῆτα· ἐπανέλαβεν ἵνα τὸ πρόσωπον διαβάλλῃ. περὶ ἤθους δὲ βεβαιώσει· τοῦ δ' ἐγὼ ἀντίος εἶμι καὶ εἰ πυρὶ χεῖρας ἔοικε, εἰ πυρὶ χεῖρας ἔοικε, μένος δ' αἴθωνι σιδήρῳ· ἐπανέλαβεν, ἵνα τὸ ἀνδρεῖον βεβαιώσῃ. παρὰ δὲ τοῖς πεζοῖς, περὶ μὲν πράγματος διδασκαλίᾳ, Ξενοφῶν ἐν ἀπομνημονεύμασιν· ἀδικεῖ Σωκράτης, οὓς μὲν ἡ πόλις νομίζει θεοὺς οὐ νομίζων, ἕτερα δὲ καινὰ δαιμόνια εἰσφέρων· ἀδικεῖ δὲ καὶ τοὺς νέους διαφθείρων· καὶ Δημοσθένης ἐν Φιλιππικοῖς, πάντες ὅσοι πώποτε ἐκπεπλεύκασι στρατηγοὶ παρ' ἡμῶν, ἢ ἐγὼ πάσχειν ὁτιοῦν ἕτοιμός εἰμι, παρὰ τούτων τῶν τὰς νήσους οἰκούντων χρήματα λαμβάνουσι· λαμβάνουσι δὲ οἱ μὲν πλείονας ἔχοντες ναῦς, πλείονα· περὶ δὲ προσώπου συστάσει, ὡς Ξενοφῶν, πολλάκις Κῦρον ἐπαναλαμβάνων· περὶ δὲ διαβολῇ, ὡς ὁ Δημοσθένης· ἀλλ' ἀνδροτίων ἡμῖν πομπείων ἐπισκευαστής· ἀνδροτίων, ὦ γῆ καὶ θεοί· καὶ ἀλλαχοῦ· ὑμεῖς δὲ Χαρίδημον, εἰ χρὴ φρουρεῖν, βουλεύεσθε, Χαρίδημον, οἴμοι. περὶ ἤθους βεβαιώσει, ἔστιν ὑμῖν ὦ Ἀθηναῖοι χρήματα, ἔστιν ὅσα οὐδενὶ τῶν ἄλλων ἀνθρώπων στρατιωτικά·

καὶ πάλιν ἐν τῷ κατὰ μειδίου, ἀλλ' ἵππον; ἵππον οὐκ ἐτόλμησεν ὁ κατάρατος οὑτοσὶ πρίασθαι· καὶ ἡρόδοτος, φονεὺς μὲν τοῦ ἑωυτοῦ ἀδελφεοῦ, φονεὺς δὲ τοῦ καθήραντος. τὸ κατὰ πεῦσιν σχῆμα ἀναντίρρητόν ἐστι· γίνεται δὲ ἢ περὶ τῶν φύσει ὁμολογουμένων· οἷον, ἆρ' οὐκ ἔστιν νῦν ἡμέρα; ἢ περὶ τῶν τῷ λόγῳ προαποδεδειγμένων· οἷον, εὑρέθης ὑπὸ τῆς οἰκίας διορωρυγμένου τοῦ τοίχου ὑφαιρούμενος τὸ ἱμάτιον, ἆρ' οὐκ εἶ κλέπτης; καὶ γὰρ τὰ τῷ λόγῳ προαποδεδειγμένα ἴσα τοῖς φύσει ὁμολογουμένοις τῇ δυνάμει ἐστίν· ἀναντίρρητον δὲ ὂν τὸ σχῆμα, τρεῖς ἔχει μορφάς, ἢ πρὸς τοὺς ἀκούοντας, ἢ πρὸς τοὺς ἀντιλέγοντας, ἢ αὐτοῦ πρὸς ἑαυτὸν τοῦ ῥήτορος. ἡ πρὸς τοὺς ἀκούοντας πεῦσις ἐλεγκτική· οἷον, πότε οὖν ὦ ἀθηναῖοι, πότε ἃ χρὴ πράξετε; ἐπειδὰν τί γένηται; ἡ πρὸς τοὺς ἀντιλέγοντας ἀνατρεπτική· οἷον, τὸ λαβεῖν οὖν τὰ διδόμενα ὁμολογῶν ἔννομον εἶναι, τὸ χάριν τούτων ἀποδοῦναι, παρανόμων γράφῃ; ἡ αὐτοῦ πρὸς ἑαυτὸν τοῦ ῥήτορος πεῦσις διπλῆ, ἀκοῆς μὲν ἐπιστροφὴν ἔχει καὶ πίστωσιν καὶ πρόληψιν καὶ ὑπονοίας λύσιν. ὅταν γὰρ αὐτὸς ἑαυτὸν πυνθάνηται ὁ ῥήτωρ, ἅμα καὶ ἐπέστρεψε τοὺς ἀκούοντας καὶ τὴν πίστιν προκατέλαβε. πιστεύει γὰρ ἕκαστος τῶν ἀκουόντων, συννοῶν ὅτι οὐκ ἂν ἠρώτησεν ἑαυτὸν ὁ ῥήτωρ, εἰ μὴ ἐπίστευεν ἀποδείξειν, καὶ εἴ τινα ἔχειν ὑπόνοιαν ὁ ἀκροατὴς θεραπεύεται· ὥσπερ ἐπὶ ταύτης τῆς ἐρωτήσεως· ἔστιν ὑμῖν πόρος, ὃν μὲν ἂν ἤδη ζητῆτε, οὐχ εὑρήσετε· ἐὰν δὲ περιμείνητε, εὑρήσετε· εἶτ' ἐπιφέρει, τίς οὖν ἐστιν οὗτος; ὁ νῦν μὲν οὐκ ὤν, αὖθις δὲ γενησόμενος· αἰνίγματι γὰρ ὅμοιον τὸ ἐγὼ φράσω. τὸ ἀσύνδετον σχῆμα, καὶ τὸ μετὰ τῶν συνδέσμων λεγόμενον, δοκεῖ τὸ μὲν δεδέσθαι, τὸ δὲ λελύσθαι, ταυτὸ δ' ἀμφότερα δηλοῖ καὶ ἐργάζεται, καὶ μέγεθος ὁμοίως καὶ πλῆθος.

Interrogatio

Asyndeton

πλῆθος, ὅταν ἑκατέρου καιρὸς ᾖ. ταὐτὸν δὲ ἐργαζόμενα, οὐχ
ὁμοίως ἐργάζεται, ἀλλὰ τὸ μὲν μετὰ συνδέσμων πραγματι-
κόν, πλῆθος ἢ μέγεθος· οἷον, Ὄλυνθον μὲν δὴ καὶ Μεθώνην
καὶ Ἀπολλωνίαν καὶ δύο καὶ τριάκοντα πόλεις τὰς ἐπὶ Θρᾴκης ἐῶ·
τὸ δὲ ἄνευ συνδέσμων λεγόμενον, ἠθικόν ἐστι· καὶ πάλιν ἡνίκα
Πύδνα, Μεθώνη, Ποτίδαια, Παγασαί, τἆλλα, ἵνα μὴ καθ' ἕκα-
στον λέγων διατρίβω, πολιορκούμενα ἀπηγγέλλετο. τὸ οὖν ἀρ-
χῇ τι λέγειν τῶν κεφαλαίων, περὶ ὧν τις μέλλει κατασκευάζειν
ἢ διδάσκειν, οἱ τεχνικοὶ καλοῦσι προέκθεσιν· τὸ δὲ ἐπὶ τέλους proecthesis
ἀναμιμνήσκειν τὰ ἀποδεδειγμένα ἢ λελεγμένα, οἱ τεχνικοὶ
καλοῦσιν ἀνακεφαλαίωσιν· οἱ δὲ παλαιοί, τὴν μὲν προέκθεσιν κα- Anacephalaeosis
λοῦσιν ὑπόσχεσιν, τὴν δὲ ἀνακεφαλαίωσιν, καλοῦσιν ἐπάνοδον,
ὡς Δημοσθένης δηλοῖ, λέγων οὕτως· δίκαιόν ἐστιν ἐμὲ τρία ἡμῖν
ὑπεσχημένον ἀποδείξειν, ἓν μέν, ὡς παρὰ τοὺς νόμους· καὶ τὸ ἕ-
τερον οὕτως· ἐπάνειμι δὴ πάλιν ἐπὶ τὰς ἀποδείξεις, ὡς τὰ
τούτων ἀδικήματα καὶ δωροδοκήματα τῶν νῦν πραγμάτων·
καὶ Πλάτων, ἐν ἀρχῇ, φησί, προοίμια καὶ διηγήσεις, εἶτα πίστεις.
τὸ δὲ δὴ τέλος τῶν λόγων ἔοικε πᾶσιν εἶναι κοινῇ συνδεδογ-
μένον· οὗ τινὲς μὲν ἐπάνοδον ὄνομα τίθενται, τινὲς δὲ ἄλλο
τι, καὶ ἄξιον ζητῆσαι τί ἐστι τὸ ἄλλο τι. συλλογίσασθαι δὴ βούλο-
μαι Δημοσθένους τὰ κατηγορημένα. τὰ ἴσα σχήματα ταυτὰ ὄν-
τα, ποτὲ μέν ἐστιν ἀγωνιστικά, ποτὲ δὲ ἐπιδεικτικά, ποτὲ δὲ σο-
φιστικά· ἀγωνιστικὰ μέν ἐστιν ὅταν τῇ φύσει τῶν πραγμάτων συν-
δράμῃ ἔξωθεν πάρεργον, ὅτε καὶ χωρὶς τῶν ὀνομάτων ἕκαστον
αὐτὸ καθ' ἑαυτὸ πρᾶγμα μηνύει καὶ λεχθὲν λανθάνει· πολλά-
κις δὲ ἀναγινωσκόμενον εὑρίσκεται· οἷον, νῦν δ' ἄγε νῆα μέλαι-
ναν ἐρύσσομεν εἰς ἅλα δῖαν, ἐς δ' ἐρέτας ἐπιτηδὲς ἀγείρομεν,

ἐς δὲ ἑκατόμβην θείομεν· ἐν δ' αὐτὴν χρυσηΐδα καλλιπάρηον βήσομεν· τέσσαρα ἴσα, ἐρύσσομεν, ἀγείρομεν, θείομεν, βήσομεν· καὶ θουκυδίδης, αἴτιον ἦν οὐχ ἡ ὀλιγανδρία ὅσον ἡ ἀχρηματία. τῆς γὰρ τροφῆς ἀπορίᾳ τόν τε στρατὸν ἐλάσσω ἤγαγον· καὶ δημοσθένης, ἂν τοίνυν ἐξελέγξω σαφῶς αἰσχίνην τουτονὶ καὶ μηδὲν ἀληθὲς ἐπηγγελκότα, καὶ κεκωλυκότα ἐμοῦ τὸν δῆμον ἀκοῦσαι τἀληθῆ, καὶ ἀνηλωκότα τοῦ χρόνου, καὶ πάντων τούτων δῶρα καὶ μισθοὺς εἰληφότα. ἐπιδεικτικὰ δέ εἰσιν, ὅταν τὰ ἀγωνιστικὰ πολλὰ γένηται καὶ ἐπιτηδευθῇ εἴδη μόνως εἰς ἡδονὴν ἀκοῆς σώφρονα, ὥσπερ τὰ παρὰ ἰσοκράτει ἴσα, τὰ ἐν ταῖς παραινέσεσι μάλιστα. σοφιστικὰ δέ ἐστιν (ἃ νῦν μὲν ἐπαινεῖται, ὑπὸ δὲ τῶν παλαιῶν κωμῳδεῖται) ὅσα αἰσχρῶς καὶ κενῶς κολακεύει τὴν ἀκοήν, ἃ πλάτων διαβάλλει· ὦ λῶστε πῶλε, ἵνα προσείπω σε κατὰ σέ· καὶ, παυσανίου δὲ παυσαμένου. διδάσκουσι γάρ με ἴσα λέγειν ουτωσὶ οἱ σοφοί· δημοσθένης δὲ καὶ ὅμηρος καὶ τὰ τοιαῦτα ἐποίησαν ἀγωνιστικά, πρόδηλος θεὸς ἡγεμονεύειν· ὄνομα καὶ ἀρετή. καὶ ἔρρωσθαι πολλὰ φράσας τὸν σοφὸν σοφοκλέα. οἱ νῦν οἴονται τὸ ὑπερβατὸν πολλὴν εἶναι ἑρμηνείας καὶ περίοδον κεκαλλωπισμένην· οὐκ ἴσασι δὲ τί ἐστιν ὑπερβατόν. τὸ γὰρ ὑπερβατὸν οὐ μόνον οὐκ ἔστι καλὸν σχῆμα, ἀλλὰ καὶ ἀναγκαῖον. γίνεται δὲ ὅταν τὴν αἰτίαν τοῦ λεγομένου, ἣν μέλλει ποθεῖν ὁ ἀκροατής, μέσην ὁ λέγων τάξῃ· καὶ οὕτως γίνεται σαφηνείας ὄργανον τὸ ὑπερβατόν· οἷον, ὦ φίλοι· οὐ γάρ τ' ἴδμεν ὅπῃ ζόφος, οὐδ' ὅπῃ ἠώς, οὐδ' ὅπῃ ἠέλιος φαεσίμβροτος εἶσ' ὑπὸ γαῖαν οὐδ' ὅπῃ ἀνεῖται· ἀλλὰ φρασώμεθα θᾶσσον· εἰ γὰρ εἰρήκει, ὦ φίλοι φρασώμεθα θᾶσσον, ἐτάραξεν ἂν αὐτούς, καὶ ἐποίησε, τί γέγονεν ἐρωτῆσαι· διὰ τοῦτο, διὰ μέσου τὰς αἰτίας τοῦ φράζεσθαι

Hyperbaton

θᾶσσον

θᾶσσον ἔταξε· καὶ ὁ Θουκυδίδης, οἱ δὲ ἀθηναῖοι ἐφοβήθησαν μὴ πολέμιαι ἦσαν αἱ νῆες. διατί ὁ Θουκυδίδης ἔταξε διὰ μέσου τὴν αἰτίαν τοῦ φόβου; ἦν γὰρ νύξ. διὰ τοῦτο καὶ ὁ τὴν αἰτίαν σημαίνων σύνδεσμος προηγεῖται, ὁ γάρ. μακρὸν δὲ γίνεται ὑπερβατὸν, ὁπόταν ἡ αἰτία ἑτέρας αἰτίας χρείαν ἔχῃ· οἷον, ἐπειδὴ δὲ ὅτι ἀθηναίων τύραννοι, καὶ οἱ ἐκ τῆς ἄλλης ἑλλάδος ἐπὶ πολὺ καὶ πρὶν τυραννευθείσης, οἱ πλεῖστοι καὶ τελευταῖοι πλὴν τῶν ἐν σικελίᾳ, ὑπὸ λακεδαιμονίων κατελύθησαν. πῶς οὖν Θουκυδίδης; ἡ γὰρ λακεδαίμων μετὰ τὴν κτίσιν τῶν νῦν ἐνοικούντων ἐν αὐτῇ δωριέων, ἐπὶ πλεῖστον χρόνον στασιάσασα, ὅμως ἐκ παλαιοτάτου καὶ εὐνομήθη καὶ ἀεὶ ἀτυράννευτος ἦν· αἰτίαν τῆς αἰτίας ἀποδίδωσιν· ἔτη γάρ ἐστι μάλιστα τετρακόσια, ἃ λακεδαιμόνιοι τῇ αὐτῇ πολιτείᾳ χρῶνται· καὶ δι᾽ αὐτὸ δυνάμενοι καὶ τὰ ἐν ταῖς ἄλλαις πόλεσι καθιστᾶν· εἶτα ἐπανέρχεται ἐπὶ τὴν ἀρχὴν· μετὰ δὲ τὴν τῶν τυράννων κατάλυσιν. τὸ δὲ παρ᾽ ὁμήρῳ, αὐτὰρ ἐπεὶ διά τε σκόλοπας καὶ τάφρον ἔβησαν φεύγοντες, οὐκ ἔστιν (ὡς δοκεῖ τισὶν) ὑπερβατόν· οὐδεμία γὰρ αἰτία μέση κεῖται· ἀλλ᾽ ὡς ἐγένετο ἡ δυσκολία τῆς ὁδοῦ διὰ σκολόπων καὶ τάφρου, εἶτα ὁμαλὴ ἔξοδος ἐν τῇ φυγῇ, οὕτω καὶ ἡ ἑρμηνεία ἔχει, τὸ πάθος τῶν φευγόντων τῆς λέξεως μιμουμένης. τὸ ἀντίθετον σχῆμα ἀναντίρρητόν ἐστι· γίνεται γὰρ διὰ τῶν ὁμολογουμένων· ἔστι δὲ διανοήματι διανόημα ἀντικείμενον. ἁπλοῦν ἅτε δὲ ὂν, ἰσχυρόν ἐστιν· οἷον, ἐδίδασκες γράμματα, ἐγὼ δὲ ἐφοίτων· ἐτέλεις, ἐγὼ δὲ ἐτελούμην· ἐτριταγωνίστεις, ἐγὼ δ᾽ ἐθεώρουν· ἐγραμμάτευες, ἐγὼ δὲ ἐκκλησίαζον· ἐξέπιπτες, ἐγὼ δὲ ἐσύριττον. τοῦτο δὲ τὸ ἀντίθετον ὁ δημοσθένης ἐποίησε κακόηθες, τὸ μὲν πρᾶγμα ἀληθὲς λαμβάνων, τὸ δὲ ἀντικείμενον ψευδὲς ὄν· ὡς

Antitheton

ἐν τῷ περὶ τῆς παραπρεσβείας εἰσάγει συμπόσιον Φιλίππου καὶ τῶν ὀλύμπια νενικηκότων, καὶ διάλογον σατύρου, τοῦ κωμικοῦ ὑποκριτοῦ· οὕτω δὲ ψυχαγωγεῖ τοὺς ἀκούοντας, ὥστε οἴεσθαι ἐν συμποσίῳ εἶναι· εἶτα ἀντιτίθησι συμπόσιον ἕτερον ὡς γινόμενον αἰσχίνῃ, ψευδόμενος, μηδέποτε γενόμενον, ἵνα ἐψυχαγωγημένοι διὰ τῶν προτέρων λόγων οἱ δικασταὶ, πιστεύωσι καὶ τοῖς ὑποφορουμένοις ὡς ὁμοίως ἀληθέσι. τοῦτο κακόηθες ἀντίθετον. πάρισον σχῆμα, ἔστι πῇ καὶ λέγεται, ὅταν τὸ αὐτὸ ὄνομα ἄλλοτε καὶ ἄλλοτε προσλαβὸν συλλαβὴν, διαφορὰν διανοίας ἔχῃ· παρὰ τὸν ἰσοκράτην οὕτως· ἐὰν ᾖς φιλομαθὴς, ἔσῃ πολυμαθής. τὸ γὰρ μανθάνειν ἐν ἀμφοτέροις ἐστίν, ἀλλ᾽ ὅπου μὲν τὸ πολὺ πρόσκειται, καὶ σημαίνει τὸν πολλὰ εἰδότα· ὅπου δὲ τὸ φίλον πρόσκειται, καὶ ἔστιν ὁ ἡδέως μανθάνων· καὶ παρὰ τῷ θουκυδίδῃ, καὶ προεπιβουλεύειν αὐτοῖς μᾶλλον ἢ ἀντεπιβουλεύειν. τὸ μὲν ἐπιβουλεύειν ἐν ἀμφοτέροις ἐστίν, ἀλλ᾽ ὅπου μὲν πρόσκειται, τὸ πρὸ, καὶ σημαίνει τὸ φθάνειν ἐπιβουλεύοντα· ὅπου δὲ ἀντὶ πρόθεσις, καὶ δηλοῖ τὸ ἀμύνεσθαι δεύτερον. πότε ῥητῶς προσποιήσεται σχεδιάζειν; τριῶν οὐσῶν ἰδεῶν ῥητορικῆς, ἐν τῇ συμβουλευτικῇ μάλιστα δεῖ καὶ ὁμολογεῖν ὅτι ἐβουλεύσατο. οὐ γὰρ ἀνέχεται ὁ συμβουλευόμενος τὰ ἐπιόντα λέγοντος τοῦ συμβουλεύοντος· τοὐναντίον δὲ, χρὴ ἐσκέφθαι ὁμολογεῖν καὶ πεφροντικέναι· ὡς ὁ δημοσθένης, ἀλλ᾽, ὡς ἔοικεν, ὁ καιρὸς ἐκεῖνος οὐ μόνον εὔνουν ὑμῖν καὶ πλούσιον ἄνδρα ἐκάλει, ἀλλὰ καὶ παρηκολουθηκότα ἐξ ἀρχῆς τοῖς πράγμασι μάλιστα. τοῦτο γὰρ δεῖ προσεῖναι τῷ συμβούλῳ, ἐμπειρίαν πραγμάτων· ἐν δὲ τῇ δικανικῇ κἂν ἐσκεμμένος ἥκῃς, προσποιοῦ αὐτόθεν λέγειν, ὅπερ ποιοῦσι πάντες οἱ παλαιοί· γράψαντες γὰρ, πάντες ὑποκρίνονται σχεδιάζειν

πάρισον

διάξειν. διατί; ὅτι ὁ δικαστὴς ὑποπτεύει τὸν ῥήτορα, καὶ δέδοικε μὴ ἐξαπατηθῇ τῇ δυνάμει τῆς ῥητορικῆς. αὐτὸ τοίνυν τοῦτό ἐστι τεχνίτου ῥήτορος, τὸ δοκεῖν αὐτόθεν λέγειν, ἵνα καὶ οὕτως ὁ δικαστὴς παραχθῇ· καὶ προοίμια ὡς αὐτόθεν εὑρίσκοντες λέγουσι, πάλαι σκεψάμενοι, καὶ κεφάλαια ὡς μεταξὺ ἀναμνησθέντες, καὶ πάσας τὰς δίκας. ἐν δέ γε ἐγκωμιαστικῇ ἰδέᾳ, οὐ κωλύει ἀμφοτέροις χρῆσθαί ποτε, καὶ ὁμολογίᾳ γραφῆς, καὶ προσποιήσει σχεδίου. πότε ῥήτωρ αὐξήσει χρήσεται ἐν δίκαις; εἶτα πότε ταῖς ἀποδείξεσι; δύο δὴ καιροὶ τῆς χρήσεως καὶ μέθοδοι, ὅταν τὸ πρᾶγμα ἀμελῆται, ἢ τὸ πρόσωπον τὸ κρινόμενον ἔνδοξον ᾖ. ταύτῃ τῇ τέχνῃ χρῆται αἰσχίνης ἐν τῷ κατὰ τιμάρχου, καὶ ἐν τῷ κατὰ κτησιφῶντος. ἐν μὲν γὰρ τῷ κατὰ τιμάρχου καὶ τὸ πρᾶγμα ἀμελεῖται. λοιδορία γὰρ δοκεῖ ἡ ἑταίρησις εἶναι, καὶ σκῶμμα ταπεινότερον, καὶ τὸ πρόσωπον τὸ κρινόμενον ἔνδοξόν ἐστιν. ὁ γὰρ τίμαρχος τιμᾶται καὶ λελειτούργηκε, καὶ ἀρχὰς ἦρξε, καὶ ἔστι περὶ μέσην ἡλικίαν· καὶ ἐν τῷ κατὰ κτησιφῶντος ἡ τῶν παρανόμων γραφὴ ἀμελεῖται διὰ τὰς συμφορὰς τῆς πόλεως, τό, τε πρόσωπον τιμᾶται δημοσθένους, καὶ ἀξίωμα ἔχει· διὰ τοῦτο πρότερον αὔξει, εἶτα τότε ἀποδείκνυσιν, ἵνα ἐπιστρέψῃ, καὶ ἀναγκάσῃ προσέχειν τοὺς δικαστάς, καὶ μήτε τιμῇ τοῦ προσώπου, μήτε καταφρονήσει τοῦ πράγματος μὴ θέλωσιν ἀκούειν. αὕτη ἡ αἰτία τοῦ καὶ τῇ τάξει ἐν ἀμφοτέροις τοῖς βιβλίοις τὰ περὶ τῶν πολιτειῶν διεξελθεῖν. πότε ῥήτωρ ψεύσεται, συνειδότων τῶν ἀκροατῶν ὅτι ψεύδεται; ὅταν τὸ ψεῦδος συμφέρῃ τοῖς ἀκούουσι. διὰ γὰρ τὸ οἰκεῖον λυσιτελὲς οὐκ ἐλέγχουσι τὸν ῥήτορα· οὕτω δημοσθένης ἐψεύσατο ἐν τῷ περὶ τοῦ στεφάνου. αἰσχίνου γὰρ λέγοντος, ὅτι οἱ ἀθηναῖοι ὑπὲρ

τὸν

τὸν αὐτὸν καιρὸν πρέσβεις πρὸς Φίλιππον ἔπεμψαν περὶ εἰρήνης, καὶ πρὸς τοὺς συμμάχους περὶ συμμαχίας κατὰ Φιλίππου, καὶ τοῦτο πεποιηκότων ἀθηναίων, φησὶν ὅτι καὶ διαβάλλει τὰ μέγιστα τὴν πόλιν ἐν οἷς ψεύδεται· εἰ γὰρ ὑμεῖς ἅμα τοὺς μὲν ἕλληνας εἰς πόλεμον παρακαλεῖτε, αὐτοὶ δὲ περὶ εἰρήνης πρὸς Φίλιππον πρέσβεις ἐπέμπετε, εὐρυβάτου πρᾶγμα, οὐ πόλεως ἔργον, οὐδὲ χρηστῶν ἀνδρῶν διεπράττεσθε. οὐδέποτε τοῦ πράγματος ὀμεῖται· οἷον, ἐποίησεν οὗτος φόνον, ἢ προδοσίαν, ἢ τόδε τι· ἀλλ' τοῦ ἤθους βεβαιώσει· ὡς ὁ δημοσθένης, ὡς μὲν ἐμοὶ δοκεῖ, δι' ἀμφοτέρων ὦ ἀθηναῖοι νὴ τοὺς θεοὺς· κἀμὲ νομίζοντες δεινὰ πεπονθέναι· καὶ πάλιν, πολλὰς δεήσεις, καὶ νὴ δία ἀπειλὰς ὑπομείνας. ἐκ τούτου δηλοῦται ὅτι ῥήτωρ πραγματικὸν ὅρκον οὐκ ὄμνυσιν, ἀλλ' ἠθικόν· πρῶτος γὰρ ὅρκον ἠθικὸν ὅμηρος ὤμοσεν· εἶτα πλάτων ἐμιμήσατο· εἶτα δημοσθένης ἐκληρονόμησε πάντων. ἠθικὸν δ' ἕκαστος ὀμόσας, καὶ ἰδίᾳ ἕκαστος τοῦ ἤθους ἰδέᾳ ἐχρήσατο. ὅμηρος μὲν τραγικόν· οὐ μὰ ζῆν' ἀγέλαε, ὅς ἄλγεα πατρὸς ἐμεῖο· τὰς συμφορὰς τοῦ πατρὸς, ὅρκον ἐποιήσατο. πλάτων δὲ ἠθικὸν μὲν ὁμοίως, ἠθικὸν δὲ ἐκ τοῦ ἐναντίου ἤθους· οὐ μὰ τὸν ζῆν' ὦ καλλίκλεις. δημοσθένης δὲ ἠθικὸν πολιτικόν· οὐ μὰ τοὺς ἐν σαλαμῖνι παραταξαμένους, καὶ τοὺς ἐν μαραθῶνι προκινδυνεύσαντας. πότε ἐν τοῖς προελλείμμασι ῥήτωρ μέρεσι τισὶ συνηγόρους δώσει, καὶ κατὰ πόσους τρόπους; τέσσαρας· ἢ διὰ φύσιν, εἰ γυνή τίς ἐστιν, συνήγορον δώσομεν· ἢ δι' ἡλικίαν, εἰ παιδίον ἐστὶν, ἢ ὑπέργηρως καὶ ἀσθενής· ἢ διὰ τύχην, εἰ δοῦλός ἐστιν ἢ ἄτιμος, ὥσπερ ἐν τῷ κατὰ μειδίου δημοσθένης στράτωνι συναγορεύει· ἢ εἰ δι' εὐπρέπειαν κατέγνωσαί τις, καὶ τούτῳ δώσομεν συνήγορον. τίς μέθοδος

τοι τὰ ἐναντία λέγοντος οἷς βούλεται γενέσθαι; κατορθοῦν ὃ βούλεται, μὴ δοκοῦντος ἐναντία οἷς ἐθέλει λέγειν. ἡ κακία ἐν λόγοις ἐνταῦθα ἀρετὴ φαίνεται. τίς δέ ἐστι κακία ἐν λόγοις; εὐδιάλυτα λέγειν καὶ ἐναντία καὶ στρεφόμενα. ταῦτα ἐν τούτῳ τῷ σχήματι, τῶν λόγων ἀρετὴ γίνεται. Ὅμηρος αὐτὸ πεποίηκεν, Ἀγαμέμνων ἐστὶν ὁ ἀποπειρώμενος τῶν Ἑλληνικῶν καὶ βουλόμενος αὐτοὺς μένειν, λέγων, δεῖ μὴ μένειν, ἀλλὰ φεύγειν, καὶ δι' ὅλης τῆς δημηγορίας εὐδιάλυτα λέγει καὶ στρεφόμενα, ὁ διὰ τοῦ ἀντιλαβὰς τοῖς ἐναντιουμένοις· ἐπὶ τέλει δὲ καὶ ἐναντιώματα λέγων. τὸ δὲ φάναι, καὶ δὴ δοῦρα σέσηπε νεῶν καὶ σπάρτα λέλυνται, δῆλον ὅτι ἐναντίον ἐστὶ φανερῶς τῷ φεύγωμεν. πῶς γὰρ φευξόμεθα, ναῦς οὐκ ἔχοντες; τοῦτο γὰρ ἂν εἴποι καὶ κωλύων τις αὐτοὺς ἀποπλεῖν, οὐ κελεύων δὲ μένειν τοῖς λόγοις. ἐν δὲ ταῖς σχολικαῖς ὑποθέσεσιν, ἔστι καὶ ἄλλη τις τέχνη μελετωμένη, ἡ βοηθεῖται ταῖς τῶν ἀντιδίκου προτάσεσι, καὶ διὰ μακρῶν προβάλλεται καὶ διὰ μαρτυριῶν ἐσθ' ὅτε. ἀλλὰ ἀντιλέγειν προσποιοῦ. οὕτω δὲ λέγων οὐχ ὑποπτευθήσῃ, καὶ ὃ βούλει, σοὶ ἔσται. ἐν δὲ τῷ τοιούτῳ σχήματι τῶν λόγων τὸ μὲν νικῆσαι λέγοντα, ἡττηθῆναί ἐστι· τὸ δὲ ἡττηθῆναι λέγοντα, νικῆσαί ἐστι. γέγονε γὰρ ὃ βουλόμεθα. ὁ κατηγορῶν, τὰς τῶν μελλόντων ἀποκρίνεσθαι οὐχ ἁπλῶς προτίθησι προτάσεις, ἀλλὰ κατὰ τρόπους τρεῖς, ἐπιστήμην, δόξαν, ἀκοήν. ἐπιστήμην μὲν, οἶδα ὅπερ νὴ Δία ἐρεῖ, καὶ ὅσα τοιαῦτα· δόξαν δὲ, οἷον, τάχα τοίνυν ἴσως ἐρεῖ, ὡς ἀμφιβάλλων περὶ τῆς προτάσεως. ἀκοὴν δὲ, ὡς ἀκούων περὶ τῆς προτάσεως· πυνθάνομαι τοίνυν μέλλειν αὐτὸν λέγειν. τὰ μὲν δὴ σχήματα τῆς προτάσεως τῶν ἀπολογουμένων κεφαλαίων ταῦτα, ὁ δὲ καιρὸς ἑκάστου τίς; δεῖ δὲ εἰδέναι πότε τῇ ἐπιστήμῃ, καὶ τῇ δόξῃ, καὶ τῇ ἀκοῇ χρησόμεθα. ἡ δὲ ἀκαιρία πολλάκις καὶ

ἐναντία περὶ τῶν μελλόντων προτείνεσθαι ὑπὸ τοῦ ἀπολογουμένου· καὶ τὰ μὲν ἐστὶν ἰσχυρότερα, τὰ δὲ ἀσθενῆ, τὰ δὲ μέσα. τὰ μὲν οὖν ἀσθενῆ τοῦ ἀντιδίκου ὡς εἰδὼς, τῇ ἐπισήμῃ προβολῇ, τὰ δὲ μέσα τῇ ἕξει ὡς στοχαζόμενος ὅπερ ἐστὶ, τῇ δόξῃ· τὰ δὲ ἰσχυρὰ ὡς πυνθανόμενος, ἵνα δοκῇς ἀκούειν αὐτὰ, μὴ συνειδέναι δὲ ἰσχυρὰ ὄντα. οὕτω μὲν δὴ δεῖ προτείνεσθαι. δημοσθένης δὲ τὰ ἄμικτα ἔμιξεν ἐν τῷ κατὰ μειδίου, ἐπισήμως ὁμοῦ καὶ ἀκόως, λέγων οὕτως· ἔστι δὲ πρῶτον μὲν ἐκεῖνος οὐκ ἄδηλος ἐρῶν, ἐξ ὧν ἰδίᾳ πρός τινας αὐτὸς διεξιὼν ἐπηγγέλλετό μοι. διὰ μὲν γὰρ τὴν φύσιν τοῦ πράγματος καὶ τὴν ἰσχὺν τοῦ κεφαλαίου, τῇ ἀκοῇ κέχρηται· διὰ δὲ τὴν προσποίησιν τῆς καταφρονήσεως, τῇ ἐπισήμῃ. ἀλλὰ καὶ ἐν τῷ περὶ τῆς ἀτελείας ἰσχυρότατον προτείνων τὸ λεπτίνου κεφάλαιον, τὸ τῆς ἀξίας, τῇ ἐπισήμῃ προέτεινεν οὕτως· ἔστι δὲ οὐκ ἄδηλον ὅτι λεπτίνης, κἂν τις ἄλλος ὑπὲρ τοῦ νόμου λέγῃ, δίκαιον μὲν οὐδὲν ἐρεῖ περὶ αὐτοῦ, φήσει δὲ ἀναξίους τινὰς εὑρημένους ἀτέλειαν, ἐκδεδυκέναι τὰς λειτουργίας. λέγομεν οὖν ὅτι ὁ δημοσθένης χρῆται τοῖς σχήμασι καὶ κατὰ φύσιν καὶ παρὰ φύσιν· καὶ ἐνταῦθα τῷ μὲν λεπτίνῃ ἰσχυρότατόν ἐστι τοῦτο τὸ κεφάλαιον, τῷ δὲ δημοσθένει εὔλυτον. τοῦ τὰ αὐτὰ λέγοντος, ἢ ἑαυτῷ, ἢ ἄλλῳ τινὶ μὴ δοκεῖν τὰ αὐτὰ λέγειν, διπλῆ μέθοδος, τάξεως μεταβολὴ, καὶ μήκη καὶ βραχύτητες. ἡ δὲ αὐτὴ καὶ τοῦ παραφράζειν μέθοδος· ἢ γὰρ τὴν τάξιν μεταβάλλεις ἧπερ ἐκεῖνος ἐχρήσατο, ἢ τὸ μεῖζον, εἴπερ γὰρ διὰ μακρῶν ἐκεῖνος, ταῦτα ἐν βραχέσι συνελὼν λέγεις· ἢ τὸ ἐναντίον. τίς δὲ ἑκατέρου τούτων ὁ καιρός; ἡ μὲν συμβουλευτικὴ, μήκη καὶ βραχύτητας ἐπιδέχεται. τὰς γὰρ τάξεως μεταβολὰς οὐ δύναται ἔχειν, ὅτι ἐν μὲν συμβουλῇ πάντως πρῶτον τὸ κατεπεῖγον εἶναι δεῖ παρὰ παντὶ συμβουλεύοντι, ἐν δὲ τῇ πανηγυρικῇ, νόμος ἐστὶ

τῶν κεφαλαίων ἡ τῆς τάξεως ἀμετάβλητος, ἡ φύσις τῶν πραγμάτων. χρώμεθα οὖν τοῖς μήκεσι καὶ ταῖς βραχύτησιν, ὥσπερ ἐν συμβουλευτικῇ μὲν ἰδέᾳ ἐποίησεν ὁ Δημοσθένης ἔν τε τοῖς Ὀλυνθιακοῖς, καὶ ἐν τοῖς περὶ τῶν ἐν τῇ Χερρονήσῳ στρατιωτῶν. τὰ αὐτὰ γὰρ λέγων, ἑαυτὸν μάλιστα ἔλαθεν· ἐν δὲ πανηγυρικῇ ἰδέᾳ Πλάτων τὰ αὐτὰ λέγων, Θουκυδίδῃ ἐν τῷ ἐπιταφίῳ οὐ μόνον ἔλαθεν, ἀλλὰ καὶ ἄλλα λέγειν ἔδοξε. τὰ γοῦν περὶ τῶν πολεμίων Θουκυδίδης μὲν ὑπομνησθεὶς παρῆκεν, ὁ Πλάτων δὲ ἐπεξειργάσατο· τοὐναντίον δὲ, Πλάτων μὲν παρῆλθε περὶ τῆς πολιτείας, Θουκυδίδης δὲ ἐπεξῆλθεν. ἐν δὲ τῇ δικανικῇ ἰδέᾳ καὶ ἡ τῆς τάξεως μεταβολὴ χώραν ἔχει· ὥσπερ Δημοσθένης ἐποίησεν ἐν τῷ περὶ τῆς ἀτελείας. Φορμίωνος γὰρ προκατηγορήσαντος τοῦ νόμου, καὶ χρησαμένου τοῖς κεφαλαίοις τῆς διαιρέσεως, τῷ δικαίῳ, τῷ συμφέροντι, τῷ καλῷ, τῷ τῆς ἀξίας, ἀνέστρεψε, τὴν τάξιν μεταβαλών. πῶς δὲ τοῦτο ἐποίησεν, ἐν τοῖς περὶ τοῦ λόγου διεξήλθομεν. τοῦ ἑαυτὸν ἐπαινεῖν ἐπαχθοῦς ὄντος καὶ εὐμισήτου, ἀνεπαχθῶς ποιῆσαι, μέθοδοι τρεῖς· κοινότης λόγου, ἀνάγκης προσποίησις, προσώπου ὑπαλλαγή. τούτων παράδειγμα ὁ Ἰσοκράτης ἐν τῷ πρώτῳ λόγῳ τῶν παραινέσεων, τὸ πρῶτον προοίμιον ἑαυτοῦ ἔπαινον παρεσκεύασε. δέον γὰρ εἰπεῖν ὅτι ἐγὼ ἀνήρ εἰμι σπουδαιότατος καὶ μόνος φίλος ἀγαθὸς, ἀποθανόντος τοῦ πατρὸς ὦ Δημόνικε σοὶ εὐνοῶν. πῶς οὖν αὐτὸ ποιεῖ; κοινῷ τῷ λόγῳ χρῆται, περί τε σπουδαίων ἀνδρῶν, καὶ φαύλων λέγων, καὶ διακρίνων ἤθη ἀγαθῶν καὶ πονηρῶν φίλων. οὕτω δὲ φαίνεται αὐτὸς ὢν τῶν ἀγαθῶν ἀνδρῶν. ὁ δὲ Δημοσθένης ἐν τῷ περὶ τοῦ στεφάνου μέλλων ἑαυτὸν ἐπαινεῖν καὶ τὴν ἑαυτοῦ πολιτείαν, πολλάκις χρῆται τῇ ἀνάγκῃ, λέγων· ἐὰν δὲ ἐφ' ἃ καὶ πεποίηκα καὶ πεπολίτευμαι βαδίζω, πολλάκις λέγειν ἀναγκασθήσομαι περὶ

ἐμαυτοῦ· ἐπὶ δὲ τῇ ἀνάγκῃ πολλάκις χρώμενος, ὕποπτός ἐστι, καὶ τῇ τοῦ προσώπου ὑπαλλαγῇ χρῆται. ἔστι δὲ τοῦτο, ὅταν τί μέγιστον λέγῃ, τότε πρὸς τοὺς Ἀθηναίους λέγει· ὅταν δὲ ὑπερήφανον καὶ ἐπαχθὲς, πρὸς Αἰσχίνην· οὐ λίθοις ἐτείχισα τὴν πόλιν, οὐδὲ πλίνθοις ἐγώ· ἀλλὰ τὸν ἐμὸν τειχισμὸν εἰ βούλει σκοπεῖν, εὑρήσεις ὅπλα καὶ πόλεις καὶ συμμάχους· καὶ πάλιν ἀλλαχοῦ· ὧν μέντοι ἐκ τῆς ἰδίας οὐσίας ἐπέδωκα, οὐδὲ μίαν ἡμέραν ὑπεύθυνος εἶναί φημι. ἀκούεις Αἰσχίνη; ἀπέστρεψε τὸν λόγον, ἵνα δοκείη τὸν ἐχθρὸν λυπεῖν καὶ μὴ Ἀθηναίοις ὀνειδίζειν. Δύο παλαίσματα δικαστηρίων Δημοσθένης ἐπετεχνήσατο, τό τε οἰκεῖον ἰσχυρὸν, κἂν μὴ κρινόμενον ᾖ, εἰς κρίσιν ἀγαγεῖν· καὶ τὸ τοῦ ἀντιδίκου ἰσχυρὸν κρινόμενον ἐκβαλεῖν. ταῦτα τοίνυν ἀμφότερα ποιεῖ Δημοσθένης, καὶ λανθάνει πράττων. ὅταν γὰρ τὸ οἰκεῖον εἰσάγῃ χαριζόμενος ἑαυτῷ, ἀνάγκην προσποιεῖται· ὅταν δὲ τὸ τοῦ ἀντιδίκου ἐκβάλλῃ, πανουργῶν, ἁπλότητα ὑποκρίνεται. τοῦτο ἐποίησε καὶ ἐν δυσὶ λόγοις, ἔν τε τῷ περὶ στεφάνου, καὶ ἐν τῷ κατὰ Ἀριστοκράτους. ὅταν γοῦν τὸ τῆς πολιτείας καὶ ἀξίας ἐπάγῃ, ἀνάγκην ὑποκρίνεται· ἐὰν δὲ ἐφ' ἃ καὶ πεποίηκα, καὶ πεπολίτευμαι, βαδίζω, πολλάκις λέγειν ἀναγκασθήσομαι περὶ ἐμαυτοῦ· ὅταν δὲ τοὺς νόμους κλέπτῃ, ἁπλότητα προσποιεῖται, λέγων οὕτως· ἔτι μέντοι καὶ τοὺς νόμους δεικτέον εἶναί μοι δοκεῖ, ὡς παρέργου μνημονεύων τοῦ ἰσχυροῦ τοῦ ἀντιδίκου· καὶ πάλιν ἐν τῷ κατὰ Ἀριστοκράτους, εἰσάγων τὸν περὶ Χερρονήσου λόγον, οὐδὲν προσήκοντα τῷ ἀγῶνι, φησίν· ἀνάγκη δὲ πρῶτον ἁπάντων δεῖξαι, τί ποτέ ἐστι τὸ Χερρόνησον ἀσφαλῶς ἔχειν ἡμᾶς πεποιηκός· εἶτα πανουργῶν καὶ πολίτην ἐργαζόμενος τὸν Χαρίδημον, ἵνα αὐτῷ ἰσχύῃ ὁ περὶ τῶν νόμων λόγος, ἐπιφέρει, θεάσασθε τοίνυν ὡς δικαίως καὶ ἁπλῶς ποιήσομαι τοὺς λόγους, οὓς εἰς μέσον ταυτηνὶ τίθεμαι.

Universitäts- und Landesbibliothek Düsseldorf

τίθεμαι τῇ τάξει αὐτὸν, ἐν ᾗ πλείστης ἂν τυγχάνοι τιμῆς· ἃ δὲ δὴ ἡμῖν τοῖς γένει πολίταις ἐστὶν, οὐδ᾽ ἐκείνῳ δεῖν οἶμαι γενέσθαι παρὰ τοῦ νόμου. Δευτερολογιῶν εἴδη τάδε· ἤτοι γὰρ διὰ μέγεθος τοῦ ἀγῶνος μερίζεται ἡ κατηγορία ἢ ἡ ἀπολογία, ἢ προκατηγορήσαντός τινος καὶ προαγωνισαμένου, ὁ δεύτερος λέγων αὐξήσει χρῆται, ὥσπερ οἱ κατὰ ἀριστογείτονος λόγοι ἔχουσιν· ἢ τὰ αὐτὰ ὁ δεύτερος λέγων οὐκ αὔξει μὲν, προστίθησι δέ τι ἢ ἀφαιρεῖ, ὥσπερ κατορθῶν τὰ εἰρημένα, ὡς ἔχει ὁ τοῦ νέστορος λόγος ἐν τῇ δευτέρᾳ ῥαψῳδίᾳ μετὰ τὴν ὀδυσσέως δημηγορίαν· ἢ προαγωνισαμένου ἑτέρου ὁ δεύτερος λέγων, τὰ μέλλοντα δεύτερα λέγεσθαι ὑπὸ τοῦ ἀντιδίκου προκαταλαμβάνει λέγων, ὥσπερ ὁ κατ᾽ ἀνδροτίωνος ἔχει. προκατηγορήσαντος γὰρ εὐκτήμονος ἃ μέλλει λέγειν ἀνδροτίων, ὁ διόδωρος προκαταλαμβάνει. οὗτοι τέσσαρες τρόποι δευτερολογίας. Οἱ παλαιοὶ διηγούμενοι, διπλῇ τινὶ μεθόδῳ χρῶνται, ἀναφορᾷ διὰ ἀσφάλειαν, καὶ διὰ πίστιν βεβαιώσει· οἷον ἰσοκράτης· ζεὺς γὰρ ἡρακλέα καὶ τάνταλον γεννήσας, ὡς οἱ μῦθοι λέγουσι, καὶ πάντες πιστεύουσι. τὸ μὲν ὡς οἱ μῦθοι λέγουσιν, ἀναφορά, τὸ δὲ, καὶ πάντες πιστεύουσιν, ἡ βεβαίωσις· καὶ εὐριπίδου, ζεὺς ὡς λέλεκται, ἀναφορὰ τῆς ἀληθείας ὕπο, βεβαίωσις· καὶ ἡρόδοτος, οὕτω δὴ λέγουσι κορίνθιοι, ἀναφορά· ὁμολογοῦσι δέ σφι λέσβιοι, βεβαίωσις· καὶ θουκυδίδης, λέγουσι δὲ, ἀναφορά· καὶ οἱ τὰ σαφέστατα πελοποννησίων μνήμῃ παρὰ τῶν προτέρων δεδεγμένοι, βεβαίωσις· καὶ δημοσθένης, ὡς δὲ ἐγὼ τῶν ἐν αὐτῇ τῇ χώρᾳ γεγενημένων τινὸς ἤκουον, ἀνδρὸς οὐδαμῶς οἵου τε ψεύδεσθαι, οὐδένων εἰσὶ βελτίους· καὶ τοῦτο πλάτωνος ἔλαβεν, ὡς ἐγὼ τοῦ παρὰ βασιλέως ἐλθόντος ἤκουσα, ἀνδρὸς ἀξιοπίστου. οἱ παλαιοὶ κοινὰ λέγοντες διανοήματα, ὁμολογίᾳ τῆς κοινότητος ἴδια αὐτῶν ποιοῦσιν· ἰσοκράτης, ἅπαντες μὲν

εἰώθασιν οἱ περιιόντες ἐνθάδε, ταῦτα μέγιστα φάσκειν εἶναι, περὶ ὧν ἂν αὐτοὶ ποιῶνται τοὺς λόγους, οὐ μὴν ἀλλ' εἴ τῳ καὶ ἄλλῳ ταῦτα ἥρμοσε λέγειν, καὶ ἐμοὶ προσήκει· καὶ δημοσθένης ἐν τῷ κατὰ τιμοκράτους, εἰώθασι μὲν οὖν οἱ πολλοί· καὶ αἰσχίνης ἐν τῷ κατὰ τιμάρχου, καί, ὡς ἔοικεν, οἱ εἰωθότες λόγοι λέγεσθαι ἐπὶ τοῖς δημοσίοις ἀγῶσιν οὐκ εἰσὶν ψευδεῖς. αἱ γὰρ ἴδιαι ἔχθραι πολλὰ πάνυ τῶν κοινῶν ἐπανορθοῦσι· καὶ πάλιν αἰσχίνης τῷ αὐτῷ, οὐκ ἀγνοῶ δὲ ὅτι ἃ μέλλω ἐν πρώτοις λέγειν. ἐν δὲ τοῖς ὀλυνθιακοῖς δημοσθένης ἐν τῷ πρώτῳ λόγῳ χρώμενος κοινῷ διανοήματι, τῷ, ἀντὶ πολλῶν χρημάτων αὐτοὺς αἱρήσεσθαι τὸ κοινῇ συμφέρον, οὐ χρῆται τῇ ὁμολογίᾳ τῆς κοινότητος, διότι πανούργως χρῆται, καὶ παραλείπει τὴν ὁμολογίαν· προκατασκευάζει δὲ διὰ τοῦ προοιμίου, τὰ θεωρικὰ χρήματα δεῖν ἀποδοῦναι τοῖς στρατιώταις. εἰ μὲν οὖν ὡμολόγει τὴν κοινότητα, ἔφασκε δὲ λυσιτελεῖν καὶ αὐτῷ εἰπεῖν, ὑπωπτεύετο· νῦν δὲ κοινῷ χρησάμενος διανοήματι, καὶ λαθὼν αὐτοὺς ὁμολογοῦντας, ὕστερον αὐτοὺς ἀναμιμνήσκει ἀρνεῖσθαι, αἰσχυνομένους περὶ τῶν θεωρικῶν χρημάτων· διὰ τοῦτο καὶ ἐπεσφραγίσατο ἐν ἀρχῇ τὴν διάνοιαν οὕτως· ὅτε τοίνυν τοῦθ' οὕτως ἔχει. ἔθος δὲ δημοσθένους ἐστίν, ὅταν τι διοικήσηται, ἑαυτῷ χρήσιμον, μὴ πρότερον ἀφίστασθαι πρὶν ἢ ἐπισφραγίσηται. τετήρηκε τοῦτο ἐν τοῖς τέτρασι λόγοις· ἐν τῷ περὶ τοῦ στεφάνου, ἐν τῷ κατὰ μειδίου, ἐν τῷ κατὰ ἀριστοκράτους, ἐν τῷ πρώτῳ τῶν ὀλυνθιακῶν. κατὰ πόσους τρόπους ἐν πεζῷ λόγῳ χρῆσις ἐπῶν γίνεται; κατὰ δύο· κόλλησιν καὶ παρῳδίαν. καὶ κόλλησις μέν ἐστιν, ὅταν ὁλόκληρον τὸ ἔπος εὐφυῶς κολλήσῃ τῷ λόγῳ, ὥστε συμφωνεῖν δοκεῖν· οἷον παρὰ τῷ αἰσχίνῃ ἐν τῷ κατὰ τιμάρχου, ἐπιστᾶσά πού ἡ τοῦ πατρόκλου ψυχὴ καθεύδοντι τῷ ἀχιλλεῖ, ἐπισκήπτει περὶ τοῦ ὁμόταφος αὐτῷ γενέσθαι

γενέσθαι· οὐ γὰρ ἔτι ζωοί γε φίλων ἀπάνευθεν ἑταίρων, βουλὰς ἑζόμενοι βουλεύσομεν, καὶ τὰ ἑξῆς. καὶ πάλιν φησὶν εὐριπίδης· ὁ δ' εἰς τὸ σῶφρον ἐπ' ἀρετήν τ' ἄγων ἔρως, ζηλωτὸς ἀνθρώποισιν, ὧν εἴην ἐγώ. κατὰ παρῳδίαν δέ, ὅταν μέρος εἰπὼν τοῦ ἔπους, παρ' αὐτοῦ τὸ λοιπὸν πεζῶς ἑρμηνεύσῃ, καὶ πάλιν μέρος τοῦ ἔπους εἰπών, ἕτερον ἐκ τοῦ ἰδίου προσθῇ, ὡς μίαν γενέσθαι τὴν ἰδέαν· οἷον δημοσθένης ἐν τῷ περὶ παραπρεσβείας, ὅστις δ' ὁμιλῶν ἥδεται ταυτὰ πρεσβεύων φιλοκράτει, οὐ πώποτ' ἠρώτησα, γινώσκων ὅτι ἀργύριον εἴληφεν οὗτος, ὥσπερ φιλοκράτης ὁμολογῶν. πρὸς τὰ κεκρατηκότα πάθη οὐ δεῖ ἀντιτείνειν, ἀλλ' εἴκοντα παραμυθεῖσθαι. ὅμηρος ἐποίησε· θουκυδίδης ἐμιμήσατο· δημοσθένης διεδέξατο· ἰσοκράτης παρέδωκεν. ὅμηρος, ἢ μὴν καὶ πόνος ἐστὶν ἀνιηθέντα νέεσθαι. καὶ γάρ τίς θ' ἕνα μῆνα μένων ἀπὸ ἧς ἀλόχοιο ἀσχαλάᾳ σὺν νηὶ πολυζύγῳ. θουκυδίδης ἐν τῷ περικλέους λόγῳ, δουλοῖ γὰρ φρόνημα τὸ αἰφνίδιον καὶ ἀπροσδόκητον, καὶ πλείστῳ παραλόγῳ ξυμβαῖνον. δημοσθένης, εἰ δέ τις ὑμῶν τὸν φίλιππον εὐτυχοῦντα ὁρῶν, ταύτῃ φοβερὸν προσπολεμῆσαι νομίζει, σώφρονος μὲν ἀνδρὸς λογισμῷ χρῆται· μεγάλη γὰρ ῥοπή. ἰσοκράτης δὲ σαφῶς οὕτως αὐτὸ παραδίδωσι· μηδὲ πρὸς τὰς τῶν παραπλησιαζόντων ὀργὰς τραχέως ἀπαντᾶν, ἀλλὰ θυμουμένοις μὲν αὐτοῖς εἴκων, πεπαυμένοις δὲ τῆς ὀργῆς ἐπιπλήττων. τῶν δὲ ὁμολογουμένων ἀδικημάτων μία παραμυθία, ἡ ὁμολογία καὶ ἀπολογία. ὅμηρος τοῦτο ἐδίδαξεν· ἡρόδοτος ἐμιμήσατο· οἷον, ἑλένη τῆς κακίας αἰτία πᾶσι καὶ ἕλλησι καὶ βαρβάροις, καὶ μάλιστα τοῖς τρωσὶν ὁμολογουμένως κακῶς ἐλήλυθε. τί οὖν ποιεῖ; ὅταν διαλέγηται τῶν τρώων τινί, ἑαυτῆς κατηγορεῖ καὶ ὁμολογεῖ τὴν ἀδικίαν· καὶ τοῦτο οὐ μόνον αὐτῇ ἀπολογίας, ἀλλὰ καὶ ἐλέου παραμυ-

θίας αἴτιον γίνεται. αὐτῷ γοῦν τῷ Πριάμῳ διαλεγομένη, ἑαυτῆς κατηγορεῖ, ὥστε τὸν γέροντα εἰς τὸ ἐμίσει αὐτὴν, μεταβάλλεσθαι εἰς τὸ ἐλεεῖν. ἀποκρίνεται οὖν· οὔτι μοι αἰτίη ἐσσί, θεοί νύ μοι αἴτιοί εἰσι· καὶ παρ' Ἡροδότῳ, ὁ Ἄδραστος ὅτε ὑπὸ Κροίσου εὐεργετηθεὶς καὶ καθαρθεὶς, καὶ φύλαξ τοῦ παιδὸς αὐτοῦ ἐκπεμφθεὶς, εἶτα ἀποκτείνας τὸν Ἄτυν ἐν τῇ θήρᾳ, καὶ τοῦ Κροίσου βοῶντος καὶ ἀγανακτοῦντος, ἑαυτὸν προτείνας, κατηγορεῖ ἑαυτοῦ, καὶ ἀποκτεῖναι κελεύει, ὥστε τὸν Κροῖσον παρ' Ἡροδότῳ τὴν τοῦ Πριάμου φωνὴν ἀφιέναι πρὸς τὸν νεανίσκον, εἷς δέ μοι οὐ σὺ τούτων αἴτιος, ἀλλὰ θεῶν τις, ὅς μοι προεσήμαινεν ἐν τῷ ὀνείρῳ. τὸ τραγικῶς λέγειν

*Homerus pr tragœdiar*

Ὅμηρος μὲν ἐδίδαξε, Δημοσθένης δὲ ἐμιμήσατο. ὅτι μὲν γὰρ τραγῳδὸς καὶ πατὴρ τραγῳδίας Ὅμηρος, Πλάτων μαρτυρεῖ· ὅπως δὲ ἐτραγῴδησεν ἐν τῇ ἑαυτοῦ ποιήσει, θεωρητέον· Ἰλίου ἅλωσιν οὐκ εἶπε, τέχνῃ παραλιπών. οὐ γὰρ ἥρμοζεν αὐτοῦ τῇ τῆς ποιήσεως τραγῳδίᾳ, ἑνὸς πολιχνίου πόρθησις. τί οὖν ποιεῖ; πάσης πόλεως εἶπε πόρθησιν ἐν δυσὶν ἔπεσιν· ἄνδρας μὲν κτείνουσι, πόλιν δέ τε πῦρ ἀμαθύνει· τέκνα δέ τ' ἄλλοι ἄγουσι βαθυζώνους τε γυναῖκας. ἂν δ' Ἕκτωρ ἀποθάνῃ, Ἀνδρομάχη λέγει τι καὶ Ἑκάβη, ἀλλὰ καὶ Ἑλένη, καὶ χορὸς τῶν Τρωάδων, καὶ πολλὰ δράματα, ὡς εἰπεῖν, ἀποπληροῦντα τὴν τραγῳδίαν. τί οὖν ἐκ τούτων τὸν χρηστὸν νομίσομεν Ὅμηρον λέγειν ἡμῖν; τὰ μεγάλα τῇ βραχύτητι τῆς ἑρμηνείας φυλάττει μεγάλα, τῆς συντομίας τὸ μέγεθος αὐτοῖς διασωζούσης· τὰ δὲ σμικρὰ καὶ φαῦλα τῇ περιβολῇ τῶν λόγων μέγεθος προσλαμβάνει. ταῦτα ποιεῖ Δημοσθένης, καὶ οὕτω

*Demosthenes Phocensium captiuitatem*

τραγῳδεῖ Φωκέων ἅλωσιν, ἔθνους ὅλου ἐν ὀλίγοις ῥήμασι, λέγων· ἦν ἰδεῖν οἰκίας κατεσκαμμένας· τείχη περιῃρημένα· χώραν ἔρημον τῶν ἐν ἡλικίᾳ· γύναια δὲ καὶ παιδάρια καὶ πρεσβύτας ἀνθρώπους οἰκτρούς.

οἰκέτους· μονονουχὶ παρέφρασε τὸ ὁμηρικόν. ἐν δὲ τῷ κατὰ κόνωνος αἰκίας, τὰς ὕβρεις περιήγησιν ἐποίησεν, ἀκριβῶς ἕκαστα διηγούμενος· δηλονότι τὴν φαυλότητα τοῦ πράγματος αἴρων εἰς μέγεθος τῇ περιττοτέρᾳ ἑρμηνείᾳ καὶ τὴν ὕβριν τραγῳδῶν. τοῦ κωμικῶς λέγειν ἅμα καὶ σκώπτειν ἀρχαίως, τρεῖς μέθοδοι, τὸ κατὰ παρῳδίαν σχῆμα, τὸ παρὰ προσδοκίαν, τὸ ἐναντίως ποιεῖσθαι τὰς εἰκόνας τῇ φύσει τῶν πραγμάτων. τούτων παραδείγματα λάβωμεν, τὰ μὲν ἐκ τοῦ κωμικοῦ, τὰ δὲ ἐκ τοῦ βίου, τὰ δὲ ἐκ τοῦ ῥήτορος. τὰ μὲν κατὰ παρῳδίαν οὕτως ἔχει. ὁλᾶς; θέωλος τὴν κεφαλὴν κόλακος ἔχει. θέλων γὰρ εἰπεῖν τὴν κεφαλὴν κόρακος ἔχει, διὰ τὸ τραυλὸν εἶναι δῆθεν, ἁμαρτὼν τῇ φωνῇ, διεκωμῴδησε τὸν τρόπον. τὸ δὲ παρὰ προσδοκίαν, οὕτω· βδελυρὸν μὲν οὖν τὸ πρᾶγμα, καὶ οὐκ ἂν ἐβουλόμην λαχεῖν· ἐπειδὴ δὲ ἔλαχον, προσδοκᾷ μὲν ὁ ἀκροατὴς ἀκοῦσαι, ὑπομενῶ· φησὶ δὲ, οὐκ ἂν ἐβουλόμην. τὸ δὲ ἐναντίως χρῆσθαι ταῖς εἰκόσι πρὸς τὰ μεγέθη τῶν πραγμάτων, οὕτω γίνεται, ἐὰν μεγάλῳ μικρὸν ἀντιθῶμεν, ἢ μικρῷ μέγα· οἷον, ἐμαχέσαντο οἱ ὄρτυγες, ὡς αἴας καὶ ἕκτωρ· καὶ ἕκτωρ καὶ ἀχιλλεὺς ἐμαχέσαντο, ὡς ἀλεκτρυόνες. τούτοις δὲ πᾶσι χρῆται δημοσθένης ἐν τῷ περὶ τοῦ στεφάνου· ἔνθεν δηλοῦται ὅτι κωμῳδεῖν ἐπίσταται. τῇ μὲν παρῳδίᾳ οὕτως· τὸν μὲν πατέρα ἀντὶ τρόμητος ἐποίησεν ἀτρόμητον· τῷ δὲ παρὰ προσδοκίαν οὕτω περὶ αἰσχίνου λέγων, οὐδὲ γὰρ ὧν ἔτυχεν ἦν, ἀλλ' οἷς ἡ πόλις καταρᾶται. τῇ δὲ ἐναντιώσει τῶν εἰκόνων οὕτως, αὐτοτραγικὸς πίθηκος, ἀρουραῖος, οἰνόμαος. τοῖς μὲν πολλοῖς δοκεῖ πολλὰς ἐν τοῖς βιβλίοις ἀμφιβολίας γίνεσθαι ὑπὸ τῶν παλαιῶν, ἡμεῖς δὲ φαμὲν, ὅτι οὐ δύναται ἐν τῷ παλαιῷ βιβλίῳ ἀμφιβολία εἶναι. ἀνάγκη γὰρ τὴν διάνοιαν ἄτοπον εἶναι τὴν ἑτέραν, ἢ

τὴν

τῆς συντάξεως τῆς λέξεως. τὸ γοῦν παρ' Ὁμήρῳ, θεοῖσι δὲ θῦσαι ἀνώγει Πάτροκλον, ὃν ἑταῖρον, τοῦτο λέγουσιν εἶναι ἀμφιβολίαν, πότερον Πάτροκλον κελεύει σφαγιασθῆναι, ἢ τῷ Πατρόκλῳ προσέταξε τοῖς θεοῖς θῦσαι· καὶ τὸ, ὦ Ζεῦ γένοιτο καταβαλεῖν τὸν σῦν ἐμὲ, ἀμφίβολόν φασιν εἶναι, λέγοντες καὶ τοῦτον εἶναι δυνατὸν τὸν νοῦν, εὐχομένου τοῦ δεῖν ὑπὸ τοῦ συὸς καταβληθῆναι. οὕτω μὲν δὴ ὁ νοῦς ἄτοπός ἐστιν, ἡ δὲ ἑρμηνεία ἄλογος· τὸν αὐτὸν δὲ τρόπον, στασιάσαντες δὲ ἔτη πολλὰ, ὡς λέγεται, ἀπὸ πολέμου τινὸς τῶν προσοίκων βαρβάρων ἐφθάρησαν· ζητοῦσιν ὑπό τινος ἐφθάρησαν, ὑπὸ τοῦ πολέμου ἢ ὑπὸ τῆς στάσεως. ἀδύνατον ὑπὸ τοῦ πολέμου εἶναι τὴν φθοράν. ὃ δὲ λέγει, τοιοῦτόν ἐστι· στασιάσαντες ἀπὸ πολέμου ἐφθάρησαν· ἵνα ἡ μὲν στάσις ᾖ γεγονυῖα ἐκ τοῦ πολέμου, ἡ δὲ φθορὰ ἐκ τῆς στάσεως. οὐδεὶς γὰρ λέγει ἀπὸ πολέμου ἐφθάρησαν. τοσαῦτα περὶ ἀμφιβολίας. Δημηγορία, διάλογος, κωμῳδία, τραγῳδία, συμπόσια σωκρατικὰ διά τινος διπλῆς μεθόδου πάντα πλέκεται. ἡ μὲν δημηγορία ἐπιτίμησιν ἔχει, καὶ παραμυθίαν· τῆς μὲν ἐπιτιμήσεως κολαζούσης καὶ παιδευούσης τὰς γνώμας τῶν ἀκουόντων· τῆς δὲ παραμυθίας τὸ λυπηρὸν ἐκβαλούσης ἐκ τῆς ἐπιτιμήσεως. παραδείγματα ταύτης τῆς πλοκῆς πάντες οἱ φιλιππικοὶ, ἀναμὶξ συγκείμενοι· κωμῳδίας δὲ πλοκὴ, πικρὰ καὶ γελοῖα, τῶν μὲν πικρῶν σωφρονιζόντων, τῶν δὲ γελοίων παραμυθουμένων, ὅπερ καὶ ἐξ αὐτῶν τῶν ποιημάτων ἔστι καταμαθεῖν· οὐχ ἥκιστα δὲ ἐν τοῖς Ἀχαρνεῦσιν ὁ Ἀριστοφάνης δηλοῖ, λέγων οὕτως· ὅσα δὴ δέδηγμαι τὴν ἐμαυτοῦ καρδίαν, τὸ πικρὸν· ἥσθην δὲ βαιὰ λέγων, γελοῖον πάθος. τραγῳδίας πλοκὴ, οἶκτος καὶ θαῦμα· ὅπερ ἔστι καταμαθεῖν καὶ ἐκ τῶν τραγῳδιῶν· οὐχ ἥκιστα δὲ καὶ ἀπὸ τοῦ Ὁμήρου. τοῦτον δ' ἔφη ὁ Πλάτων πατέρα τραγῳδίας εἶναι καὶ χορηγόν. εὑρήσομεν οὖν

ἐν

ἐν τοῖς προοιμίοις αὐτῶν ἀνάμιξ οἶκτον καὶ θαῦμα. συμποσίου σωκρατικοῦ πλοκή, σπουδαῖα καὶ γελοῖα καὶ πρόσωπα καὶ πράγματα, ὥσπερ καὶ ἐν τῷ ξενοφῶντος, καὶ ἐν τῷ πλάτωνος συμποσίῳ. ἀλλὰ καὶ ἐν τῇ κύρου παιδείᾳ φησὶ ξενοφῶν· ἀεὶ μὲν οὖν ἐπεμελεῖτο ὁ κῦρος ὁπότε συσκηνοῖεν, ὅπως εὐχάριτές τε λόγοι ἐμβληθήσονται καὶ παρορμῶντες εἰς ἀρετήν. διαλόγου πλοκή, ἠθικοὶ λόγοι καὶ ζητητικοί· ὅταν ἀναμίξῃς προσδιαλεγόμενος καὶ ζητῶν. οἱ ἠθικοὶ παρεμβληθέντες λόγοι ἀναπαύουσι τὴν ψυχήν. ὅταν δὲ ἀναπαύσηται, ἐπάγεται ἡ ζήτησις, ὥσπερ ἐν ὀργάνῳ ἡ τάσις καὶ ἄνεσις γίνεται. Η ἀπόφασις τῇ καταφάσει ποτὲ μὲν τὸ ἴσον δύναται, ποτὲ δὲ τὸ ἔλαττον, ποτὲ δὲ τὸ πλέον. ἴσον μέν, ὅταν δι' ἐγγύτητα τῆς λέξεως φεύγων ὡς τὴν ταυτότητα, μεταβάλλῃ τὴν λέξιν· οἷον, θύων τε γὰρ φανερὸς ἦν, καὶ μαντικῇ χρώμενος οὐκ ἀφανὴς ἦν, ταυτὸ ἐδήλωσεν. ἔλαττον δὲ καὶ πλέον, εἴτε ὑποστελλομένων ἡμῶν δι' ἀσφάλειαν, ἢ ἐπιτεινόντων διὰ αὔξησιν κατὰ ἤθους προσθήκην· οἷον, ὦ ξεῖν', ἐπεὶ οὔτε κακῷ, οὔτ' ἄφρονι φωτὶ ἔοικας. ἐνταῦθα τὸ κακῷ καὶ ἄφρονι, ἔλαττόν ἐστι τοῦ ἀγαθοῦ καὶ φρονίμου. οὐ γὰρ δὴ οἶδεν αὐτόν, ἵνα αὐτῷ ταῦτα μαρτυρῇ, ἀλλ' ἱκανὴν φιλοφροσύνην εἶναι νομίζει, κακίαν ἀφελεῖν, οὐχὶ ἀρετὴν προσθεῖναι. ὅταν δὲ λέγῃ, ἐπεὶ οὔ μιν ἀφαυρότατος βάλ' ἀχαιῶν, μεῖζον ἡ ἀπόφασις δηλοῖ τῆς καταφάσεως. τὸν γὰρ πάνυ ἰσχυρὸν δεῖξαι θέλει. ὁμοίως δὲ ἔχει καὶ τό, οὐδ' ἄρα τώ γε ἰδών, γήθησεν ἀχιλλεύς. τὸ γὰρ λίαν λυπεῖσθαι τῇ ἀποφάσει δεδήλωκεν.

ΤΕΛΟΣ.

Anno M. D. XXXI. *tertio Calendas Apriles.*

Universitäts- und Landesbibliothek Düsseldorf


ALIT DVOS ERYTHIS
TVM NON

# ΕΡΜΟΓΕΝΟΥΣ

ΠΕΡΙ ἸΔΕΩ͂Ν ΤΟΜΟΙ ΔΥΟ.

# HERMOGENIS

DE FORMIS ORATIONVM
TOMI DVO.



PARISIIS
Excudebat Christianus Wechelus sub scuto Basiliensi in uia Iacobæa, anno
1531

Universitäts- und
Landesbibliothek Düsseldorf

v316

Universitäts- und
Landesbibliothek Düsseldorf

ταῦθα φαίη μεμῖχθαι τὴν λαμπρότητα καὶ τὴν ἀκμήν, τὰ δ' ἑξῆς δῆλα μὲν ὡς πάντως ἐστὶν ἴδια λαμπρότητος· καὶ ὡς, εἴπερ λαμπρὰ ἡ ἔννοια (ὥσπερ καὶ ἐστὶ λαμπρά, καθάπερ καὶ ἐδεί-κνυμεν) ἐκείνης ἂν εἴη καὶ ταῦτα, μέθοδος λέγω καὶ σχῆμα καὶ τἄλλα πάντα· διὰ δὲ καὶ τὸ τὴν ἀκμὴν ἀπὸ τούτων συνίστασθαι, ἀνάγκη φάσκειν ἐνταῦθα κοινὰ αὐτῶν γεγενῆσθαι καὶ τὰ τοιαῦτα. τοιοῦτον δὲ καὶ τό, ἀλλ' ὁ τὴν Εὔβοιαν ἐκεῖνος. τοῦ γάρ, ὅτι τὴν εἰρήνην λέλυκε Φίλιππος, τὰ λεγόμενα πάντα συστάσεις εἰσὶ καὶ πίστεις, ἃς πεποιθὼς ὡς γνωρίμοις καὶ φανεραῖς ἐλλαμπρύνεται· ἀλλ' ὅμως ἐνταῦθα πλέον τὸ ἀκμαῖόν ἐστιν, ὥσπερ ἐκεῖ πλέον ἦν τὸ λαμπρόν. φανερῶς γὰρ ἐνταῦθα λέγει κατὰ προσώπου, καὶ οὐχ, ὡς ἐκεῖ, ἀφηγεῖται καὶ οὐ κατηγορεῖ. ἔτι μέντοι καὶ διὰ τοῦτο πλεονάζειν τῇ ἀκμῇ δοκεῖ, ὅτι σχήματι κέχρηται ἐλεγκτικῷ, πρὸς τὸν Αἰσχίνην λέγω τῇ ἐρωτήσει, ὅπερ ὂν σφοδρότητος ἡ μὲν ἀκμὴ δέχεται, ἡ λαμπρότης δὲ οὔ. καὶ μὴν καὶ τὸ μὴ ἁπλῶς εἰς μῆκος ἀπολελύσθαι τὰ κῶλα, ἀλλ' εἶναι μὲν τὸ ὅλον ἕν, δοκεῖν δὲ κεκόφθαι ταῖς συμπλοκαῖς, καὶ γεγενῆσθαι κομματικόν, ὅ οὔτε λαμπρότητος ὄν, οὔτε ἀκμῆς, σφοδρότητος δὲ μᾶλλον, διὰ τὴν σφοδρότητα τῆς μὲν λαμπρότητος ἀπηλλάχθαι, πάντῃ τῇ ἀκμῇ κατά τι κοινωνεῖν, ἀκμαιότερον μᾶλλον ἢ λαμπρὸν πεποίηκε φαίνεσθαι τὸν λόγον· εἰ δὲ καὶ περιβεβλημένως, μᾶλλον δὲ μέσως προήχθη, τοῦτο πάλιν ἑτέρου λόγου. ταῦτα περὶ ἀκμῆς, ἕποιτο δ' ἂν εἰπεῖν ἤδη καὶ περὶ τῆς περιβολῆς. αὕτη γὰρ λοιπὴ τῶν ποιουσῶν τὸ μέγεθος ἰδέα καταλέλειπται, ἧσπερ ὅτι ἐναντία ἦν ἡ καθαρότης ἐν τῷ περὶ σαφηνείας εἰρήκαμεν.

# ΕΡΜΟΓΕΝΟΥΣ ΠΕΡΙ ΙΔΕΩΝ

## ΤΟΜΟΣ ΠΡΩΤΟΣ.

Εἴπερ ἄλλο τι τῷ ῥήτορι, καὶ τὰς ἰδέας οἶμαι τοῦ λόγου τῶν ἀναγκαιοτάτων εἶναι γινώσκειν, ὅπῃ ποτὲ ἔχουσι καὶ ὅπως γίνονται. καὶ γὰρ τὸ τὰ τῶν ἄλλων εἰδέναι κρίνειν καθ' ὅ,τι καλῶς ἂν ἔχῃ καὶ ἀκριβῶς, καὶ καθ' ὅ,τι μή, εἴτ' οὖν τῶν ἀρχαίων εἴη τινὸς, εἴτε καὶ τῶν νεωτέρων, οὐκ ἄνευ τῆς περὶ ταῦτα ἐπιστήμης γένοιτ' ἄν. εἴτε δὲ αὐτός τις γενέσθαι βούλοιτο λόγων ἐργάτης καλῶν τε καὶ γενναίων καὶ παραπλησίων τοῖς τῶν ἀρχαίων, τό γε δὴ ἐπιστήμης ταύτης ἀναγκαιότατον, εἰ μὴ μέλλοι σφόδρα τἀκριβοῦς τις πόρρω ἀπενεχθήσεσθαι. ἡ γάρ τοι μίμησις καὶ ὁ ζῆλος ὁ πρὸς ἐκείνους, μετὰ μὲν ἐμπειρίας ψιλῆς καί τινος ἀλόγου τριβῆς γινόμενος, οὐκ ἂν οἶμαι δύναιτο τυγχάνειν τοῦ ὀρθοῦ, κἂν πάνυ τις ἔχῃ φύσεως εὖ. τοὐναντίον γὰρ ἴσως ἂν αὐτὸν καὶ σφάλλοι μᾶλλον τὰ τῆς φύσεως πλεονεκτήματα χωρὶς τέχνης τινὸς, ἀλόγως ᾄττοντα πρὸς ὅ,τι καὶ τύχοι. μετὰ μέντοι δὴ περὶ ταῦτα ἐπιστήμης καὶ γνώσεως, ὅτε τις τοὺς ἀρχαίους ἐθέλῃ ζηλοῦν, κἂν μετρίως ἔχοι φύσεως, οὐκ ἂν ἁμαρτάνοι τοῦ σκοποῦ. κράτιστον μὲν γὰρ εἰ καὶ τὰ δὴ φύσεως συλλαμβάνοιτο. πλέον γὰρ ἂν οὕτως ἀγαθόν τις ἐργάσαιτο. εἰ δὲ μὴ, ἀλλ' ὅ γε μαθητόν ἐστι καὶ διδακτὸν, οὐκ ἐν ἄλλοις, ἐφ' ἡμῖν δὲ ὂν πειρατέον κτᾶσθαι. τάχα γὰρ ἂν οὕτω καὶ τοὺς εὖ πεφυκότας οἱ μὴ τοιοῦτοι, μελέ-

τῇ καὶ τῇ κατ' ὀρθὸν ἀσκήσει περιέλθοιεν. οὕτω δὲ ὄντος μεγάλου τε καὶ ἀναγκαίου τοῦ περὶ τῶν ἰδεῶν λόγου καὶ τοῖς ἐργάζεσθαι ταῦτα καὶ τοῖς εἰδέναι κρίνειν βουλομένοις, τοῖς δ' ἄμφω καὶ πολὺ μᾶλλον, οὐ χρὴ θαυμάζειν, εἰ μὴ ῥᾴδιον αὐτὸν μηδὲ οἷον ἁπλῆς τινος δεῖσθαι πραγματείας ὄντα εὑρίσκοιμεν. ἐπεὶ μὴ δὲ ἄλλο τι τῶν χρηστῶν ἐκ τοῦ ῥᾴστου περιγίνεσθαι πέφυκε, λόγων δὲ καλῶν τε καὶ γενναίων καὶ πάσης ἁπλῶς ἰδέας αὐτῶν, εἰ μέλλοι τι χρηστότερον ἀνθρώποις οὖσι καὶ ζώοις λογικοῖς γενήσεσθαι, θαυμάζοιμ' ἄν. μέλλων δὲ ἐπ' αὐτὸ χωρεῖν ἤδη τὸ διδάσκειν περὶ ἑκάστου τούτων, τοσοῦτον προσδιορισάμενος, αὐτὸ τηρήσω, ὅτι νῦν ἐστὶν ἡμῖν οὐ περὶ τῆς Πλάτωνος ἢ Δημοσθένους ἢ τοῦ δεῖνος ἰδέας ὁ λόγος, λελέξεται μὲν γὰρ ἐν ὑστέρῳ καὶ περὶ τούτων, τὸ δὲ νῦν, οὐ περὶ τούτων, ἀλλ' αὐτὸ ἕκαστον καθ' αὑτὸ πρόκειται, ὁποῖόν τί ἐστι σεμνότης, δεῖξαι, καὶ ὅπως γίνεται, ὁποῖόν τί ἐστι τραχύτης ἢ ἀφέλεια, καὶ τὰ λοιπὰ τῶν λόγων εἴδη. ἐπειδὴ δὲ ἐκείνων διαπονοῦμεν ἕνεκα (λέγω τῶν κατ' ἄνδρα εὐδοκιμούντων) καὶ ταύτης δεόμεθα τῆς πραγματείας, ἀνάγκη προχειρισαμένους ὑμᾶς τὸν μάλιστα τῶν ἄλλων ποικίλως χρησάμενον τῷ λόγῳ, καὶ σχεδὸν ἐξ ἁπάσης ἰδέας συμμιγῆ, διὰ τούτου περὶ ἁπασῶν εἰπεῖν τῶν ἰδεῶν. ἀνάγκη γὰρ τά τε μέρη καθ' ἕκαστον καὶ τὸ ὅλον εἰδέας τοῦ τοιούτου δεικνῦντας, ὅθεν τε καὶ ἐξ ὧν συνέστηκεν, ὁποῖόν τέ ἐστι, καὶ διὸ τὸ τοιοῦτον, περὶ πάσης τε ἰδέας λόγων ἀκριβῶς εἰπεῖν, καὶ τίς ἡ μίξις αὐτῶν, καὶ πῶς μιγνυμένων αὐτῶν, τοτὲ μὲν ποιητικός, τοτὲ δὲ οὐ ποιητικός, καὶ τοτὲ μὲν συμβουλευτικός, τοτὲ δὲ πανηγυρικός, ἢ δικανικός, ἢ ὅλως τοιόσδε ἢ τοιόσδε ὁ λόγος γίνεται. ἔστιν οὖν ὁ μάλιστα παρὰ τοὺς ἄλλους τοῦτον μεταχει-

ρισά

ρισάμενος τὸν τρόπον τὰ περὶ τοὺς λόγους καὶ καταποικίλας τὸν αὐτοῦ διηνεκῶς, οὐκ ἄλλος τὶς κατ' ἐμὴν δόξαν, ἢ Δημοσθένης. διὰ τοίνυν τοῦτο καὶ τῶν παρὰ τούτῳ, λεκτέον ἂν εἴη διαπορουμένῳ καὶ περὶ τῶν ἄλλων ἁπασῶν ἰδεῶν τοῦ λόγου, ἐπιτιμήσει δὲ μηδεὶς μήτε τῇ μεθόδῳ ταύτῃ, μήτε τῇ κρίσει πρὸς ἅπασιν ὁμιλῆσαι τοῖς ῥηθησομένοις. οἶμαι γὰρ θαυμάσειαν ἂν εἰκότως μᾶλλόν τινας ἡμᾶς διὰ ταῦτα, καὶ τὸ μέγιστον ἐπ' εὐκρινείᾳ, ἤ τινος ἐπιτιμήσεως ἕνεκα τούτων, ἀξίους νομίζειν, μόνον εἰ προσέχειν τοῖς ἐφεξῆς ἐθελήσειεν. ὁ τοίνυν Δημοσθένης ὅ,τι περ κεφάλαιον ἦν τῶν πολιτικῶν ἠκριβωκώς, τὸ μὲν ὡς διὰ πάντων ἥκει πανταχοῦ ταῖς μίξεσι, μήτε ὅτε συμβουλεύει πάντη χωρίζων τοῦ δικανικοῦ τε καὶ πανηγυρικοῦ τὸν λόγον αὐτοῦ, μήτε ὅτε τι τῶν ἄλλων ποιεῖ, τὰ λοιπὰ ἀφιείς, τάχα ἂν οὐ τῶν σφόδρα γένοιτο χαλεπῶν εὑρεῖν τοῖς οὐχ ἁπλῶς αὐτὸν μετιοῦσιν· οἷς μέν τοι καθάπερ εἰ στοιχείοις τισὶ χρησάμενον εἴδεσι λόγου, τοιοῦτον εἰργάσθαι τὸν ἑαυτοῦ, ἃ δὴ καὶ τὸν πανηγυρικὸν αὐτὸν, καὶ τἆλλα πάντα τῶν λόγων εἴδη, ποιεῖ συνιστάμενα πρὸς ἄλληλα. τοῦτο δὲ παγχάλεπον εὑρεῖν ἔμοιγε εἶναι δοκεῖ, χαλεπὸν δὲ οὐδὲν ἧττον καὶ τὸν εὑρόντα εἰπεῖν, καὶ δεῖξαι τι σαφὲς περὶ αὐτῶν. οὐδὲ γάρ ἐστιν, ὅστις πρὸ ἡμῶν, ὅσα ἐμὲ γινώσκειν, εἰς τήνδε τὴν ἡμέραν ἀκριβές τι περὶ τούτων πραγματευσάμενος φαίνεται. ὅσοι δὲ καὶ ἥψαντο, πεπλανημένως καὶ λίαν ἀπιστοῦντες σφίσιν αὐτοῖς περὶ ὧν εἶπον, εἰρήκασιν, ὥστε αὐτοῖς συγκεχέσθαι τὰ πάντα. πρὸς γὰρ αὐτοῖς ἄλλοις, καὶ οἱ δόξαντές τι λέγειν περὶ τἀνδρὸς, τὸ κατὰ μέρος θεωρήσαντες καὶ τοῦθ' ὅπως ἐδύναντο, τῶν δ' ἐν τοῖς καθόλου βραχέα ἢ οὐδὲν φροντίσαντες, λέγω περὶ αὐτῆς σεμνότητος, περὶ αὐτῆς ἀφελείας,

τῶν ἄλλων ἰδεῶν· περὶ μὲν δημοσθένους τάχα ἄν τι διδάσκειν ἡμᾶς, καὶ τούτου νὴ δία τῶν μέτρων, ὧν τὰς θεωρίας συγγράψαι φασί· περὶ μὲν τοι παντὸς τοῦ λόγου καὶ πάσης ἰδέας, εἴτε ἐν μέτροις, εἴτε ἐν ποιήσει, εἴτε ἐν τῷ καταλογάδην εἴδει, παντάπασιν ἡμᾶς ἀδιδάκτους εἴασαν, ὅσον τὸ ἐπ' αὐτοῖς. χαλεπὸν μὲν οὖν ὥσπερ ἔφην ταῦτα καὶ εὑρεῖν καὶ εὑρόντα διδάξαι σαφῶς μετ' εὐκρινείας, ἀλλὰ μὴ κατ' ἐκείνους· πειρατέον δὲ ὅμως καθ' ἣν προὐθέμεθα ὁδόν. τὰ γάρ τοι τοῦ δημοσθενικοῦ λόγου καθαπερεὶ στοιχεῖα καὶ ἀρχὰς ἐν διανοηθείημεν ἀκριβῶς ἄν τα ἕκαστα ἐφ' ἑαυτῶν πόσα τέ ἐστι λέξαι, καὶ ὁποῖα, καὶ ὅπως γίνεται, τίς τε ἡ πρὸς ἄλληλα μίξις αὐτῶν, καὶ τί διαφέρει τόνδε, ἢ τόνδε μιγνύμενα τὸν τρόπον, τάχα ἂν περὶ ἁπάντων τῶν λόγων εἰρηκότες εἴημεν. ἡ μὲν οὖν ὑπόσχεσις καθ' αὑτὸν φᾶναι τὸν ῥήτορα, οὕτω μεγάλη, τὸ δὲ πρᾶγμα ἤδη τὸν ἔλεγχον κἀνταῦθα δώσει. κριτὴς δὲ ἡμῖν ὁ βουλόμενος ἔστω. φημὶ τοίνυν ὅτι τὸν δημοσθενικὸν λόγον τὰ τοιοῦτά ἐστιν ἐν μέλλοι τις ὡς ἓν ἅπαν ἀκούσεσθαι τάδε, σαφήνεια, μέγεθος, κάλλος, γοργότης, ἦθος, ἀλήθεια, δεινότης. λέγω δὲ ὡς ἕν, ταῦτα πάντα, οἱονεὶ συμπεπλεγμένα, καὶ διὰ ἀλλήλων ἥκοντα. τοιοῦτος γὰρ ὁ λόγος ὁ δημοσθενικός. τούτων δὲ τῶν ἰδεῶν αἱ μὲν ἐφ' ἑαυτῶν εἰσὶ καὶ καθ' ἑαυτὰς συνεστάμεναι, αἱ δὲ ἔχουσιν ὑφ' ἑαυτὰς τινὰς ἄλλας ἰδέας ὑποβεβηκυίας, δι' ὧν δὴ γίνονται. αἱ δὲ κοινωνοῦσιν ἀλλήλαις μέρει τινὶ καὶ μέρεσιν, ὅλως τε αἱ μὲν γένη εἰσὶν εἰδῶν, αἱ δὲ ὥσπερ κατὰ διαφοράν τινα κοινωνοῦσι ἑτέραις ἰδέαις, τοῖς ἄλλοις κεχωρισμέναι πᾶσι, αἱ δὲ, ὥσπερ ἔφην, μένουσιν ἐφ' ἑαυτῶν οὐδενὸς ἄλλου προσδεόμεναι, προϊοῦσι δὲ ἔσται φανερώτερον ὃ λέγω, ὅτι καὶ καθ' ἑκάστην αὐτῶν

προχ

προχειρισόμεθα. πρῶτον δὲ ἐξ ὧν ἅπας λόγος πέφυκε γίνεσθαι, καὶ ὧν οὐκ ἄνευ ποτὲ συσταίη τι λόγων εἶδος ῥητέον, ἵνα ἐκ τούτων εὐμαθέστερον ἔχοντες, μᾶλλον παρακολουθεῖν ἡμῖν, ὅτε καὶ τὰς ὑποβεβηκυίας τινὰς τῶν προειρημένων ἰδεῶν προτιθέντες ἐξ ὧν πεφύκασι γίνεσθαι, λέγωμεν. ἅπας τοίνυν λόγος ἔννοιάν τε ἔχει πάντως τινὰ, ἢ ἐννοίας, καὶ μέθοδον περὶ τὴν ἔννοιαν καὶ λέξιν, ἣ τούτοις ἐφήρμοσται· καὶ τῆς αὖ λέξεως ἐχούσης πάντως τινὰ καὶ αὐτῆς ἰδιότητα, πάλιν αὖ σχήματά τε ἐστί τινα καὶ κῶλα, συνθέσεις τε καὶ ἀναπαύσεις, καὶ τὸ ἐξ ἀμφοῖν τούτοιν συνιστάμενον ὁ ῥυθμός. ἡ γὰρ ποιὰ σύνθεσις τῶν τοῦ λόγου μερῶν, καὶ τὸ ὡδί πως ἀναπεπαῦσθαι τὸν λόγον, ἀλλὰ μὴ ὡδί, ποιεῖ τὸ τοιόνδε, ἀλλὰ μὴ τοιόνδε εἶναι τὸν ῥυθμόν. ἐπεὶ δὲ ἴσως ἐστὶν ἀσαφὲς τὸ προειρημένον, παραδείγματι αὐτὸ σαφηνιοῦμεν. ἔστω γὰρ βούλεσθαι ἡμᾶς ποιῆσαι γλυκύτητα· οὐκοῦν ἔννοιαι μὲν γλυκύτητος αἵ τε μυθικαὶ, καὶ αἱ ταύτῃ ὅμοιαι, καί τινες ἕτεραι περὶ ὧν ὕστερον λέξομεν ἐν τῷ περὶ αὐτῆς τῆς γλυκύτητος λόγῳ. ἀλλ' ἔννοιαι μὲν αὗται, μέθοδοι δὲ τὸ προηγουμένως καὶ σὺν ἀφηγήσει αὐτὰς διεξιέναι· ἀλλὰ μὴ ἐξ ὑποβολῆς, ἤ πως ἑτέρως. λέξις δὲ ἡ διὰ τῶν ἐπιθέτων καὶ ὅση δριμεῖα, καὶ τῆς ποιητικῆς ἡ μὴ διηρημένη, μηδὲ πλατεῖα τῇ φύσει· αἵ τε τῆς καθαρότητος ἅπασαι. τῆς δ' αὖ λέξεως σχήματα μὲν τὰ κατὰ τὴν ὀρθότητα, ὡς ἐπὶ τὸ πολὺ, καὶ τὰ χωρὶς ἐπεμβολῆς, κῶλα δὲ τὰ ὀλίγῳ τῶν κομματικῶν μείζονα, ἢ καὶ τὰ κομματικὰ αὐτά. συνθήκη δὲ κατὰ μὲν τὰ τοῦ λόγου μέρη μᾶλλον ἡ ἀνειμένη διὰ τὴν τοιαύτην λέξιν, οὐ μὴν ἥ γε διεστηκυῖα πάντη. δεῖ γάρ τοι καὶ κατὰ τὸν ῥυθμὸν ἔχειν τὴν γλυκύτητα ἡδονῆς, κατὰ δὲ τὰς βάσεις, ὅσοι δακτυλικοί τε καὶ ἀναπαιστικοί. τὸν δὲ περὶ ῥυθμοῦ

τι

τὰ λέγοντα καὶ συνθήκης. ἀνάγκη περὶ συλλαβῶν καὶ στοιχείων διαλαβεῖν. ἐκ γὰρ τούτων καὶ τῆς ἀναπαύσεως, ὁ ῥυθμός. δῆλον δὲ ἔσται μᾶλλον ἐκ τῶν μετὰ ταῦτα ῥηθησομένων. ἀλλὰ συνθήκη μὲν αὕτη γλυκύτητος, ἀνάπαυσις δὲ ἡ βεβηκυῖα μᾶλλον, ὁ δὲ ῥυθμός, ὥσπερ εἶδός τι, ἐπακολουθεῖ τῇ τε συνθήκῃ τῇ ποιᾷ καὶ τῇ ἀναπαύσει, ἄλλο τι ὂν παρὰ ταῦτα, καθάπερ οἰκίας ἢ πλοίου, ἢ τῶν τοιῶνδε λίθων ἢ ξύλων τόνδε πως ἢ τόνδε τὸν τρόπον συντεθέντων καὶ μέχρι τοῦδε παυσαμένων, τοιόνδε τὸ εἶδος ἢ τοιόνδε γίνεται, ἄλλο τι παρὰ τὴν συνθήκην καὶ τὴν ἀνάπαυσιν ὄν. πάντα μὲν οὖν εἴδη λόγων ἐν τούτοις τεθεώρηται καὶ διὰ τούτων γίνεται, ἐννοίας, μεθόδου, λέξεως, σχήματος, κώλου, συνθήκης, ἀναπαύσεως, ῥυθμοῦ. ἐγὼ δ᾽ ὅτι μὲν καὶ τούτοις καὶ τοῖς προειρημένοις δεῖ σαφηνείας τινὸς οὐκ ἀγνοῶ, οὐδὲ, ὡς οἴονταί τινες, γένοιτ᾽ ἂν ἴσως ταῦτα σαφῆ διὰ τῶν παραδειγμάτων, εἰ προστεθείη, οὐ μὴν ἀλλὰ, τὸ μὲν δεῖν παραδειγμάτων αὐτοῖς, ὁμολογῶ, τὸ δὲ εἴπερ θείην νυνὶ παραδείγματα γένοιτ᾽ ἂν σαφὲς περὶ οὗ ὁ λόγος, οὐκ ἔτ᾽ ἂν συγχωρήσαιμι. ἐπεὶ τοὐναντίον, εἰ νῦν καὶ ἐνταῦθα καὶ καθ᾽ ἕκαστον τῶν προειρημένων τεθείη παραδείγματα, μηκύνοιτό τε ἂν δι᾽ αὐτὰ μᾶλλον ὁ λόγος, καὶ τραχύτης ἂν πλείων εἰκότως γένοιτο. ἔπειτα μέντοι καὶ τὸ παρὸν οὐ περὶ γλυκύτητος προὔκειτο λέγειν (ὕστερον γὰρ ἀκριβέστερον καὶ περὶ ταύτης ἐροῦμεν) ἀλλ᾽ ὅσον ἐμφῆναι, διὰ τίνων γένοιτ᾽ ἂν ἀκριβὲς ἐν αὐτὸ ἕκαστον λόγων εἶδος· ἵνα ἀπὸ τούτων, ὅπερ ἔφην, εὐμαθέστερον ἔχοντες, ῥᾳδίως ἑποίμεθα τοῖς ἐφεξῆς. οὐκοῦν ἐκεῖσε ἐπάνειμι. ἐχόντων γὰρ τούτων ταύτῃ, καὶ πάσης ἰδέας λόγων συνισταμένης διὰ τῶν προειρημένων, ἀκριβῶς μὲν διὰ πάντων τῶν ἑνὸς εἴδους οἰκείων

εἰργασμένων

ἐξειργασμένον λόγον, οἷον ἐννοίας, μεθόδου, λέξεως, καὶ τῶν λοιπῶν, σφόδρα χαλεπόν. μᾶλλον δὲ ἀδύνατον εὑρεῖν παρά τινι τῶν ἀρχαίων, τὸ δὲ πλεονάζειν τοῖς οἰκείοις ἑκάστης ἰδέας, τὸ τοιόνδε ἢ τοιόνδε ἕκαστον αὐτῶν εἶναι συμβέβηκεν. ἐξαίρωμέν τοι τοῦ λόγου τὸν ῥήτορα· οὐ γὰρ κατὰ ταυτὰ ἐκείνοις μιᾷ τινὶ τῶν προειρημένων πλεονάσας ἰδέᾳ καὶ αὐτός, ἀλλὰ μέρει μέν τινι, μᾶλλον δὲ εἴδει, μιᾶς πλείονι κεχρημένος τῶν λοιπῶν, λέγω δὴ τῇ περιβολῇ. διότι δὲ τοῦτο πεποίηκεν, ἐν τῷ περὶ μεγέθους ἡμῖν καὶ τῆς περιβολῆς αὐτῆς ἀκριβῶς λελέξεται, ἀλλ', ὅπερ ἔλεγον, τούτῳ γὰρ δὴ πολλοστὸν ὄντι μέρει ἢ εἴδει ἰδέας μιᾶς πλείονι κεχρημένος τῶν λοιπῶν, τοῖς δὲ ἄλλοις ἅπασιν ἑκάστῳ τὸ κατ' ἀξίαν νείμας, καὶ τὰ μὲν ὑψηλὰ σφόδρα καὶ λαμπρὰ τῶν νοημάτων μεθόδοις τισὶν ἢ σχήμασιν ἤ τινι τῶν ἄλλων καθαιρῶν, τὰ δὲ αὖ λεπτὰ καὶ μικρὰ διὰ τῶν αὐτῶν τούτων ἐγείρων τε καὶ ὀρθῶν καὶ ἕκαστα τῶν ἄλλων, καὶ ταῦτα μιγνὺς τοῖς οὐκ οἰκείοις οὐδὲ ἰδίοις αὐτῶν μέρεσι, καὶ καταποικίλλων οὕτω τὸν λόγον αὐτοῦ, πάντα πεποίηκεν ἁρμόττειν αὐτοῖς, καὶ τὸ ὅλον ἓν εἶναι, πασῶν αὐτῷ δι' ἀλλήλων ἡκουσῶν τῶν ἰδεῶν, ὥστ' ἐξ ἁπάντων τῶν καλῶν ἓν τοῦτο κάλλιστον ἀπείργασθαι εἶδος λόγων τὸ δημοσθενικόν. ἀκριβῶς μὲν οὖν ὅπερ εἶπον οὐκ ἂν εὑρεῖν παρ' οὐδενὶ τῶν ἀρχαίων τὸ τοιοῦτον, ὅτι ἐστὶ φύσει δήπουθεν ἁμάρτημά ἐστι τὸ μονοειδῆ καὶ μὴ ποικίλον ἐργάζεσθαι τὸν λόγον, πλεονάζειν δὲ ἐφ' ἓν ἄλλον κατ' ἄλλο τι, ὅθεν ταῦτα συμβαίνειν τὸ τοιόνδε ἢ τοιόνδε αὐτῶν ἑκάστῳ τὸν λόγον γίνεσθαι. τό γε μὴν πλεονάζειν λέγω οὐ τὸ τοῖς πλείοσι χρῆσθαι τῶν ἐμπιπτόντων ἰδέαν ἑκάστην, οἷον μεθόδῳ, σχήματι, συνθήκῃ, ἀναπαύσει, καὶ τοῖς τοιούτοις, τάχα μὲν γὰρ καὶ

τοῦτο ἂν εἴη τι, ἀλλ' ὅ γε λέγω τοιοῦτόν ἐστι, τὸ, τοῖς κυριωτάτοις ἰδέας ἑκάστης μάλιστα χρῆσθαι. τοῦτο γὰρ καὶ τὴν ἰδέαν ὡς ἐπιτοπλεῖστον ποιεῖ, καὶ τὸ πλεονάζειν τοῦτ' ἦν, τὸ, τοῖς κρατίστοις χρῆσθαι τοῦ εἴδους. ἔστι δ' ὅτε, εἰ ταῦτα παραλείποι τις τοῖς ἄλλοις χρώμενος ἅπασιν, εἰ καὶ πλεονάζει κατ' ἐκεῖνα, ἀλλὰ γοῦν ἧττον ἂν τυγχάνοι τοῦ εἴδους ὁ λόγος ἐκείνου οὗπερ οὐκ ἦν ἴδια οἷς ἐχρήσατο. περὶ τοίνυν τῆς δυνάμεως λεκτέον ἂν εἴη, τῶν ποιούτων, ὡς ἔφαμεν, τὰ εἴδη τοῦ λόγου. ἔστιν οὖν πρῶτον μὲν καὶ ἰσχυρότατον ἁπανταχοῦ ἡ ἔννοια, μετὰ δὲ ταύτην ἡ λέξις, τὸ σχῆμα δὲ τρίτον, λέγω τὸ τῆς λέξεως. ἐπεὶ τό γε τῆς ἐννοίας ὅπερ ἦν μέθοδος, τέταρτον λέγω, οὐ κατὰ δύναμιν τῆς ἐν δεινότητι, ἐκεῖ γὰρ κινδυνεύει τὰ πρῶτα ἀποφέρεσθαι, ὡς ἐν τῷ περὶ δεινότητος ἔσται φανερώτερον. συνθήκη δὲ καὶ ἀνάπαυσις ἔστω τελευταῖα. γένοιτο δ' ἂν ἴσως ποτὲ καὶ οὐ τελευταῖα, καὶ μάλιστα ἐν τῇ κρίσει. χωρὶς μὲν γὰρ θατέρου, θάτερον μικρὰ ἂν ἢ οὐδὲν πρὸς εἶδος λόγου συμβάλλοιτο· μετ' ἀλλήλων μέν τοι καὶ τοῦ ῥυθμοῦ πολλὰ καὶ οὐ μικρά. καὶ τάχα ἂν ἡμῖν παῖδες μουσικῶν ἀμφισβητήσειαν, εἰ μὴ καὶ πρὸ τῆς ἐννοίας θετέον αὐτά. δύνασθαι γοῦν φήσουσι τὸν ῥυθμὸν καὶ καθ' ἑαυτὸν χωρὶς ὅλως ἐνάρθρου φωνῆς, ἡνίκα οὐδεμία λόγων ἰδέα. ἢ γὰρ ἡδείας ποιῆσαι ψυχὰς, ὑπὲρ ἅπαντα πανηγυρικὸν λόγον εἶναί φασι τοὺς ῥυθμοὺς ἐπιτηδείους, καὶ τοὐναντίον αὖ λυπηρὰς, ὡς οὐδεμία ἐλεεινολογία. δύνασθαι δὲ τὸν θυμὸν κινῆσαι μειζόνως ἢ πάντα σφοδρὸν ἢ καταφορικὸν λόγον. ὅλως δὲ περὶ πάντων ἐφεξῆς, οὕτως ἡμῖν ἴσως ἂν ἐξεχελίσωσι, ἡμεῖς δὲ οὐ διοισόμεθα πρὸς αὐτοὺς· ἀλλ' ἔστω μοι εἰ βούλοιτό τις πρῶτον, εἰ δὲ βούλοιτο, τελευταῖον, ἢ μέσον τῇ δυνάμει τῶν

προειρημένων ὁ ῥυθμός, ἐγὼ δὲ ὁποῖοί τινές εἰσιν ἑκάστης ἰδέας οἰκεῖοι, καθ᾿ ὅσον ἐγχωρεῖ, λέξω περὶ ἑκάστης χωρὶς τῆς περιάδειν προσαρμόσαι τινὰ ῥυθμόν, τοῦτο δείξειν φημί, καὶ εἴγε δύναιντο κἀνταῦθα οἱ ῥυθμοὶ ὅσα κἂν τῇ ἄλλῃ μουσικῇ, κείσθωσαν πρῶτοι, εἰ δὲ μὴ τοσοῦτον δύναιντο, τετάξονται ἡμῖν ὅπως ἂν οἶμαι, καὶ δυνάμεως ἔχωσι. φημὶ δ᾿, ἐστὶ μὲν οὖν καὶ ὁ ῥυθμὸς πολὺ συνεισήνεγκε τῷ τοιόνδε γίνεσθαι τὸν λόγον, ἀλλὰ μὴ τοιόνδε, οὐ μὴν τοσοῦτόν γε, ὁπόσον ἐκεῖνοί φασι. μικρὰ δὲ ἀναλαβόντες περὶ ἁπάντων τῶν προειρημένων ὡς ἐν κεφαλαίῳ, ἐπ᾿ αὐτὸν ἤδη τὸν περὶ ἰδεῶν λόγον χωρίσομαι. τινὰ μὲν γάρ ἐστι τὰ τὰς ἰδέας ποιοῦντα τοῦ λόγου, καὶ πῶς τις ἡ τούτων δύναμις, κἀκ τίνων ὁ δημοσθενικὸς λόγος συνέστηκε, καὶ διὰ ἣν αἰτίαν τοῦτον προχειρίσασθαι δεῖν τὸν ἄνδρα κρίνομεν, εἴρηται. ἐπεὶ δὲ χωρὶς μὲν αὐτὴν καθ᾿ αὑτὴν οὐκ ἔστιν εὑρεῖν οὐδεμίαν ἐξειργασμένην ἰδέαν ἀκριβῶς, πλὴν εἰ τὸ ἑκάστου ἔργον ἰδέαν λέγοι τις, οἷον πλατωνικὴν, ἢ καὶ δημοσθενικὴν, ἀλλ᾿ ἐπειδὴ αὐτὴν μὲν καθ᾿ ἑαυτὴν, ὅπερ ἔφην, σεμνότητα ἤ τι τῶν ἄλλων ἀδύνατον παρά τινι τῶν ἀρχαίων εὑρεῖν ἦν διηνεκῶς, μίξιν δὲ οὔτε λόγου, οὔτε ἄλλου τινὸς τῶν πάντων οἷόν τε ἐστὶ γνῶναι καλῶς ἤτοι ποιήσασθαι, μὴ πρότερον αὐτὰ ἕκαστα ἐξ ὧν ἡ κρᾶσις γέγονεν, ἢ γένοιτο ἂν δια=γνόντα, οἷον λευκοῦ καὶ μέλανος φύσει, ἐξ ὧν τὸ φαιὸν, εἰ κραθείη, γίνεσθαι πέφυκεν, ἐπειδὴ οὖν ταῦθ᾿ οὕτως ἔχει, ἀνάγκη πάντων τούτων ἀπαλλαγέντας, τῶν κατ᾿ ἄνδρα λέγω, πλάτωνος, δημοσθένους, ξενοφῶντος, τῶν ἄλλων ἁπάντων, διὰ τὰ ἐξαρχῆς ἰέναι, οἱονεὶ στοιχεῖα λόγου, καὶ περὶ ἑκάστου χωρὶς διαλαβεῖν. ῥᾴδιον γὰρ τοῖς γε ἐντεῦθεν ὡρμωμένοις, καὶ περὶ καθ᾿ ἕνα γνῶναι καὶ εἰπεῖν, τὰς ἀκριβεστέρας μίξεις αὐτῶν καταθεωμένοις, ἐάν τέ τις

τῆς ἀρχαίας, ἐάν τε καὶ τῶν νεωτέρων τινὰς ἐξετάζειν καὶ ζηλοῦν βούληται. οὐκοῦν ἐφ' ἃ προὐθέμεθα ἐξ ἀρχῆς ἐλθόντες, λέγωμεν τὰς ἰδέας ἐξ ὧν ἔφην τὸν δημοσθενικὸν συγκεῖσθαι λόγον, τὰς δὲ ὑποβεβηκυίας αὐταῖς, ἢ καὶ συμπληρούσας αὐτὰς ἰδέας ἰδόντες, εὐκρινές τι ἂν περὶ ἑκάστης λέγοιμεν. εἰσὶν δὲ δήπουθεν αἵδε, σαφήνεια, μέγεθος, κάλλος, γοργότης, ἦθος, ἀλήθεια, δεινότης. περὶ τοίνυν τούτων λεκτέον, καὶ πρῶτόν γε σαφηνείας καὶ τῶν ἰδεῶν, αἳ ποιοῦσιν αὐτήν. θαυμάζειν δὲ οὐ χρή, ἐάν τινες ἰδέαι κοινωνοῦσαι κατά τι ἑτέραις εὑρίσκωνται· οἷον, ἢ κατὰ τὴν ἔννοιαν, ἢ κατὰ λέξιν, ἤ τι ἕτερον, ὥσπερ ἡ καθαρότης τῇ ἀφελείᾳ κατά τε ἄλλα τινὰ καὶ κατὰ τὸ περὶ ὀρθότητος σχῆμα κεκοινώνηκεν. οἷον, Σαννίων ἐστὶ δήπου τις ὁ τοὺς τραγικοὺς χοροὺς διδάσκων· καὶ γὰρ καθαρὸν τοῦτο καὶ ἀφελές. καὶ πάλιν ἡ τραχύτης καὶ ἡ ἀκμὴ κοινὰς ἔχουσι τὰς ἐννοίας. αἱ γὰρ ἐπιτιμήσεις οὖσαι τραχύτητος ἴδιαι ποιοῦσι τὴν ἀκμήν, ὅτε κώλῳ καὶ σχήματι μακρῷ ἐξαγγελθεῖεν. οὕτω δὲ δήπουθεν καὶ λαμπρότητι ἡ ἀκμὴ κοινωνοῦσα εὑρίσκεται· ἀλλ' οὐ χρὴ τοῦτο θαυμάζειν. τῷ μὲν γὰρ ὅλῳ ἑκάστη ἰδέα, ἑτέρα τῶν ἄλλων εὑρίσκεται, μέρη δέ τινα οἷον διαφορὰς οὐσίας τινὸς ἔχειν ἑτέραις τὰ αὐτὰ ἰδέαν ἡντιναοῦν οὐ κεκώλυται. ὥσπερ ὁ ἄνθρωπος τῷ μὲν ὅλῳ ἕτερόν ἐστι τῶν ἄλλων ζῴων, τῷ δὲ εἶναι θνητὸν, πολλοῖς κοινωνεῖ. καὶ τῇ τοῦ λογικοῦ δὲ διαφορᾷ κοινωνεῖ δήπου τοῖς θεοῖς, καὶ τοῦτο κατ' ἀρχὰς εὐθὺς διωρίσαμεν, ὡς εἰσὶ τῶν ἰδεῶν τινὲς, αἳ κατά τι κεκοινωνήκασιν ἑτέραις. ἀλλὰ περὶ μὲν τούτων ἅλις, ἐπὶ δὲ τὸν περὶ σαφηνείας ἤδη λόγον ἰτέον, ἣν δὴ καὶ πρώτην ἐθέμεθα, διότι καὶ παντὶ λόγῳ τούτου δεῖ μάλιστα περὶ σαφηνείας, ἧπερ ἐναντίον ἐστὶ δήπουθεν ἡ ἀσάφεια, ἣ ὑποβέβηκε τὸ καθαρὸν καὶ εὐκρινές.

## ΠΕΡΙ ΙΔΕΩΝ ΤΟΜΟΣ Α.

### ΠΕΡΙ ΣΑΦΗΝΕΙΑΣ ἧ ὑποβέβηκε τὸ καθαρὸν καὶ εὐκρινές.

Σαφήνειαν τοίνυν λόγου ποιεῖ εὐκρίνεια καὶ καθαρότης. γίνεται δὲ καθαρὸς μὲν λόγος ἅπασι σχεδὸν τοῖς προειρημένοις, ἐννοίᾳ, μεθόδῳ, λέξει, καὶ τοῖς λοιποῖς, εὐκρίνεια δὲ τὸ μὲν πλεῖστον ἔχει περὶ τὴν μέθοδον, τάχα δ' ἄν τι καὶ τῶν ἄλλων, εὐκρίνειαν ποιεῖ. ἀλλὰ πρῶτόν γε περὶ καθαρότητος λεκτέον, ἣ πάλιν ἐναντίον ἐστὶν ἡ περιβολὴ κατά τι· οὐ γὰρ ἐπὶ πάντα περὶ ἧς ἐν τῷ περὶ μεγέθους, καὶ ἀξιώματος λόγῳ λέξομεν. ἔννοιαι τοίνυν εἰσὶ καθαραὶ αἱ κοιναὶ πάντων καὶ εἰς ἅπαντας ἀνελθοῦσαι ἢ δόξασαι ἀνελθεῖν, σαφεῖς ἀφ' ἑαυτῶν οὖσαι καὶ γνώριμοι, καὶ μηδὲν ἔχουσαι βαθὺ, μηδὲ περινενοημένον ὁποία ἦν καὶ ἡ προειρημένη, οἷον σαννίων ἐστὶ δήπου τις ὁ τοὺς τραγικοὺς χοροὺς διδάσκων. καὶ πάλιν, λέγοντι οἱ τριάκοντα χρήματα δανείσασθαι παρὰ λακεδαιμονίων ἐπὶ τοὺς ἐν πειραιεῖ, καὶ ὅσαι τοιαῦται· χρὴ δὲ αὐτὰς καθ' ἑαυτὰς ὁρᾶν τὰς ἐννοίας ταύτας, ἀλλὰ μὴ ὧν ἕνεκα παρελείφθησαν. ἐπεὶ ἄλλο τι ὑπονοήσομεν εἶναι αὐτὰς καὶ οὐ καθαράς· καί τοι ὅτι μάλιστα καθαρωτάτας οὔσας, εἰ καθ' αὑτὰς θεωροῖντο. αὗταί γε μὴν σχεδὸν καὶ πάντη εἰσὶν ἕνεκά γε τῆς ἐπιβολῆς καθαραὶ, οἷον ἀδελφὰς ἔχομεν γυναῖκας ἐγώ τε καὶ σπουδίας οὑτοσί. καὶ πάλιν, κοινωνός εἰμι τοῦ δανείσματος τούτου ὦ ἄνδρες ἀθηναῖοι· καὶ ὅλως καθαρὰ ἐν ἰδιωτικοῖς πολλά εἰσι παραδείγματα, οὐκ ὀλίγα δὲ καὶ ἐν τοῖς δημοσίοις, μέθοδος δὲ καθαρότητος σχεδὸν μία. γίνεται γὰρ μάλιστα καθαρὸς ὁ λόγος ὅταν ψιλὸν τὸ πρᾶγμά τις ἀφηγῆται, ἢ ἄρχηταί γε ἀπ' αὐτοῦ τοῦ ψιλοῦ τοῦ πράγματος,



Universitäts- und Landesbibliothek Düsseldorf

καὶ μηδὲν ἔξωθεν συνεφέλκηται· οἷον γένος εἴδει προσλαβών, ἢ ὅλον μέρει, ἢ ἀόριστον ὡρισμένῳ, ἢ κρίσιν δικαστῶν, ἢ ποιότητα πράγματος, ἢ τὴν πρὸς ἕτερον διαφοράν, ἤτοι τοιοῦτον. περιβάλλει γὰρ ἅπαντα ταῦτα, καί εἰσιν ἔννοιαι περιβολῆς αὗται, ἡ δὲ ἐναντία καθαρότητι. περιβάλλει δὲ καὶ ὅσα φύσει παρακολουθεῖ τοῖς πράγμασιν εἰ προσλαμβάνοιντο, οἷον τόπος, ἢ πρόσωπον, ἢ χρόνος, ἢ τρόπος, ἢ αἰτία, ἤ τι τοιοῦτον. ἀπηλλάχθαι οὖν δεῖ τούτων ἁπάντων τὸν καθαρὸν λόγον κατὰ τὴν μέθοδον, ἤτοι παντάπασίν γε, ἢ οὕτως ὥστε μηδὲν τούτων πρὸ αὐτοῦ τοῦ πράγματος τετάχθαι. ἐπεὶ καὶ ταῦτά τις προσλαμβάνων, ἤ τινα τούτων, ὅμως δύναται ποιεῖν φαίνεσθαι καθαρὸν τὸν λόγον διὰ τῶν ἄλλων, ἃ δὴ τὴν καθαρότητα ποιεῖ· οἷον σχημάτων, λέξεων, καὶ τῶν λοιπῶν. καί τις τοιαύτη ἐστὶ μέθοδος καθαρότητος. δόξει μὲν γὰρ λέγειν καθαρῶς, οὐ μὴν ὥστε ἀληθῶς γε ἐρεῖ. περιβάλλει δὲ οὐδὲν ἧττον, ὃ τοι ἰδεῖν ἐστὶ παρὰ τῷ ῥήτορι μάλιστα. ἐπεὶ καὶ τό, ὑβρισθεὶς ὦ δικασταὶ καὶ παθὼν ὑπὸ Κόνωνος τουτουὶ τοιαῦτα, καὶ τὰ ἐφεξῆς, τά τε προειρημένα παραδείγματα σχεδὸν πάντα, ἕνεκα μὲν τῆς περιβολῆς καθαρῶς εἴρηται. ἀπὸ γὰρ αὐτῶν ἦρκται ψιλῶν τῶν πραγμάτων, καὶ φαντασίαν ἔχει καθαρότητος καὶ ἰδιωτισμοῦ, τὰ δὲ μετὰ ταῦτα ἐφ' ἑκάστῳ ῥηθέντα, περιβολὴν ἐποίησε λεληθυῖαν. δῆλον οὖν ἐκ τούτων ὅτι καὶ φαινόμενός τις λόγος ἐστὶ καθαρός, οὐ μὴν ὡς ὄντως γε τοιοῦτος μεθόδου καθαρᾶς, καὶ τὸ ἀφηγηματικῶς, ἀλλὰ μὴ ἄλλως πως εἰσάγειν τὰ πράγματα. μέθοδος γάρ τις οἶμαι καὶ ἡ ἀφήγησις, ἀλλ' οὐ σχῆμα, ὡς οἴονταί τινες· ἐπεὶ καὶ ἐν πολλοῖς σχήμασιν ἀφηγήσαιο ἄν. καὶ γὰρ ὀρθώσας καὶ πλαγιάσας καὶ μερίσας καὶ

συμ

συμπλέξας, καὶ ὅλως πολλοῖς σχήμασιν ἀφήγησις γίνεται, οὐ μὴν ἅ γε ὄντως ἐστὶ σχήματα, σχήμασιν ἄλλοις τισὶ γίνεσθαι πέφυκεν. εἴη ἂν οὖν ἴσως μέθοδός τις καὶ ἡ ἀφήγησις. εἴτε δὲ μέθοδος, εἴτε σχῆμα, εἰδέναι δεῖ ὡς χρήσιμον τοῦτο τῇ καθαρότητι. ἀλλ' ἐννοίας μὲν καὶ μεθόδους τῆς καθαρότητος ταύτας εὑρίσκομεν, λέξις δὲ καθαρὰ ἡ κοινὴ, καὶ εἰς πάντας ἥκουσα, καὶ μὴ τετραμμένους, μηδ' ἀφ' ἑαυτῆς οὖσα σκληρὰ, ὡς τὸ ἀτραπός, οἷον, προσέβη τραχεῖαν ἀταρπὸν, καὶ τὸ, κατεσθίων κατέφαγε, καὶ τὸ, ἐκνενευρισμένοι, καὶ τὸ, πεπρακὼς ἑαυτὸν, καὶ τὸ, περικόπτων καὶ λωποδυτῶν τὴν ἑλλάδα, καὶ ἁρπάζων. ταῦτα γὰρ καὶ τὰ τοιαῦτα, ἐναργῆ μέν ἐστι καὶ μέγεθος ἔχοντά πως, οὐ μὴν καθαρά. διὸ, τοῖς πολλοῖς αὐτῶν καὶ σαφηνισμοῦ τινὸς δεῖ· ὡς τὸ ἐκνενευρισμένοι. ἐδέησε γὰρ τοῦ, περιῃρημένοι χρήματα συμμάχους, εἰς σαφήνειαν. πολὺ δὲ τὸ καθαρὸν τῆς λέξεως παρ' ἰσοκράτει. σχῆμα δὲ καθαρότητος ἡ ὀρθότης, ἐγὼ γὰρ ὦ ἀθηναῖοι προσέκρουσα ἀνθρώπῳ πονηρῷ καὶ φιλαπεχθήμονι. δεῖ δὲ, ὅπερ ἔφην καὶ μικρῷ πρότερον, αὐτὰ ἕκαστα ἐφ' ἑαυτοῦ ὁρᾶν περὶ ὧν ὁ λόγος, ὥσπερ κἀνταῦθα ὁρᾶν τὸ σχῆμα δεῖ μόνον εἰ καθαρὸν, ἀλλὰ μὴ τὰ ἐφεξῆς εἰρημένα. οὐ γὰρ εἴασεν ἐκεῖνα, μεῖναι τὸν λόγον ἐφ' ἑαυτοῦ καθαρόν. τοιαῦτα δ' ἐστὶ καὶ τὰ προειρημένα, τὸ, σαννίων ἐστί. καὶ τὸ, ἀδελφὰς ἔχομεν γυναῖκας, καὶ τὰ λοιπά. ἡ οὖν ὀρθότης τὸ σχῆμα ὅσον ἐφ' ἑαυτῷ καθαρὸν, τεκμήριον δέ. εἰ γὰρ πλαγιάσαις κἂν ἀφηγῇ, πάντως περιβαλεῖς. ἐννοίας γὰρ ἄλλας ἐφέλκονται οἱ πλαγιασμοί. ὥσπερ δὲ ὁ πλαγιασμὸς τῇ ὀρθότητι σχῆμα ἐναντίον, οὕτως ἡ περιβολὴ τῇ καθαρότητι, εἶδος ὅλον εἴδει ὅλῳ ἐναντίον. ἐκεῖθεν δὲ ἔσται δῆλον ὃ λέγω· τὸ γὰρ, ἦν κανδαύλης· καὶ τὸ, κροῖσος ἦν, καὶ τὰ τοιαῦτα,

τοιαῦτα, οὕτω μὲν εἰσφερόμενα κατ᾽ ὀρθότητα, καὶ καθαρὸν ποιεῖ τὸν λόγον καὶ σαφῆ, εἰ δὲ πλαγιάσαις, οὐ τοιαῦται ἔσται· οἷον, κροίσου ὄντος, καὶ κανδαύλου ὄντος, εἰ λέγοις· ταραχὴ γάρ τις εὐθὺς ἐγγίνεται, διὰ τὸ δεῖν πάντως ἐπακολουθῆσαί τι ἕτερον νόημα. καὶ ἡ περιγραφὴ τῆς ὅλης ἐννοίας μακρὰ καὶ οὐ πάνυ ἔσται σαφής· οἷον κροίσου ὄντος λυδοῦ μὲν γένος, παιδὸς δὲ ἀλυάττεω, τυράννου δὲ ἐθνέων τῶν ἐντὸς ἅλυος ποταμοῦ· ὁρᾷς πῶς ἔτι κρέμαται ἡ διάνοια. καὶ μᾶλλόν γε οἶμαι τοῦτο γενήσεσθαι, εἰ καὶ τὰ ἐφεξῆς τις τῷ αὐτῷ σχήματι ἐξαγγείλειεν. οὐ μὴν ἔν γε τῇ ὀρθότητι τοῦτο ἦν, ἀλλὰ κατὰ βραχὺ αἱ ἔννοιαι διανεπαύσαντο ἐφ᾽ ἑαυτῶν περιγραφόμεναι. οἷον κροῖσος ἦν λυδὸς μὲν γένος, παῖς δὲ ἀλυάττεω, τύραννος δὲ ἐθνέων. ὅλως οὖν πᾶν ὅπερ ἀπήλλακται περιβολῆς σχῆμα, καθαρὸν ποιεῖ τὸν λόγον· αὐτίκα τὸ, ἐπειδὴ γὰρ οὐ καθεστηκότος χορηγοῦ. καὶ τῇ ἐννοίᾳ καὶ τῷ σχήματι περιβεβλημένον ἐὰν θελήσῃς τοῖς σχήμασι τῆς καθαρότητος μεταβαλεῖν, τὸ μὲν κατ᾽ ἔννοιαν αὐτοῦ περιβεβλημένον οὐκ ἀφαιρήσεις, τὸ μέντοι κατὰ τὰ ἑπόμενα καὶ πάνυ. οἷον τρίτον ἔτος τουτὶ ἡ πανδιονὶς φυλὴ χορηγὸν οὐκ εἶχε, παρῆν δὲ ἡ ἐκκλησία, ὁ δὲ ἄρχων ἐπεκλήρου τοὺς αὐλητάς, λόγοι οὖν ἐγίνοντο καὶ λοιδορίαι. καὶ ὅλως πάντα ὁμοίως περιγράφων, εἰ λέγοι τίς τὰ ἐννοήματα, σαφέστερόν τε καὶ οὐ περιβεβλημένον, οὐδὲ ἔχοντά τι μέγεθος καὶ τόνον ὅσον ἐπὶ τῇ λέξει καὶ τοῖς περὶ ταύτην ποιήσει τὸν λόγον. θαυμάζειν δὲ οὐ χρὴ τὸν τρόπον τῆς διδασκαλίας τοῦτον, εἰ πρὶν διδάξαι τι περὶ τῆς περιβολῆς, ὡς πρὸς εἰδότας περὶ αὐτῆς διαλεγόμεθα. οὐ γάρ ἐστιν ἑτέρως διδάξαι τι περὶ τούτων, οὐδὲ εἰ ἑτέρωθέν ποθεν ἠρξάμεθα, ἀλλὰ μὴ καθάπερ νῦν ἀπὸ τῆς σαφηνείας. σχεδὸν γὰρ

ἅπασαι

ἅπασαι αἱ ἰδέαι τῶν λόγων δι' ἀλλήλων εὑρίσκονταί τε καὶ γίνονται καταφανεῖς, ἤτοι κατὰ ἀφαίρεσιν καὶ χωρισμὸν, ὥσπερ ἐνταῦθα πεποιήκαμεν, οἷον ὅτε ἐλέγομεν, ὅτι σχήματά ἐστι καθαρὰ ὅσα τῆς περιβολῆς ἐστιν ἀπηλλαγμένα, ἢ κατὰ πρόσθεσιν, ὥσπερ ὅτε ἔφαμεν σαφήνειαν ὑπ' εὐκρινείας γίνεσθαι καὶ καθαρότητος· καίτοι μηδὲν εἰρηκότες πω περὶ τούτων. λελέξεται δὲ ἡμῖν ἐν τῷ δέοντι καὶ περὶ τῆς περιβολῆς. ἀλλὰ νῦν ἡμῖν ἐκεῖσε ἐπανιτέον. ἐναντίον γὰρ καθαρότητος καὶ τὸ ὑπέρβατον. φεύγειν οὖν ἐν αὐτῇ καὶ τοῦτο δεῖ. μετὰ δὲ τὸν περὶ σχημάτων λόγον τῆς καθαρότητος, ὁ περὶ τῶν κώλων εἴη ἄν. δῆλον δὲ ἀπὸ τῶν προειρημένων ὁποῖα εἶναι καὶ ταῦτα δεῖ, ὅτι μικρὰ καὶ κομματικά, καὶ καθ' ἑαυτὰ ἀπαρτίζοντα τὰς ἐννοίας. τὰ γὰρ μακρὰ τῶν κώλων καὶ αἱ περίοδοι οὐ καθαροῦ λόγου, συνθήκη δὲ καθαρὰ πρῶτον μὲν ἡ ἁπλῆ καὶ μηδὲν περὶ συγκρούσεως τῶν φωνηέντων μικρολογουμένη, ἐπιμελὲς γὰρ τοῦτό γε, καὶ λόγου κεκαλλωπισμένου μᾶλλον ἢ ἁπλοῦ τε καὶ καθαροῦ, ἔπειτα ἡ λογοειδεστέρα, οἷον, ἰαμβική τις ἢ τροχαϊκή· ἧττον γοῦν ἡ τοιαύτη διῄρηται· ὥσπερ τὸ, ἐγὼ γὰρ ὦ ἀθηναῖοι προσέκρουσα ἀνθρώπῳ πονηρῷ καὶ φιλαπεχθήμονι. οὐ δεῖ δὲ τὸ ἀκριβὲς ἀπαιτεῖν ἐνταῦθα, οὐδὲ γὰρ οἷόν τε, ἀλλ' ἐξαρκεῖ τὸ, τέως μάλιστα καὶ κατ' ἀρχὰς τῶν κώλων τοιούτους εἶναι τοὺς πόδας, καὶ τὸ πλεῖστον κατὰ τὴν ὅλην συνθήκην τοῦ λόγου τοὺς τροχαίους, καὶ τοὺς ἰάμβους τῶν δακτύλων τε καὶ ἀναπαίστων, ἢ τῶν τοιούτων ἥττους εὑρίσκεσθαι. καὶ γὰρ ὅλως δεῖ μεμίχθαι τινὰς αὐτοῖς καὶ ἑτέρους πόδας, ἵνα μὴ τελέως ἔμμετρος ὁ λόγος γένηται, ἀλλ' ἔχῃ μέν τι καὶ μέτρου. καὶ λέγω δὴ τοῦ φυσικοῦ, μὴ μέντοι παντάπασι μέτρον ᾖ. τὸν γάρτοι ῥυθμὸν τὸν ἐν τῷ λό-

γὰρ τῶν πεζῶν, ὃν ἡ ποιὰ συνθήκη ποιεῖ μετὰ τῆς ἀναπαύσεως οὐδὲν ἀλλ' ἢ μέτρον τε ἢ μὴ μέτρον εἶναι δεῖ, καὶ μέτρον δηλαδὴ τοιόνδε μὲν κατὰ τόδε εἶδος τοῦ λόγου, τοιόνδε δὲ κατὰ τόδε, ὥσπερ ἐνθάδε ἰαμβικὸν ἢ τροχαϊκὸν εἶναι δεῖ. τὸ γὰρ ὡς ὄντος ἀστρατείας ἑάλω καὶ κέχρηται συμφορᾷ, βραχεῖαν μὲν ἔχει σύγχυσιν τοῦ μέτρου, ἐν τῷ ἀστρατείας τῆς ας συλλαβῆς μακρᾶς οὔσης, τοῦτο δὲ εἴτις παρεμυθήσατο, καθαρὸν εὑρίσκει τὸ μέτρον τροχαϊκὸν τετράμετρον καταληκτικόν. ἀλλὰ περὶ μὲν συνθήκης τοσαῦτα τῆς ἐν καθαρότητι, ἡ δὲ ἀνάπαυσις δῆλον κἀκ τῶν προειρημένων ὡς οἰκεία τις εἶναι τῇ συνθήκῃ κατὰ ἀνάγκην ὀφείλει, ἱστᾶσα τὸν λόγον ἐν ἰαμβικῷ τινὶ ἢ τροχαϊκῷ μέτρει τοῦ λόγου, καὶ καταλήξει ἤγουν ἢ τροχαϊκῇ ἢ ἰαμβικῇ, ὅσαι εἰσὶ καταλήξεις τροχαϊκῶν τε καὶ ἰαμβικῶν μέτρων, ἵνα δὴ καὶ ὁ ῥυθμὸς τοιοῦτος γένηται. μεταξὺ γάρ, ὅπερ ἔφην, εἰδέναι δεῖ τὸν ἐν πεζῷ λόγῳ ῥυθμὸν μέτρου τε φύσει καὶ μὴ μέτρου ἀλλ' ἀκριβεῖ μέν, ὅπερ ἔφην, λόγῳ τοιαύτην εἶναι δεῖ τὴν ἀνάπαυσιν τῆς καθαρότητος. εἰδέναι μέντοι χρὴ ὅτι πάντα ταῦτα ἡ συνθήκη ἡ κατὰ τοὺς πόδας οὖν γὰρ ἤ γε ἑτέρα, καὶ ἔτι ἡ ἀνάπαυσις, τό, τε δὲ ἀμφοῖν τούτοιν ἐμπλεκόμενον, ὁ ῥυθμός, καίπερ οὕτως ὄντα δυσχερῆ, καὶ εἰς τοσοῦτον ἀκριβολογηθέντα ἡμῖν ὅμως βραχέα σφόδρα συλλαμβάνει πρὸς καθαρότητα. συλλαμβάνει γε μέντοι εἰ καὶ βραχύ. ταυτὸν δὲ συμβαίνει σχεδὸν καὶ ἐπὶ τῶν ἄλλων ἰδεῶν, λέγω τῶν πλείστων, εἰ καὶ μὴ πασῶν· ὃ καὶ κατ' ἀρχὰς εὐθὺς ὅπου καὶ τῶν μουσικῶν ἐμνήσθην διεμαρτυράμην, ὅτι ἔλαττον τῶν ἄλλων, ἃ δὴ ποιεῖ τὰ τῶν λόγων εἴδη, ἰσχύουσιν ἐν αὐτοῖς αἵ τε ἀναπαύσεις καὶ οἱ ῥυθμοί, καὶ νὴ δία γε καὶ αἱ κατὰ τοὺς πόδας συνθῆκαι. τὴν δ' ὅλην

διάν

δύναμιν τῶν ἰδεῶν αἵ τε ἔννοιαι ἔχουσι καὶ αἱ λέξεις, μέθοδοί τε καὶ κῶλα καὶ σχήματα. δύνανται μέν τοι ποιῆσαι καὶ ῥυθμὸς, καὶ ἀνάπαυσις, καὶ συνθήκη, ἐν δὲ ἐνίαις τῶν ἰδεῶν καὶ πολὺ δύναται ταῦτα· ὥσπερ ἀμέλει ἐν τῷ κάλλει καὶ περὶ τὸν κεκαλλωπισμένον λόγον. δῆλον δὲ ἔσαι τοῦτο ἀκριβῶς ὅτε περὶ κάλλους λέγοιμεν. ἐν μέν τοι ποιῆσαι καὶ πάνυ πολὺ ἰσχύει ταῦτα, συνθήκη καὶ ῥυθμὸς καὶ ἀνάπαυσις, καὶ περὶ τούτων γε οὐδὲν πλέον ἡμᾶς δεῖ ζητεῖν. δῆλον γὰρ νομίζω πᾶσιν εἶναι. περὶ μὲν καθαρότητος ἀρκεῖ τοσαῦτα.

## ΠΕΡΙ ΕΥΚΡΙΝΕΙΑΣ.

Ἡ δὲ εὐκρίνεια ἔχει μὲν ἅμα καὶ φύσει σαφηνείας ἐργαστικά, τό γε μὴν πλεῖστον σχεδὸν ἐπικουρός ἐστι τῆς καθαρότητος πρὸς ὅπερ ἐκείνη ποιεῖν βούλεται. ἡ μὲν γὰρ βούλεται σαφῆ ποιῆσαι τὸν λόγον ἡ καθαρότης, ἡ δὲ, εἴ τι πάσχοι ὑπεναντίον αὐτῇ κατ' ἀνάγκην τινά, ἃ δὴ πολλαὶ περὶ τοὺς λόγους εἰσὶ δὲ ἁμαρτίαι, διορθοῦται ἡ εὐκρίνεια. καὶ τὸ πλεῖστόν γε ὅπερ ἔφην ἔχει περὶ τὴν μέθοδον. τό τε γὰρ τάξαι τί πρῶτον καὶ τί δεύτερον ἀπαιτεῖν χρὴ τοὺς δικάζοντας, εὐκρινείας ὂν, μέθοδον οἶμαί τις ἐστίν, οὐ γὰρ εἰ καὶ δεινῶς τι ποιεῖ, ὅταν λέγῃ, τίνων προσήκει τῇ πόλει λόγον παρὰ πρέσβεων λαβεῖν, καὶ ὅτι πρῶτον μὲν ὧν ἀπήγγελεν, εἶτα ὧν ἔπεισε καὶ τῶν ἑξῆς, οὐ τοῦτο νῦν σκεπτέον, ἀλλ' ὅτι διὰ δεινότητα συγχεῖν μέλλων τὰ πράγματα καὶ ἀναστρέφειν τάξιν τὴν ἐν αὐτοῖς, ὅμως περί γε ὧν αὐτὸς εἰπεῖν ἐβούλετο, προσήγαγε σαφήνειαν διὰ τῆς μεθόδου· περὶ δὲ μὴ τόδε τοῦδε πρῶτον εἰπεῖν, εἰ καὶ τῇ τάξει πρῶτον

ἦν ἀλλὰ τόδε, πολλάκις καὶ σαφέστερον ὁμοῦ καὶ δεινότερον ἐποίησε τὸν λόγον. ὥσπερ τὸ, δεῖ δὲ ὑμᾶς πρῶτον ἁπάντων ἀκοῦσαι καὶ μαθεῖν τί ποτ' ἐστὶ τὸ Χερρόνησον ὑμᾶς ἀσφαλῶς ἔχειν πεποιηκός· καὶ ὅτι ἡ πρὸς ἀλλήλους τῶν Θρᾳκῶν διαφορά· ἦν γὰρ ἂν ἀσαφὲς αὐτῷ τὸ κατασκευαζόμενον ἔμεινεν, εἰ Χαρίδημον πρῶτον διέβαλλεν ὅτι κατασκευάζει Κερσοβλέπτῃ τὴν ἀρχὴν, εἶθ' οὕτως ἐπήγαγε τὸ, τί ποτ' ἐστὶ τὸ Χερρόνησον ὑμᾶς ἔχειν ἀσφαλῶς πεποιηκός; νῦν δὲ τοῦτο ἐκείνου προθεὶς εὐθὺς καὶ ἐν προοιμίοις, ὅτι ἐστὶν αὐτῷ ἡ σπουδὴ ὑπὲρ τοῦ Χερρόνησον ἔχειν αὐτοὺς ἀσφαλῶς καὶ μὴ παρακρουσθέντας ἀποστερηθῆναι πάλιν αὐτῆς, καὶ μετὰ ταῦτα πάλιν εὐθὺς κατ' ἀρχὰς τοῦτο σαφηνίσας διὰ τοῦ κατασκευάσαι, τὴν ἀσφάλειαν εἶναι τῆς κτίσεως ἐν τῇ τῶν Θρᾳκῶν διαφορᾷ, εὐκρινῆ τε καὶ σαφῆ πεποίηκε τὸν λόγον· εἰ δ' ὅτι καὶ δεινὸν, ἑτέρου λόγου. ὅπερ μὲν οὖν ἔφην, εὐκρίνεια τὸ πλεῖστον ἐν τούτοις ἐστίν. οὐ μὴν ἀλλὰ καὶ διὰ τῶν ἄλλων γίνεται λόγος εὐκρινὴς, καὶ εἰσὶν ἔννοιαι μὲν εὐκρινεῖς, αἱ καταστατικαὶ πᾶσαι καὶ εἰς ἀρχὴν ἀνάγουσαι τὸν λόγον. οἷον, ἐστὶ δὲ ἀναγκαῖον ὦ ἀθηναῖοι καὶ προσῆκον ἴσως ὡς κατ' ἐκείνους τοὺς χρόνους εἶχε τὰ πράγματα, ὑμᾶς ὑπομνῆσαι, ἵνα πρὸς τὸν ὑπάρχοντα καιρὸν ἕκαστα θεωρῆτε· καὶ αἱ διατυποῦσαι τὰ μέλλοντα ῥηθήσεσθαι καὶ τὴν ἐν αὐτοῖς τάξιν. οἷον, δίκαιον δέ ἐστιν ἴσως ἐμὲ τρία ὑπεσχημένον ὑμῖν ἐπιδείξειν, ἓν μὲν, ὡς παρὰ τοὺς νόμους τὸ ψήφισμα εἴρηται, δεύτερον δὲ, ὡς ἀσύμφορον ἐστὶ τῇ πόλει, τρίτον δὲ, ὡς ἀνάξιός ἐστι Χαρίδημος τούτου τυχεῖν, ὅτι βούλεσθε τοῦτο πρῶτον διδάσκειν ὑμᾶς· εἶτ' ἐπήγαγεν, ὅτι περὶ τοῦ παρανόμου βούλεσθε πρῶτον; τοῦτο τοίνυν ἐροῦμεν. πολλάκις δὲ διεμαρτυράμην τοῦτο ὡς οὐ-

δεν δεῖ κατηγορεῖν τῶν λεγομένων, εἰ καὶ ἄλλο τί ἐστιν ἅμα τῇ εὐκρινείᾳ. καὶ γὰρ ἐνταῦθα πολὺ τὸ τῆς δεινότητος, ἀλλ' οὐ περὶ ταύτης νῦν. καὶ μὴν καὶ αἱ συμπληρώσεις ταῖς ἐννοίαις καὶ ταῖς μεθόδοις εὐκρινῆ ποιοῦσι τὸν λόγον, τὰ μὲν ἀναπαύουσαι τὰ προελθόντα, τῶν δὲ ῥηθησομένων πάντως ἔχουσαι κατασκευάς τινας, ἀφ' ὧν εἰς ἀρχὴν ὁ λόγος ἀνάγεται. οἷον ἓν μὲν τοίνυν πολίτευμα τοῦτο τοιοῦτον τοῦ νεανίου τούτου, ἕτερον δὲ ἀναμιμνήσκεσθε· εἶτα ἀρχὴν ἔλαβεν ὁ λόγος· οἷον, ὅτε γὰρ Πύθωνα Φίλιππος ἔπεμψε τὸν Βυζάντιον, καὶ τὰ ἑξῆς· καὶ πάλιν, οὐ τοίνυν μόνον μὴ λέγων ἀδικηθῆναι δεῖ σκοπεῖν, ἀλλὰ εἴ τις ἄλλος εὖ μὲν ἐποίησεν ὑμᾶς, καὶ τὰ ἑξῆς· καὶ πολλὰ τούτου παραδείγματα. ἔννοιαι μὲν οὖν εἰσὶν εὐκρινείας αὗται, μέθοδοι δὲ εὐκρινείας αἵ τε προειρημέναι, καὶ ἔτι τὸ κατὰ φύσιν τῶν πραγμάτων χρῆσθαι τῷ λόγῳ, τὰ πρῶτα τιθέντας πρῶτα, καὶ τὰ δεύτερα δεύτερα, καὶ τὰ ἄλλα ὁμοίως, ὅπερ ἐστὶ πολὺ παρὰ τῷ Ἰσοκράτει, οὐ μὴν δεινοῦ γε τύπου ταῦτα οὐδὲ δημοσθενικοῦ. διόπερ ὡς ἑτέρως ὁ ῥήτωρ ποιῶν, τά γε εὐκρινέστατα τὴν σύγχυσιν, ἐν τῷ παραλαμβάνει, καθάπερ ὀλίγῳ πρότερον ἐδείξαμεν. συμβαίνει δὲ ἂν ἴσως ποτὲ καὶ τὸ τὴν οὖσαν τάξιν τοῖς πράγμασι φυλάττειν δεινότητος εἶναι, φανερὸν δὲ ποιήσομεν ἀκριβῶς τοῦτο ἐν τῷ περὶ μεθόδου δεινότητος. ἔτι κατὰ φύσιν τῶν πραγμάτων ἐστὶν εὐκρινὲς τὸ τὰς ἀντιθέσεις πρώτας τῶν λύσεων τιθέναι, καὶ τοῦτο ὁ μὲν Ἰσοκράτης σχεδὸν ἀεὶ ποιεῖ, οὐ μὴν ὅ γε ῥήτωρ ἀεί, ἀλλ' ὥσπερ καὶ τῶν ἄλλων ἕκαστον τῇ τάξει τίθησιν, ὅπως ἂν αὐτῷ λυσιτελῇ, πρῶτον, ἢ τελευταῖον, ἢ μέσον, οὕτω καὶ τὰς ἀντιθέσεις λύει, ποτὲ μὲν προθεὶς τὰς λύσεις αὐτῶν,

ποτὲ δὲ ἐπάγων, ἔστι δ' ὅτε μέσας τῶν λύσεων ἐκείνας τιθείς.
ὁ δὲ περὶ ἀντιθέσεως εἰσαγωγῶν λόγος, ἐν τῷ περὶ μεθόδου
δεινότητος ἡμῖν ἀκριβῶς ῥηθήσεται. ἀλλὰ μέθοδοι μὲν εὐ-
κρινείας αὗται, λέξις δὲ εὐκρινὴς ἥπερ καὶ καθαρά. σχήματα μὲν
εὐκρινείας, τὸ κατ' ἄθροισιν ὡρισμένον· οἷον ἐνταῦθα δύο εἴρη-
κε, τόδε καὶ τόδε. οὔτε γὰρ ἀπήντησεν ὁ ἀκούων πλείονα τῶν
δύο, καὶ τὸ δεύτερον πρόσιδε ῥηθησόμενον. ὥστε ἀφ' οὗπερ κα-
τ' ἄθροισιν ἔλεγε, προδιευκρίνει. τοιαῦτα δὲ σχήματα καὶ ὁ με-
ρισμὸς καὶ ἡ ἀπαρίθμησις. τὸ μὲν γὰρ ἐφέλκεσθαι ἄλλα νοή-
ματα περιβάλλει τὸν λόγον, τὸ δ' εὐθὺς ἀρχομένου τοῦ λέγοντος
ἐμφαίνεσθαι τοῖς ἀκούουσιν ὅτι ἕπεται καὶ ἄλλο τι νόημα, προ-
διευκρίνεται τὸ πᾶν· ἄν τε γὰρ εἴπῃ πρῶτον μὲν τόδε, ὅτι καὶ
δεύτερόν τι ἐρεῖ, προεπίσταται. ἐάν τε τὸ, ἔδει μὲν ὦ ἀθηναῖοι
τοὺς λέγοντας, καὶ τὰ ἑξῆς, ἀναμένουσιν ὁμοίως ἕως ἂν ἀνταπο-
δῷ τὸν σύνδεσμον. εὐκρινείας οὖν καὶ ταῦτα. ἔτι καὶ κατὰ τὸ
σχῆμα εὐκρινὴς γίνεται ὁ λόγος, ὅταν ὁ λέγων οἷον ἑαυτὸν ἐρω-
τῶν, εἶτα ἀποκρίνηται κατὰ διάστασίν τινα, ὥσπερ ἐν τοῖς τοιοῖσ-
δε, τίνος οὖν ἕνεκα ταῦτα λέγω; καὶ πάλιν· πῶς οὖν;
καὶ πάλιν, διατί δὲ; καὶ τὰ τοιαῦτα. πολλοῖς τοιούτοις ἐν
τῷ κατὰ ἀριστοκράτους τὸ παράνομον ἐξετάζων κέχρηται ἀναγ-
καίως. σαφηνείας γὰρ μάλιστα κατ' ἐκεῖνο τὸ χωρίον δεῖ τῷ λό-
γῳ. καὶ μὴν καὶ αἱ ἐπαναλήψεις μάλα χρήσιμοι πρὸς εὐκρί-
νειαν καὶ σαφήνειαν. ἐπειδὰν γάρ τι προθῇς σχῆμα τῶν ἐφελ-
κομένων ἕτερον νόημα, εἶτ' ἀναγκασθῇς ὑπερβαλεῖν ἄλλα τινὰ
νοήματα πρὶν ἀποδοῦναι τὸ ἀκόλουθον, ἀνάγκη ἐπαναλαβεῖν
καὶ διευκρινῆσαι, ἵνα μή σοι ἀσαφὲς καὶ συγκεχυμένος γένη-
ται ὁ λόγος, ὥσπερ εἴωθε ποιεῖν καὶ ὁ δημοσθένης. οἷον, τὸ μὲν

οὖν τὴν Φιλίππου ῥώμην διεξιέναι, καὶ διὰ τούτων τῶν λόγων προτρέπειν τὰ δέοντα ποιεῖν ὑμᾶς, οὐχὶ καλῶς ἔχειν ἡγοῦμαι. διατί φησίν; ὅτι διὰ τοῦ καὶ τό· καὶ πολλὰ εἰπὼν κατασκευαστικὰ τῆς προτάσεως, οὐκ ἐπήγαγεν εὐθὺς τὸ ἑξῆς νόημα, τό, ἃ δὲ καὶ χωρὶς τούτων ἔνι, ἀσαφὴς γὰρ ἂν οὕτως ὁ λόγος τῆς ἀκολουθίας μὴ φαινομένης ἐγένετο, ἐπαναλαβὼν οὖν τὸ πρῶτον εἰπών, τό, ταῦτα μὲν οὖν παραλείψω, εἶθ' οὕτως ἐπαγαγὼν τό, ἃ δὲ καὶ χωρὶς τούτων ἔνι, εὐκρινῆ τε σαφῆ πεποίηκε τὸν λόγον. πάλιν ἐν τῷ κατ' αἰσχίνου· τίνος οὖν φησὶν ἕνεκα ταῦτα λέγω; ἑνὸς μὲν ὦ ἀθηναῖοι μάλιστα καὶ πρώτου, ἵνα μηδεὶς ὑμῶν ἐπειδὰν ἄρτι λέγοντος ἀκούῃ μου, θαυμάζῃ, εἶτα πολλὰ ἐπεμβαλὼν καὶ μεσώσας τὸ λόγον, ἀναγκαίως τῇ ἐπαναλήψει κέχρηται ἵνα διευκρινήσῃ. πρώτου μὲν οὖν τούτου, καὶ μάλιστα οὗπερ εἶπον ἕνεκα, ταῦτα διεξῆλθον· δευτέρου δέ τινος καὶ οὐδενὸς ἐλάττονος ἢ τούτου. πολλὰ τούτου παραδείγματα ἔχεις παρὰ τἀνδρί. ταῦτα καὶ περὶ σχημάτων εὐκρινείας. κῶλα μέντοι, καὶ συνθῆκαι, ἀναπαύσεις τε καὶ ῥυθμοὶ εὐκρινείας οἱ αὐτοί εἰσι καὶ καθαρότητος. καὶ περὶ μὲν σαφηνείας τοσαῦτα· καὶ γινώσκειν γε χρή. διισχυρισαίμην γὰρ ἂν ὅτι λόγος σαφὴς μὴ ταῦτα ἢ τούτων τι ἔχων οὐκ ἂν γένοιτο, λέγω τῶν ἤτοι τὴν καθαρότητα ποιούντων ἢ τὴν εὐκρίνειαν. ἐναντίον δὲ εὐκρινείας σύγχυσις, ἣ δὴ γίνεται ὅταν χωρὶς τῶν ποιούντων εὐκρίνειαν παρεμβάλλῃ τις καὶ μεσὸν ποιῇ τὸν λόγον· ἥπερ καὶ κακία ἐστὶ λόγου. οὐ γὰρ ἥ γε ἁπλῶς ἀσάφεια κακία ἂν εἴη λόγου. ἐπεὶ αἵ γε ἐμφάσεις, οἷον οἱ δὲ συνειπόντες ὅτου δή ποτε ἕνεκα. ἐῶ γὰρ τοῦτό γε, καὶ τὰ ἐσχηματισμένα τῶν ζητημάτων οὐ σαφῶς λέγει τὰ πράγματα, καὶ οὐ κατὰ κακίαν φήσομεν προάγεσθαι δήπου, οὐδὲ εἶναι τοῦ λό-

γου

γου κακίαν, λεκτέον δ᾽ ἂν εἴη μετὰ ταύτην περὶ μεγέθους λόγου. δεῖ γὰρ τῷ σαφεῖ μεγέθους τινὸς καὶ ὄγκου. πρόσκειται γὰρ τῷ σφόδρα σαφεῖ τὸ εὐτελὲς καὶ το ταπεινόν, ὃ δὴ ἐναντίον ἐστὶ τῷ μεγέθει.

## ΠΕΡΙ ΑΞΙΩΜΑΤΟΣ ΤΟΥ ΛΟΓΟΥ ΚΑΙ ΜΕΓΕΘΟΥΣ.

Μετὰ δὲ τὸν περὶ σαφηνείας λόγον ἀκόλουθον ἂν εἴη περὶ μεγέθους εἰπεῖν λόγου, διότι καὶ ἀναγκαῖόν ἐστι, τῷ σαφεῖ μέγεθός τε προσεῖναι πάντως, καὶ ὄγκον τινὰ καὶ ἀξίωμα. πρόσκειται γὰρ τῷ σφόδρα σαφεῖ τὸ εὐτελές, ὃ δὴ τὸ ἐναντίον ἐστὶ τῷ μεγέθει· ὅπερ (οἶμαι) καὶ ὁ ῥήτωρ συγγνούς, διὰ μὲν τὸ πάντως δεῖν σαφῆ τὸν πολιτικὸν εἶναι λόγον, δι᾽ ὅλου κέχρηται τοῖς ποιοῦσι τὴν σαφήνειαν, διὰ δὲ τὸ κινδυνεύειν ἕνεκα ταύτης ἐκπίπτειν αὐτῷ τὸν λόγον εἰς τὸ εὐζωνότερον, κατέμιξεν αὐτῇ τὰ ποιοῦντα τὸ μέγεθος· καὶ διαφερόντως πεπλεόνακε τῇ περιβολῇ. ἀλλὰ διότι μὲν ταύτῃ πεπλεόνακεν, αὐτίκα ἐν τῷ λόγῳ τῷ περὶ αὐτῆς εἰρήσεται, νυνὶ δὲ ἀναγκαῖόν ἐστι δήπουθεν πρῶτον περί τε αὐτοῦ τοῦ μεγέθους καὶ τῶν ποιουσῶν ἰδεῶν τὸ μέγεθος, εἰπεῖν, ὧν δὴ μία ἐστὶ καὶ ἡ περιβολή, ἵνα μὴ συγχέηται ἡμῖν ὁ λόγος. μέγεθος τοίνυν καὶ ὄγκον λόγου καὶ ἀξίωμα ποιοῦσιν ἰδέαι αἵδε, σεμνότης, καὶ περιβολή, τραχύτης, λαμπρότης, ἀκμή, καὶ ἔτι ἡ σφοδρότης, βραχεῖ τῳ διαλλάττουσα τῆς τραχύτητος, ὡς ἐν τῷ λόγῳ τῷ περὶ αὐτῆς ἔσται φανερόν. τούτων δὲ ἡ μὲν σεμνότης ἐφ᾽ ἑαυτῆς ἐστὶ καὶ ἡ περιβολή, αἱ δὲ ἄλλαι πᾶσαι συμπλέκονταί πη,

καὶ

καὶ πάλιν, οὗ συμπλέκονται κατά τι πρὸς ἀλλήλας μέρεσί τισι κοινωνοῦσαι, καὶ πάλιν ἑτέροις κεχωρισμέναι. διὸ περὶ μὲν σεμνότητος ἤδη λελέξεται, περὶ δὲ τῶν λοιπῶν μετὰ τὰ περὶ ταύτης. ἡ δὲ περιβολὴ ἐφ' ἑαυτῆς μέν ἐστιν, ὥσπερ ἔφην, ἐν ὑστέρῳ δὲ ὁ περὶ αὐτῆς εἰρήσεται λόγος, διὰ τὸ πλεονάζειν μὲν ἐν αὐτῇ τὸν ῥήτορα, τὴν δὲ αἰτίαν ἡμᾶς δι' ἣν ταύτῃ πλείονι χρῆται καὶ τὸν ὄγκον, ἄλλως μὴ δύνασθαι γνῶναι, πρὶν ἂν περὶ τραχύτητός τε μαθεῖν, καὶ λαμπρότητος, ἀκμῆς τε καὶ σφοδρότητος. ἀλλὰ πρῶτόν γε περὶ σεμνότητος, ἣ τάχα ἂν ἐναντίον εἴη ἀφελείᾳ, περὶ ἧς ἐν τοῖς περὶ ἤθους λέξομεν.

## ΠΕΡΙ ΣΕΜΝΟΤΗΤΟΣ.

Ἔννοιαι τοίνυν εἰσὶ σεμναὶ μάλιστα μὲν αἱ περὶ θεῶν, ὡς περὶ θεῶν λεγόμεναι. ἐπεὶ τό, ἦ ῥα καὶ ἀγκὰς ἔμαρπτε κρόνου παῖς ἣν παράκοιτιν, καὶ ὅσα τοιαῦτα, οὐχ ὡς περὶ θεῶν εἴρηται. διὸ πόρρω μοι δοκεῖ σεμνότητος εἶναι καὶ κατὰ τὴν ἔννοιαν, πλέον δὲ μετέχειν ἡδονῆς καὶ γλυκύτητος. ἀνθρωποπαθῶς γὰρ καὶ τὸ ὅλον εἰπεῖν, ποιητικῶς λέλεκται, τὸ πλεῖστον δὲ ἡδονῆς ἡ ποίησις οἶμαι στοχάζεται. περὶ θεῶν δὲ ὡς περὶ θεῶν τὰ τοιαῦτα λέγεσθαί φημι· οἷον, ἀγαθὸς ἦν, ἀγαθῷ δὲ οὐδεὶς περὶ οὐδενὸς ἐγγίνεται φθόνος. καὶ πάλιν. βουληθεὶς γὰρ ὁ θεὸς ἀγαθὰ μὲν πάντα, φαῦλον δὲ μηδὲν εἶναι κατὰ δύναμιν. καὶ πάλιν, παραλαβὼν γὰρ ὁ θεὸς πᾶν ὅσον ἦν ὁρατὸν οὐχ ἡσυχίαν ἄγον, ἀλλὰ κινούμενον πλημμελῶς καὶ ἀτάκτως. καὶ ὅλως πολλὰς ἂν εὕροις τοιαύτας ἐννοίας παρὰ τῷ πλάτωνι· καὶ γὰρ αὗται εἰσὶν ἐκ τοῦ τιμαίου, παρὰ μέν τοι τοῖς ῥήτορσιν

ἥκιστα. ἐπεὶ καὶ τὰ ἐν Δηλιακῷ Ὑπερίδου, ποιητικῶς μᾶλλον καὶ μυθικῶς εἴρηται, τὸ δὲ αἴτιον οὐχὶ νῦν ἀνάγκη λέγειν. τὰς μέντοι μετά γε τὰς τοιαύτας, οἷον δευτέραν ἢ τρίτην σεμνότητος ἐχούσας τάξιν ἐννοίας, καὶ μάλα ἂν εὕροις παρὰ τῷ Δημοσθένει, καί τινας αὐτῶν παρὰ τοῖς ἄλλοις· ἀλλὰ πρῶται μὲν, ὥσπερ ἔφην, καὶ μάλιστα, εἰσὶν ἔννοιαι αἱ περὶ θεῶν, ὡς περὶ θεῶν λεγόμεναι, καθάπερ εἴρηται, δεύτεραι δὲ μετ' ἐκείνας σεμναὶ αἱ περὶ τῶν θείων ὡς ὄντων πραγμάτων· οἷον ὡρῶν φύσεις εἰ ἐξετάζοι τις, ὅπως τε καὶ καθ' ἃς αἰτίας γίνονται, καὶ τὴν τοῦ παντὸς περιφορὰν καὶ φύσιν, ἢ κινήσεις γῆς ἢ θαλάττης εἰ ζητοίη τις ὅπως γίνονται, ἢ σκηπτῶν φοράς, ἢ ὅλως τοιαῦτα. ταῦτα δὲ εἰ μὲν οὕτως ἐξετάζοιτο κατὰ τὰς αἰτίας, σεμνὸν μόνον, οὐ μὴν καὶ πολιτικὸν δύναται ποιεῖν τὸν λόγον. ποῦ γὰρ ἂν εἴη πολιτικὸν τὸ, ὁ ἥλιος ἀπελαυνόμενος ὑπὸ τῶν χειμερινῶν ὥραν, καὶ τὰ ἑξῆς εἰρημένα παρὰ τῷ Ἡροδότῳ. ἢ πάλιν παρὰ τῷ Πλάτωνι τόδε· οἷον ἥ γε τοῦ παντὸς περίοδος κυκλοτερὴς οὖσα καὶ τὰ γένη πάντα συμπεριλαβοῦσα σφίγγει πάντη, καὶ κενὴν χώραν οὐδεμίαν ἐᾷ λείπεσθαι. διὸ δὴ πῦρ μὲν εἰς ἅπαν διελήλυθεν, ἀὴρ δὲ δεύτερον, ὡς λεπτότητι δεύτερον ἔφυ, καὶ τὰ ἄλλα ταύτῃ, καὶ τὰ ἑξῆς. τοῦ δ' ἂν λόγου πολιτικοῦ τὸ ζητεῖν ὅπως κινεῖται γῆ, καὶ ὅτι ἐπικλύσει ἢ ὑπονοστήσει ὕδατος· ἢ πάλιν περὶ σκηπτῶν φορᾶς, ἢ τὰ τοιαῦτα. ταῦτ' οὖν, ὅπερ ἔφην, εἰ μὲν οὕτως ἐξετάζοιτο, σεμνὸν μόνον, οὐ μὴν καὶ πολιτικὸν ποιεῖ τὸν λόγον. διὸ καὶ μετὰ τὰς πρώτας σεμνότητος ἐννοίας, εὐθύς εἰσιν αὗται δεύτεραι, εἰ μέντοι κατὰ ἔκφρασιν αὐτῶν τῶν λεγομένων λέγοι τις αὐτά, ἀλλὰ μὴ τὰς αἰτίας ζητῶν, καθ' ἃς γίνεται, πολιτικὸν ὁμοῦ καὶ σεμνὸν ποιεῖ τὸν λόγον· ὡς ὁ Ἀριστείδης

ἀντὶ

ἀντιλέγων τῷ καλλιξένῳ συμβουλεύοντι μὴ θάπτειν τοὺς δέκα στρατηγούς, ἐπειδὴ ἀνῃρέθησαν μιᾷ ψήφῳ. χαμαιλέων γοῦν ἐκφράσει πεποίηται εἰς ἀπολογίαν τῶν ὑπὲρ αὐτῶν· οἷον, σκηπτὸς ἦν ὦ καλλίξενε, σκηπτὸς ὁ ταῦτα κωλύσας, οὔτε λόγῳ ῥητός, οὔτε ἔργῳ φορητός. ἄρτι μὲν γὰρ συνιούσης τῆς ναυμαχίας ὠδίνειν ἡ θάλασσα, καὶ κατέβαινεν ἑλλησποντίας λαμπρός, καὶ τὰ ἑξῆς. τρίτη δὲ σεμνότητος ἐννοιῶν τάξις, ἡ περὶ πραγμάτων, ἃ δὴ φύσει μέν ἐστι θεῖα, τὸ πλεῖστον δὲ ἐν ἀνθρώποις θεωρεῖται· οἷον, εἰ λέγοι τις περὶ ψυχῆς ὅτι ἀθάνατος, ἢ περὶ δικαιοσύνης, ἢ σωφροσύνης, ἢ τῶν τοιούτων διεξίοι μέν, ἢ περὶ τοῦ βίου παντός, ἢ τί νόμος, ἢ τί φύσις, ἢ τὰ τοιαῦτα· οἷον, ὅτι νόμος ἐστὶν εὕρημα μὲν καὶ δῶρον θεῶν, καὶ τὰ ἑξῆς· καὶ πάλιν, ὅτι ἐστὶν ὁ μὲν νόμος κοινὸν καὶ τεταγμένον καὶ ταυτὸν ἐν πᾶσιν, ἡ φύσις δὲ ἄτακτον καὶ κατ' ἄνδρα ἴδιον τοῦ ἔχοντος· καί, πέρας μὲν γὰρ ἅπασιν ἀνθρώποις ἐστὶ βίου, θάνατος· καί, πᾶς ὁ τῶν ἀνθρώπων βίος φύσει καὶ νόμοις διοικεῖται· ἁπλῶς δὲ εἰπεῖν, πάντα ὅσα ἐκ τῶν καθόλου γενικῶς λέγεται, σεμνὰς ἔχει πως τὰς ἐννοίας, καὶ μάλιστα, εἰ μένων ἐπὶ τοῦ καθόλου τις, διαπαντὸς αὐτὰ ἐργάζοιτο. εἰ γὰρ προσλάβοι τὸ κατ' εἶδος, ἄλλο τι γίνεται. οἷον, πονηρόν, ὦ ἀθηναῖοι, πονηρὸν ὁ συκοφάντης ἀεί, καὶ πανταχόθεν βάσκανον καὶ φιλαίτιόν ἐστι, τοῦτο δὲ καὶ φύσει κίναιδος τἀνθρώπιόν ἐστιν· ἕτερον γάρ τοι πεποίηκε προσλαβὼν τὸ κατ' εἶδος. ἐκ γὰρ τῶν καθόλου καὶ τοῦ ἐπὶ μέρους συντεθέντων ὅ, τε πολιτικὸς καὶ ὁ περιβεβλημένος, οὐ μὴν αὐτὸ τοῦτο εἰπεῖν, ὁ σεμνὸς γίνεται. τετάρτην γε μὴν σεμνότητος ἔχουσι τάξιν μετ' ἔννοιαι αἱ περὶ ἀνθρωπίνων μὲν κατὰ μόνας πραγμάτων, μεγάλων δὲ καὶ ἐνδόξων· οἷον τὸ περὶ τῆς ἐν μαραθῶνι μάχης,

ἢ τῆς ἐν πλαταιαῖσιν, ἢ τῆς ἐν σαλαμῖνι ναυμαχίας εἴτις λέγοι, καὶ τὸ ἄθω, καὶ τὸ ἑλλησπόντου, καὶ τῶν τοιούτων, εἰ δέ τι ταύταις καὶ μυθικὸν ὡς παρὰ τῷ ἡροδότῳ, σεμνὸν ἅμα ἡδονῇ, ἔτιτο, οἷον, ὁ ἴακχος καὶ τὰ τοιαῦτα, ἑτέρου λόγου. ἀλλ᾽ ἔννοιαι μὲν αὗται σεμνότητος, μέθοδοι δὲ σεμναὶ αἱ κατὰ ἀπόφανσιν καὶ χωρὶς ἐνδοιασμοῦ, ἐξ ἀφηγήσεως λεγόμεναι. ὡς γὰρ εἰδότας ἀκριβῶς δεῖ λέγειν καὶ μετ᾽ ἀξιώματος, ἀλλ᾽ οὐκ ἐνδοιάζοντας ὅτι τουτοῦ φροντίζοιμεν, τῆς διαρκοῦς λέγω σεμνότητος, ἀλλὰ μὴ ἄλλου τινός. τὸ γὰρ, εἴτε ἥρωες ἦσαν, εἴτε θεοί, σεμνὸν ὄν, πλέον ἔχει τοῦ πολιτικοῦ τε καὶ πιθανοῦ κατὰ τὴν ἐνδοίασιν. καὶ μὴν καὶ αἱ ἀλληγορικαὶ μέθοδοι, ὅτι διαρκοῖεν, σεμνὸν ποιοῦσι τὸν λόγον· ὥσπερ ἐν τῷ, ὁ μὲν δὴ μέγας ἡγεμὼν ἐν οὐρανῷ ζεὺς, πτηνὸν ἅμα ἐλαύνων φέρεται, καὶ τὰ ἑξῆς. λέγω δὲ τοῦτο, εἰ μὴ ἑκών τις διὰ τῶν εὐζώνων καὶ εὐτελῶν τινὰς ἀλληγοροίη. τότε γὰρ οὐκ ἔτι σεμνὸν, ἄλλης δέ τινος ἐννοίας ποιεῖ τὸν λόγον, καὶ σχεδὸν τῆς εὐτελοῦς. καὶ μὴν καὶ τὸ δι᾽ ἐμφάσεων, μυστικῶς τι καὶ τελεσικῶς ἐν ταῖς σεμναῖς τῶν ἐννοιῶν ὑποσημαίνειν, μεθόδου σεμνῆς. ὡς γὰρ αὐτοὶ μὲν εἰδότες, οὐκ ὄντες δὲ οἷοί τε λέγειν εἰς τοὐμφανὲς αὐτὰ, ἐνδεικνύμεθα διὰ τῆς μεθόδου ταύτης μέγεθός τι καὶ σεμνότητα ἐννοίας· ὥσπερ ὁ πλάτων ὅταν λέγῃ τὸ, ὄντως ὄν, καί, ἀγαθὸς ἦν, καὶ τὰ τοιαῦτα, ἤδη δήπου καὶ ἀνέπτυξε τὴν μέθοδον ταύτην, εἰπὼν, ὅτι τόδε τι εὑρεῖν τε χαλεπὸν, καὶ εὑρόντα εἰς πάντας λέγειν ἀδύνατον. ἀλλ᾽ αὗται μὲν τῆς φύσει σεμνῶν ἐννοιῶν, χρήσιμοι πρὸς αὔξησιν σεμνότητος καὶ αἱ τοιαῦται μέθοδοι, ἐν δὲ ταῖς πολιτικωτέραις, οὐκ ἔτι αἱ ἐμφάσεις, σεμνότητος, ἑτέρου δέ τινος ἐργασικαί. μέθοδοι μὲν οὖν αὗται σεμνότητος καὶ ἔννοιαι, λέξις δὲ σεμνὴ πᾶσα μὲν

ἡ.

Universitäts- und Landesbibliothek Düsseldorf

ἡ πλατεῖα καὶ διογκοῦσα κατὰ τὴν προφορὰν τὸ στόμα, ὥστε στομφάζειν, καὶ, ὅπερ ἐπιτηδεύουσί τινες, τοῦτο ἀναγκάζεσθαι ποιεῖν τῇ φύσει τῶν λέξεων αὐτῶν. τοιαῦται δὲ καὶ ἄλλαι μέν τινες, ἐξαιρέτως δὲ αἵ τε διὰ τοῦ α καὶ διὰ τοῦ ω πλεῖστον χρώμεναι· ὥς που καὶ ὁ Πλάτων τὴν διωνισικὴν φασὶ φωνισικὴν ἀπονομάσαι τινάς, ἀποσεμνύνοντας τῷ ω. καὶ περὶ τοῦ α λέγοιτ' ἄν τι τοιοῦτον. ὁ γὰρ Θεόκριτος ἀχθόμενόν τινα πεποίηκε Δωριαζούσαις γυναιξί, διὰ τὸ πλατύνειν, διὰ τοῦ α τὰ πλεῖστα χρωμένας, τὴν φωνήν, μάλιστα δὲ τὰ στοιχεῖα ταῦτα τὸ ω καὶ τὸ α διαίρει τε καὶ διογκεῖ τὸν λόγον, εἰ κατὰ τὰς τελευταίας συλλαβὰς εἴη τῶν λέξεων, οἷον, ὁ μὲν δὴ μέγας ἡγεμὼν ἐν οὐρανῷ Ζεύς, δεύτεραι δὲ σεμνότητος λέξεις καὶ αἱ διὰ τοῦ ο στοιχείου κατὰ μόνας εἴς τι μακρὸν καταλήγουσαι, οἷον, Ὀρόντης, καὶ αἱ ταῖς μακραῖς τε καὶ διφθόγγοις πλεονάζουσαι, καὶ αἱ τὰ τελευταῖα ἐν ταύταις ἔχουσαι, πλὴν τῆς ει διφθόγγου· καὶ εἰ καθ' αὑτὸ δὲ τὸ ι τιθοῖτο, ἥκιστα σεμνὴν ποιεῖ τὴν λέξιν πλεονάζουσαν. συστέλλει γὰρ μᾶλλον καὶ σεσηρέναι ποιεῖ, διογκοῖ δὲ οὐδαμῶς τὸ στόμα. καὶ μὴν καὶ αἱ τροπικαὶ λέξεις, σεμναὶ καὶ διωγκωμέναι, κίνδυνος δὲ ἐν ταύταις οὐ μικρὸς περὶ τὴν χρῆσιν. αἱ μὲν γὰρ μετρίως ἔχουσαι ποιοῦσι τὸν λόγον σεμνόν· οἷον, τὴν ἀγαθὴν προβαλλομένους ἐλπίδα, ἀντὶ τοῦ τὰ ἀγαθὰ ἐλπίζοντας, ὁρᾷς ὅτι διὰ τὸ σφόδρα ἔχειν μετρίως τὸ προβαλλομένους οὐδὲ ἐμφαίνεται ἡ τροπή. αἱ μετρίως μὲν οὖν ἔχουσαι τοιαῦταί εἰσιν, εἰ δὲ ὑπερβαίνει τι τοῦ μετρίου, τραχύνουσι τὸν λόγον· οἷον, αἱ δὲ πόλεις ἐνόσουν. διὸ καὶ ἐξηγήσεως αὐτῷ ἐδέησε. τὸ γάρ, τῶν μὲν ἐν τῷ πολιτεύεσθαι καὶ πράττειν δωροδοκούντων, καὶ τὰ ἑξῆς, τοῦ ἐνόσουν ἐστὶν ἐξηγητικά, εἰ δὲ ὑπερβαίη τι ἐπὶ πλέον αἱ τρο

ται, σκληρότερον ποιοῦσι τὸν λόγον· ὥσπερ καὶ τὸ, ἐκνενευρισμένοι, καὶ τὸ, πεπρακὼς ἑαυτόν, καὶ τὸ, λωποδυτῶν τὴν Ἑλλάδα· περαιτέρω δὲ τούτων εἰ προέλθοιεν, καὶ παχύτερον καὶ σχεδὸν εὐτελέστερον αὐτὸν ποιοῦσι· παράδειγμα τούτου δημοσθενικὸν μὲν οὐκ ἂν λάβοις, οὐδὲ γάρ ἐστι, παρὰ δὲ τοῖς ὑποξύλοις τουτοισὶ σοφισταῖς πάμπολλα εὕροις ἄν. τάφους τε γὰρ ἐμψύχους, τοὺς γῦπας λέγουσι, ὧν περ εἰσὶ μάλιστα ἄξιοι, καὶ ἄλλα τοιαῦτα ψυχρευόμενοι πάμπολλα· ἐκτραχηλίζουσι δὲ αὐτοὺς αἵ τε τραγῳδίαι πολλὰ τούτου ἔχουσαι παραδείγματα, καὶ ὅσοι τῶν ποιητῶν τραγικώτερόν πως προαιροῦνται, ὥσπερ ὁ πίνδαρος. ἀλλ' ὑπὲρ μὲν τῶν οὕτω χρωμένων τῷ λόγῳ, τῶν τραγῳδοποιῶν δὲ λέγω ἢ πινδάρου, τάχ' ἂν ἔχοι μέν τι λέγειν, ὃν τὸ παρὸν δὲ ὁ καιρός, εἰς τὸ δέον ἀναβεβλήσθω· ὑπὲρ μέντοι τῶν ἐν πολιτικῷ λόγῳ τοιαύταις χρωμένων τραχύτησιν, οὐδεμίαν ἀπολογίαν εὑρίσκω. ἔτι δὲ σεμνὴ λέξις ἥ τε ὀνομαστικὴ καὶ αὐτὰ τὰ ὀνόματα. ὀνομαστικὴν δὲ λέγω τήν τε ἀπὸ τῶν ῥημάτων εἰς ὀνόματα πεποιημένην ἢ τὴν διὰ μετοχῶν ἢ ἀντωνυμιῶν, καὶ τῶν τοιούτων. ὡς ἐλάχιστα γὰρ ἐν σεμνότητι δεῖ χρῆσθαι τοῖς ῥήμασιν, ὥσπερ ὁ θουκυδίδης. σχεδὸν μὲν γὰρ διόλου βούλεται ποιεῖν τοῦτο, καταφανῶς δὲ αὐτὸ ἐν τῇ περὶ στάσεως ἐκφράσει τῶν κερκυραίων πεποίηκε. πλὴν γὰρ τοῦ ἐνομίσθη, τἆλλα πάντα σχεδόν ἐστιν ὀνόματά τε καὶ ὀνομαστικά· οἷον, τόλμα μὲν γὰρ ἀλόγιστος, ἀνδρεία φιλέταιρος ἐνομίσθη· μέλλησις δὲ προμηθής, δειλία ἀπρεπής· τὸ δὲ σῶφρον, τοῦ ἀνάνδρου πρόσχημα, καὶ τὰ ἑξῆς. εἰ δέ τι ἐν τούτοις καὶ σκληρότητος ἢ τραχύτητος ὕπεστιν, ἑτέρου λόγου. τοιοῦτόν ἐστι καὶ τὸ παρὰ τῷ δημοσθένει ῥηθέν τε ὁμοῦ καὶ θεωρηθὲν ὑπ' αὐτοῦ· λέγω τὸ, οὐ γὰρ τὰ ῥήματα τὰς

οἰκ

δικαιότητας ἔφη βεβαιοῦν· εἶτα ἡ θεωρία, μάλα σεμνῶς ὀνομάζων. λέξεις μὲν οὖν αὗται σεμναί, σχήματα δὲ σεμνὰ ἅπερ καὶ καθαρά, ἡ ὀρθότης λέγω, καὶ εἴτι τοιουτότροπον. καὶ μὴν καὶ αἱ ἐπικρίσεις εἴτε ἔννοιαί τινες εἴτε σχήματα εἶεν σεμναί. οἷον, λέγω δὲ δὴ τὸν λειπόμενον κόσμον, ὅ τε νόμος κελεύει ἀπολλύναι, καὶ χρή, καὶ ὁ ῥήτωρ, ὀρθῶς καὶ καλῶς βουλευόμενοι. πάντα γὰρ τὰ τοιαῦτα ἀξιωματικὰ καὶ σεμνά. αἱ δὲ μετ᾽ ἐνδοιάσεως ἐπικρίσεις, ἠθικαί, ἀλλ᾽ οὐ σεμναί· οἷον, δεῖ δέ με, ὡς ἔοικε, καὶ περὶ οὐ φιλολοίδορον ὄντα. καὶ ὅλως πᾶσα ἐνδοίασις ἠθικώτερον ποιεῖ τὸν λόγον. δεῖ γὰρ ἀποφαίνεσθαι τὸν μέλλοντα ἀξίωμά τι τῷ λόγῳ προστιθέναι καὶ σεμνότητα. οἷον, οὐκ ἦν τοῦ πρὸς ἡμᾶς πολέμου πέρας, οὐδ᾽ ἀπαλλαγὴ Φιλίππῳ· ἐὰν γὰρ εἴπῃς, οὐκ ἦν οἶμαι πέρας, καὶ τὰ ἑξῆς, ἠθικὸν ποιεῖς. καὶ μὴν καὶ τὸ εἰς τὴν αὐτὴν γνώμην ἀναφέρειν ἔτι τῶν ῥηθησομένων, ἀξιωματικὸν καὶ σεμνόν· οἷον, βούλομαι τόδε εἰπεῖν· καὶ ὁ Θουκυδίδης, Ἀγαμέμνων τέ μοι δοκεῖ τῶν τότε δυνάμει προὔχων· ἥκιστα δὲ αἱ ἀποστροφαί τε καὶ ὑποστροφαί, λόγου σεμνοῦ ἢ καθαροῦ. τοὐναντίον γὰρ, καὶ διαφθείρουσι καὶ καθαιροῦσιν αὐτοῦ τὸ σεμνὸν αὗται· καὶ πάλιν αὖ, τὸ καθαρὸν διαφθείρουσί τε ὡσαύτως κατὰ τὰς ἐπεμβολὰς καὶ ἀναχαιτίζουσαι τὸ ἄφετον αὐτοῦ καὶ ἐλεύθερον, καὶ πρὸς τὸ κοινότερον καὶ πολιτικώτερον ἄγουσαι· καθάπερ τό, κἂν μεγάλην πόλιν οἰκῶσι, κἂν μικράν, μεταξὺ τοῦ ἅπας ὁ τῶν ἀνθρώπων βίος φύσει καὶ νόμοις διοικεῖται, πεποίηκε τεθέν. οὐ γὰρ ὅμοιον ἦν, εἰ οὕτως εἶπεν, ὡς προείρηται· ἢ κατὰ τὴν ὑποστροφὴν διακόψαντα, οἷον, ἅπας ὁ τῶν ἀνθρώπων βίος, κἂν μεγάλην πόλιν οἰκῶσι,

κἂν

κὰν μικρὰν, φύσει καὶ νόμοις διοικεῖται. ἀλλὰ τοῦτο μὲν γοργὸν ἅμα τῷ πολιτικῷ καὶ σεμνόν ἐστιν, ἐκεῖνο δὲ, καθαρῶς σεμνὸν ἂν ἦν καὶ ἀμιγές. δεῖ οὖν, εἰ μὲν διόλου μέλλει σεμνὸς ἡμῖν ὁ λόγος μένειν, ἐκείνως, ἀλλὰ μὴ οὕτως αὐτὸν ἐργάζεσθαι· εἰ δὲ τοὐναντίον, ὡς ἑτέρως δηλαδή. κῶλα γε μὴν σεμνὰ ἅπερ καὶ καθαρὰ, λέγω τὰ βραχύτερα. ὥσπερ γὰρ ἀφορισμοὺς αὐτὰ εἶναι δεῖ, οἷον, ψυχὴ πᾶσα ἀθάνατος. τὸ γὰρ ἀεικίνητον, ἀθάνατον· καὶ, νόμος ἐστὶν εὕρημα μὲν καὶ δῶρον θεῶν, δόγμα δὲ ἀνθρώπων φρονίμων, καὶ τὰ ἑξῆς. γένοιτο δ' ἂν πού καὶ μακρότερον ἐν σεμνότητι κῶλον κατ' ἀνάγκην τινά· συνθῆκαι γε μὴν σεμναὶ αἱ τῆς μὲν συγκρούσεως ἕνεκα τῶν φωνηέντων μὴ μικρολογούμεναι, τῷ δὲ ὅλῳ δακτυλικαί τε οὖσαι καὶ ἀναπαιστικαὶ, παιωνικαί τε, καὶ ἔστιν ὅτε ἰαμβικαὶ σπονδειακαί τε, καὶ μᾶλλον. διὸ καὶ αἱ ἐξ ἐπιτρίτων ἁρμόττουσι τῷ σεμνῷ, τροχαϊκαὶ μέν τοι καὶ ἰωνικαὶ, ἐναντίαι σεμνότητι. τεκμήριον δὲ τούτου πεποίηκεν ἐναργὲς ὁ διαφθείρας τόδε τὸ ἔπος, σείων πηλιάδα μελίην κατὰ δεξιὸν ὦμον, καὶ διὰ τῆς ἐναλλαγῆς τῶν λέξεων ἀπὸ τοῦ δακτυλικοῦ ἐπὶ τὸ ἰωνικόν τε καὶ τὸ συγγενὲς τῷ ἰωνικῷ τροχαϊκὸν μεθαρμόσας αὐτὸ οὕτως, σείων μελίην πιλειάδα δεξιὸν κατ' ὦμον. δύο γάρ εἰσιν ἐνταῦθα ἰωνικαὶ συζυγίαι, καὶ μετὰ ταῦτα τὸ ἰθυφαλλικὸν καλούμενον μέτρον, ἐκ τριῶν συγκείμενον τροχαϊκῶν, δι' ὧν ἐκλάσθη πᾶς ὁ ῥυθμὸς βιασθεὶς πρὸς τὸ ἐναντίον ἐλθεῖν δακτυλικοῦ καὶ σεμνότητος. καὶ ἐπ' ἄλλων δ' ἂν ἴδοις οὐκ ὀλίγων ὁμοίως ταυτὸν γινόμενον, μόνων τῶν λέξεων καὶ τοῦ ῥυθμοῦ μεταγόντων αὐτὰ εἰς πολὺ τοὐναντίον. οἷον, ὡς ὁ πρόσθ' ἵππων καὶ δίφρου κεῖτο τανυσθείς, βεβρυχώς, κόνιος δεδραγμένος αἱματοέσης· εἰ γὰρ μεταθείης τὰς

λέξεις,

λέξεις, ποιήσεις αὐτὸ τροχαϊκὸν ἐπίμικτον μετὰ ταῦτα· ὡς ὁ πρόσθ' ἵππων καὶ δίφρου κεῖτο τανυσθείς, αἱματοέσσης κόνιος δεδραγμένος βεβρυχώς. ὅμοιον γὰρ τοῦτο ἐκείνῳ, ἔνθ' οἱ μὲν ἐπ' ἄκραισι πυραῖς νέκυες ἔκειντο, ξένης ἐπὶ γαίης ὀρφανὰ τείχεα προλιπόντες, ἥβην τ' ἐρατεινὴν καὶ καλὸν ἡλίου πρόσωπον· καὶ πάλιν, ἀλλ' ἔχον ὥστε τάλαντα γυνὴ χερνῆτις ἀληθὴς ἥτε σταθμὸν ἔχουσα καὶ εἴριον ἀμφὶς ἀνέλκει, ἰσάζουσ' ἵνα παισὶν ἀεικέα μισθὸν ἄροιτο. εἰ γὰρ μεταμειφθεῖεν κἀνταῦθα αἱ λέξεις, ἔσται τετράμετρον. περὶ δὲ ἀναπαύσεως σεμνῆς ὁ αὐτὸς λόγος, ὅσπερ ἦν ἡμῖν καὶ περὶ καθαρότητος. δεῖ γὰρ ἵστασθαι τὸν λόγον ἐπί τινος τῶν οἰκείων ποδῶν τῇ σεμνότητι· χωρὶς μέν τοι καταλήξεως, ἵνα μὴ εἰς τροχαῖον ἐμπέσῃ ἡ βάσις, μηδὲ ἁρπασθῇ ὁ ῥυθμός, ἀλλὰ βεβηκὼς ᾖ. μάλιστα δ' ἂν βεβήκοι, εἰ πρῶτον μὲν εἰς ὄνομα καταλήγοι, ἢ ὀνομαστικὸν τὸ μὴ ἔλαττον ὂν τριῶν συλλαβῶν· οἷον, εἰς τουτονὶ τὸν ἀγῶνα. ἔπειτα εἰ πλείους εἶεν κατὰ τὴν ἀνάπαυσιν αἱ μακραὶ τῶν συλλαβῶν, ἵνα σπονδεῖος ἤ τις τῶν ἐπιτρίτων, πλὴν τοῦ τετάρτου, τὴν βάσιν ποιῇ· οἷον, ἅπας ὁ τῶν ἀνθρώπων βίος φύσει καὶ νόμοις διοικεῖται· διαφερόντως δὲ σεμνὴν ἔχει τὴν βάσιν ὁ ῥυθμός, εἰ ἡ ἀνάπαυσις καταλήγοι ἢ παραλήγοι τότε στοιχείῳ τινὶ πλατεῖ, καὶ διογκοῦντι κατὰ τὴν προφορὰν τὸ στόμα, καθάπερ ἔφην ὀλίγῳ πρότερον ἐν τῷ περὶ λέξεως σεμνῆς. ἐκ δὲ τῶν προειρημένων δῆλος ἂν εἴη καὶ ὁ ῥυθμὸς ὁποῖος, εἰδέναι μέν τοι χρὴ ὅτι εἰ καὶ δι' ὅλων ἐξ ἐπιτρίτων ἢ δακτυλικῶν ἢ τινῶν τοιούτων ὁ λόγος συντεθείη, αἱ δὲ ἀναπαύσεις μὴ καταλήγοιεν οὕτως ὥστε καὶ τὰ ἐφεξῆς ἔχειν τοὺς οἰκείους πόδας τῇ σεμνότητι, οἱ ῥυθμοὶ οὐκ ἔτι γίνονται σεμνοί. ταυτὸ τοῦτό φημι καὶ περὶ πάσης ἰδέας. εἰ γὰρ καὶ

συντεθείη τις λόγος διὰ τῶν τοιούτων ποδῶν, οἳ δὴ ποιοῦσι εἶδος ὁτιοῦν λόγων, αἱ δὲ ἀναπαύσεις μὴ διὰ αὐτῶν πληρουμένων γίνοιντο, λέγω τῶν ποδῶν ἁρμοττόντων τῇ ἰδέᾳ, ἀλλὰ μεταξὺ διακόπτοιντο οἱ πόδες, μεθίστανται οἱ ῥυθμοί· καὶ μᾶλλον ἑτέρου τινὸς εἴδους οἰκεῖοι εὑρίσκονται, ἢ οὗπερ οἱ πόδες ἦσαν, δι' ὧν ὁ πᾶς λόγος συνέκειτο.

## ΠΕΡΙ ΤΡΑΧΥΤΗΤΟΣ.

Τῶν ποιουσῶν μέγεθος λόγου καὶ ὄγκον, ἔφην μετὰ σεμνότητα ποιεῖν τὴν τραχύτητα, μετ' οὖν τὸν περὶ σεμνότητος λόγον ἕποιτ' ἂν λέγειν περὶ τραχύτητος. ἡ τραχύτης τοίνυν καὶ νὴ Δία γε ἡ λαμπρότης θεωροῦνται μὲν καὶ καθ' ἑαυτὰς ἑκατέρα, ὥσπερ καὶ ἡ σεμνότης, εἰσὶ δὲ καὶ τῆς ἀκμῆς ἐργασικαί, ὥσπερ ὑποβεβηκυῖαι, αὐτῇ δι' ὧν γίνονται ὑποβεβήκασιν. οἷον ἐννοίᾳ, μεθόδῳ, λέξει, καὶ τοῖς λοιποῖς. ἀλλ' ἵνα μὲν αὐτῶν ἐστὶν ἴδια, ἵνα δὲ καὶ τῆς ἀκμῆς συνεργά· οἷον, ἔννοιαι μὲν καὶ λέξεις τραχεῖαι γένοιντ' ἂν καὶ ἀκμαῖαι, κῶλα δὲ τραχέα, οὐκέτι ἀκμαῖα. πάλιν σχήματα μὲν καὶ κῶλα λαμπρὰ ποιεῖ καὶ ἀκμήν, οὐ μὴν ἔννοιαί γε λαμπραὶ ποιοῦσιν ἀκμήν. διὰ τοῦτο τοίνυν οὐχὶ προτάξαντες τὴν ἀκμήν, εἶτα ὡς διὰ τῆς λαμπρότητος καὶ τραχύτητος γινομένην δείκνυμεν, καθάπερ τὴν σαφήνειαν ἐδείκνυμεν, ὅτι εὐκρίνειά τε ποιεῖ καὶ καθαρότης, ἀλλ' ἰδίᾳ περὶ ἑκάστης λέγομεν αὐτῶν τά τε ἄλλα, καὶ ὅτι οὐ μόνον διὰ τούτων ἡ ἀκμή, ἀλλὰ καὶ διά τινων σφοδρότητος ἰδίων γίνεται, ὡς ἐν τῷ περὶ αὐτῆς λόγῳ φανεῖται. ὥστε ἀναγκαῖον χωρὶς περὶ ἑκάστης εἰπεῖν, καὶ πρῶτόν γε περὶ τῆς τραχύτητος, ἧς δὴ ἐναντίον ἐστὶ γλυκύτης. ὁ γὰρ τραχὺς λόγος πικρός τε καὶ ἄγαν ἐπιτιμητικός ἐστιν. ἀλλὰ περὶ μὲν γλυκύτητος καὶ ἡ-

δονῆς ἐν τῷ περὶ ἀφελείας ἡμῖν λελέξεται, νυνὶ δὲ λέγομεν
περὶ τῆς τραχύτητος, ἔννοιαι τοίνυν εἰσὶ τραχεῖαι πᾶσαι
αἱ τῶν μειζόνων προσώπων ἐπιτίμησιν ἔχουσαι, ἀπό τινος τῶν
ἐλαττόνων προσώπων ἀπαρακαλύπτως, ὥσπερ τό, εἴπερ τὸν ἐγ=
κέφαλον ἐν τοῖς κροτάφοις, ἀλλὰ μὴ ἐν ταῖς πτέρναις καταπε
πατημένον φορεῖτε· καὶ τό, ἀλλὰ μανδραγόραν πεπωκόσιν ἤ τι
φάρμακον ἄλλο τοιοῦτον ἐοίκατε μὲν ἀνθρώποις· καὶ πάλιν
ἐν ταῖς ἐπιστολαῖς, εἰ δὲ τὸ περιφανὲς ἀξίωμα τῆς βουλῆς ἢ τὸν ἄρειον
πάγον προσβλέπετε, τῆς ἀριστογείτονος κρίσεως ἀναμνησθέν=
τες ἐγκαλύψασθε, καὶ ὑμεῖς δὲ ἐκνενευρισμένοι καὶ περιῃρημέ=
νοι χρήματα, συμμάχους ἐν ὑπηρέτου καὶ προσθήκης μέρει γε=
γένησθε, ἀγαπῶντές φησιν εἰ θεωρικὰ ἢ βοΐδια πέμψουσιν
ὑμῖν εἰς τὰς ἑορτάς· καὶ πάλιν, παντάπασιν γὰρ ἐκ=
λελύσθαι μοι δοκεῖτε καὶ παθεῖν ἀναμένειν τὰ δεινά, ἑτέρους
δὲ πάσχοντας ὁρῶντες οὐ φυλάττεσθε· καὶ τό, οὔτε σωφρόνων οὐδὲ
γενναίων ἐστὶν ἀνθρώπων, ἐλλείποντάς τι δι' ἔνδειαν χρημάτων
τῶν τοῦ πολέμου, εὐχερῶς τὰ τοιαῦτα ὀνείδη φέρειν. τουτὶ δὲ
ἤδη τῇ μεθόδῳ καὶ τελειότερον γέγονεν. ἐν γὰρ τῷ καθόλου
εἴρηται, καὶ οὐχ ἁπλῶς ἐπετίμησε. πλὴν ἥ γε ἔννοια τραχεῖα, τοῖς
δὲ κώλοις ἄμφω τὰ τελευταῖα ταυτὶ παραδείγματα, καὶ ἀκμῆς
οὐ πόρρω, ὡς ἐν τῷ περὶ ἀκμῆς ἔσται φανερόν. οὐ μὴν τά γε
πρῶτα τοιαῦτα ἦν παραδείγματα, ἀλλὰ καθαρῶς τραχέα.
δυσχερὲς δὲ παρὰ τῷ δημοσθένει καθαρὰν εὑρεῖν τραχύτητα.
διὸ καὶ ἐφιλοτιμήθημεν τῶν φανερῶν μηδεμίαν παραλιπεῖν.
δυσχερὲς δὲ εὑρεῖν. διότι πανταχοῦ αὐτὰς ὁ ἀνὴρ τῷ συμ=
πλέκειν τισὶ καὶ ταῖς μεθόδοις λεαίνει. ἐπεὶ καὶ τοῦτο, ὃ καὶ αὐ
τό ἐστιν ἐν ἐπιστολαῖς. τὸ γὰρ τῷ τοιούτῳ τοῦτον κεχρῆσθαι

τὸν τρόπον, ἐμοὶ μὲν ἂν εὖ οἶδ' ὅτι συμφορὰ φανείη, κακία δὲ
οὐδεμία· ὑμετέρα δ' ἀγνωμοσύνη, τραχὺ μὲν ἐστὶ τῇ ἐννοίᾳ, μεθο
δευθὲν δὲ οὕτω καὶ συμπλακὲν τῷ πρὸ αὐτοῦ τε καὶ μεθ' ἑαυ
τὸ, λειότερόν πως γέγονε. καίτοι ὁ τὸ ἐπαγόμενον ἔχει τι τρα
χύτητος, ἔστι δὲ τὸ, ἣν τῷ μεταγνῶναι λύσατε· καὶ μὴν ὁ
τὸ, ὦ, τί ἂν εἰπὼν, μήτε ἁμαρτάνειν δοκοίην, μήτε ψευσαίμην
λίαν ὀλίγωροι, οὔτε τοὺς ἄλλους, οὔτε ὑμᾶς αὐτοὺς αἰσχύνεσθε, ἐφ'
οἷς ἀριστογείτονα ἀφήκατε, ἐπὶ τούτοις δημοσθένην ἐκβεβληκό
τες τοιοῦτόν ἐστιν, οἷον ἔχειν τέ τινα διόρθωσιν καὶ μετρίαν λειό-
τητα κατὰ τὴν διαπόρησιν. ὅλως τε τοιούτων μὲν παραδειγμά-
των οὐκ ἀπορήσεις, λέγω τῶν ἐχόντων τινὰ διόρθωσιν. πολλὰ
γάρ ἐστι τοιαῦτα καὶ παρὰ τῷ ῥήτορι καὶ παρὰ τοῖς ἄλλοις, κα-
θαρῶς δὲ τραχύτητα παρά γε τούτῳ δυσχερὲς εὑρεῖν. πάνυ γὰρ
τῷ τοιούτῳ σπανίως χρῆται, πλὴν εἰ μή τις οἴοιτο ταυτὸν εἶναι
σφοδρότητά γε καὶ τραχύτητα. ἀλλ' ὅπῃ μὲν ἀλλήλων ταῦ
τα διαφέρει, μικρὸν ὕστερον φανεῖται, παραδείγματα δὲ καὶ ἀ-
παραμυθήτου τραχύτητος, παρὰ μὲν τῷ ῥήτορι καὶ πάνυ, ὡς
ἔφην, ἐστὶ σπάνια, ὁ δὲ ἀριστογείτων σοι ἄφθονα παρέξει νὴ δία, εἰ
βούλοιο καὶ παρ' ἐκείνου λαβεῖν παραδείγματα. πολλὰ δὲ τοιαῦ
τα καὶ παρὰ τῷ δεινάρχῳ. ἀλλὰ περὶ μὲν ἐννοιῶν τῶν ποιουσῶν
τὸν τοιοῦτον λόγον, τοσαῦτα, μέθοδος δὲ τραχύτητος μία
τὸ ἀπαρακαλύπτως καὶ ψιλῶς κατ' ἐπιτίμησιν, ἀλλὰ μὴ ἄλ-
λως πως μηδὲ συμπλέκοντα τοῖς λεαίνουσι τὴν τραχύτητα
εἰσάγειν τὰς τοιαύτας τῶν ἐννοιῶν. παραδείγματα δὲ αὐτῆς
αἱ μικρῷ πρότερον ῥηθεῖσαι καθαρῶς εἶναι τραχύτητες. τρα
χεῖαι γὰρ ἔννοιαι τραχέως ἐκεῖ καὶ μεθοδευθῆσαν, λέξις δὲ τρα
χεῖα ἡ τετμημένη καὶ ἀφ' ἑαυτῆς σκληρά· οἷον ἐστὶ καὶ τὸ κα-

τα

ταπεπατημένον φορεῖτε· καὶ τό, ἐκλέλυσθε ὦ ἀθηναῖοι καὶ ἀναπεπτωκότες κάθησθε· καὶ τό, ἐκνενευρισμένοι· καὶ τό, τατεωθί κατέφαγε· καὶ τό, διορωρυγμένοι κατὰ πόλεις· καὶ τό, περικόπτων καὶ λωποδυτῶν τὴν ἑλλάδα, καὶ ὅσα τοιαῦτα. αὗται μὲν οὖν διὰ τὸ τετράφθαι εἰσὶ τραχεῖαι, ἀφ᾽ ἑαυτῶν δὲ σκληραὶ αἱ τοιαῦται· οἷον, ἀτραπὸς ἔμαρψεν, ἔγναμψε, καὶ ὅσα τοιαῦτα. ἔχει δέ τι τοιοῦτον καὶ τό, περικόπτων, καὶ τό, ἐκνενευρισμένοι, εἰ καὶ μὴ τοσοῦτον, ὅσον αἱ προειρημέναι. ἀλλὰ λέξεις μὲν αὗται τραχεῖαι, σχήματα δὲ τραχέα μάλιστα μὲν τὰ προστακτικά· οἷον, τῆς ἀριστογείτονος κρίσεως ἀναμνησθέντες ἐγκαλύψασθε· ἔπειτα δὲ τὰ κατ᾽ ἐρώτησιν ἐλεγκτικά. οἷον, εἶτα ὀλύνθιοι μὲν ἴσασι τὸ μέλλον προορᾶν, ὑμεῖς δὲ ὄντες ἀθηναῖοι ταυτὸ τοῦτο οὐχὶ φυλάξεσθε; καὶ πάλιν, οὐχ ὁρᾶτε, ὡς ἐναργὲς καὶ σαφὲς τούτων παράδειγμα οἱ ταλαίπωροι γεγόνασιν ὀλύνθιοι; καὶ πάλιν, βουλεύεσθε ὦ ἀθηναῖοι θηβαίους ἔχοντες ἐν νήσῳ; καὶ τὰ ἑξῆς. εἰ γὰρ ἀφέλοι τις τῆς ἐννοίας ταύτης, τὴν μέθοδον καὶ τὸ παράδειγμα εἶναι, προηγουμένως δὲ λέγειν αὐτό τις θείη τὸν δημοσθένην ἤ τινα ἕτερον καθ᾽ ὑποκειμένου, ἀλλὰ μὴ ὡς εἰπόντος τινὸς ἀναμιμνήσκοντα, σφόδρα ἔσται τραχέα, καὶ διαφερόντως γε κατὰ τὰ σχήματα. δέχεται μέντοι ἡ τραχύτης κατὰ δεύτερον ἢ τρίτον λόγον σχεδὸν ἅπαντα τὰ σχήματα, ὥσπερ οἶμαι καὶ ἄλλαι ἰδέαι· ἀλλὰ τά γε οἰκεῖα αὐτῆς ταῦτα, κῶλα δὲ τραχέα τὰ βραχύτερα, καὶ ἃ μηδὲ κῶλα, κόμματα δὲ καλεῖν ἄμεινον. οἷον, οὐκ ἐμβησόμεθα; οὐκ ἔξειμεν; οὐκ ἐπὶ τὴν ἐκείνου πλευσούμεθα; καὶ πάλιν, πότε οὖν ὦ ἀθηναῖοι, πότε ἃ χρὴ πράξομεν; ἐπειδὰν τί γένηται; ἐπειδὰν νὴ Δί᾽ ἀνάγκη τις ᾖ; νυνὶ δὲ τί χρὴ τὰ γινόμενα ἡγεῖσθαι;

συνθήκη δὲ τραχεῖα ἡ συγκρούσεις τε φωνηέντων ἔχουσα, καὶ ἀνοικείων ἑαυτῆς καὶ ἀνακολούθων ποδῶν συγκειμένη, ὡς μηδαμῇ προσβάλλειν τινὰ ἦχον μέτρου, μηδὲ ἔχειν τινὰ ἡδονὴν κατ᾽ αὐτὴν τὴν συνθήκην, μηδ᾽ ὅλως εὐρυθμίας ἔμφασιν, ἀλλ᾽ εἶναι μᾶλλον οἷον ἄρρυθμόν τινα καὶ δυσηχον, τραχύνουσαν τὴν ἀκοήν. ποιεῖ δὲ μάλιστα τοῦτο ἡ ἀνάπαυσις ἡ ποιά, ὥσπερ κἀν ταῖς ἄλλαις ἰδέαις ἔφαμεν, ὅτι ἡ ἀνάπαυσις ἡ ποιὰ μετὰ τῆς συνθήκης τῆς ποιᾶς τὸν ῥυθμὸν ἀπεργάζεται. ἡ οὖν ἀνάπαυσις ἡ ἐν τῇ τραχύτητι κατὰ τοὺς πόδας, ὥσπερ καὶ ἡ συνθήκη ἀνακόλουθος ἔσω, νῦν μὲν ἐπὶ τοῦδε, νῦν δὲ ἐπὶ τοῦδε τοῦ ποδὸς ἀναπαυομένου τοῦ κώλου· καὶ γίνεται οὕτω τραχὺς καὶ ὁ ῥυθμός, καὶ δυσηχὸς ὡς ὁ λόγος, καὶ οἷον μηδὲ ῥυθμός τις ὤν. ταῦτα δὲ ποιεῖ καὶ τὸν ἐν σφοδρότητι ῥυθμόν. ἀλλ᾽ ἤδη γε περὶ πάσης σφοδρότητος λεκτέον, ἵνα καὶ ὅπη διαφέρει τῆς τραχύτητος ἐπιγνῶμεν. ἀντίκειται δὲ ταύτῃ πάντως μὲν καὶ ἡ γλυκύτης, καθάπερ καὶ τῇ τραχύτητι, ἰδίως δὲ καὶ τῇ σφοδρότητι τὸ ἐναντίον ἡ ἐπιείκεια, περὶ ἧς καὶ αὐτῆς ἐν τῷ περὶ ἤθους λελέξεται.

## ΠΕΡΙ ΣΦΟΔΡΟΤΗΤΟΣ.

Ἡ δὲ σφοδρότης ἐννοίας μὲν ἔχει καὶ αὐτὴ τὰς ἐπιτιμητικὰς καὶ ἐλεγκτικάς, καθάπερ ἡ τραχύτης, ἀλλ᾽ ἡ μὲν τραχύτης κατὰ μειζόνων προσώπων, καὶ αὐτῶν δὲ τῶν δικαστῶν ἢ ἐκκλησιαστῶν γίνεται, ὡς ἐδείξαμεν, ἡ δὲ σφοδρότης κατὰ ἐλαττόνων προσώπων, οἷον κατὰ τῶν ἀντιδίκων, ἢ καθ᾽ ὧν καὶ οἱ ἀκούοντες δέξαιντο ἡδέως· οἷον, εἰ κατὰ Φιλίππου λέγοι ὁ Δημοσθένης, ὅτι βάρβαρος, ὄλεθρος, μακεδών, καὶ τῶν τοιούτων.

καὶ

καὶ ταύτῃ γε πρῶτον διαφέρει τραχύτητος ἡ σφοδρότης κατ' ἔννοιαν. διὸ καὶ φανερωτέρας ἔχει τὰς κατηγορίας αὐτή, σχεδὸν λοιδορίας οὔσας, ὥσπερ ἐν τῷ λεγομένῳ κοινῷ τόπῳ. ὑποδέχεται γὰρ τὰ πρόσωπα ταῦτα τὸ τοιοῦτον εἶδος, ἐκεῖνα δὲ οὐκ ἔτι, λέγω τὰ τῆς τραχύτητος. παράδειγμα σφοδρότητος σχεδὸν μὲν ἅπας ὁ κατὰ ἀριστογείτονος τοῦ δημοσθένους λόγος, ἐπιφανέστερον δὲ αὐτοῦ τοῦτο, οὗτος οὖν αὐτὸν ἐξαιτήσεται ὁ φαρμακός; ὁ λοιμός; ὃν οἰωνίσαιτ' ἄν τις μᾶλλον ἰδὼν ἢ προσειπεῖν βούλοιτο; πολλὰ δ' ἄν τις καὶ ἀπὸ τῶν ἄλλων αὐτοῦ λόγων λάβοι τοιαῦτα· οἷον, ἔπειτα ὦ κατάρατε καὶ γραμματοκύφων· καὶ πάλιν, ἀλλὰ μὴ σπερμολόγος, περίτριμμα ἀγορᾶς, ὄλεθρος, γραμματεύς· καὶ πάλιν, τί οὖν ὦ ταλαίπωρε συκοφαντεῖς; τί λόγους πλάττεις; τί σαυτὸν οὐκ ἐλλεβορίζεις; καὶ σοὶ μὲν γὰρ ἦν ὁ πατὴρ κλέπτης εἴπερ ἦν ὅμοιός σοι. καὶ ὅλως, ὅπερ ἔφην, μυρία τούτου καὶ ἐν δικανικοῖς καὶ ἐν συμβουλευτικοῖς ἐστὶ παραδείγματα. ἀλλ' ἔννοιαι μὲν αὗται σφοδρότητος, εἰ δέ τις αὐτὰς καὶ τραχείας ὀνομάζειν βούλοιτο, ἢ πάλιν τὰς τραχείας σφοδράς, οὐδὲν ἐμοί γε διοίσει, πλὴν, ὅτι γε διαφέρουσιν ἀλλήλων, καὶ ὅτι πλέον ἔχει τι σφοδρότητος τῆς τραχύτητος· καὶ ὡς οὐκ ἂν δύναιο σφοδρότητι χρῆσθαι ὑπὲρ τοῦ μείζονος ἢ κατὰ σὲ προσώπου, πλὴν εἰ οἱ ἀκούοντες ἡδέως δέχοιντο, δῆλον ἐκ τούτων καὶ ὅτῳ μικρὸν αἰσθήσεως τῶν περὶ λόγους μέτεστι, μέθοδος δὲ σφοδρότητος σχεδὸν ἡ αὐτή, ἥπερ καὶ τραχύτητος. τὸ γὰρ ἀπερικαλύπτως καὶ φανερῶς, ἔτι τε ψιλῶς, ἀλλὰ μὴ συμπλέκοντά τισι τῶν ἀνειμένων ἐννοιῶν λέγειν τὰς τοιαύτας ἐννοίας, μηδὲ ἄλλως πως σφοδροῦ λόγου, παραδείγματα δὲ αὐτοῦ τὰ

προσ

προειρημένα πάντα. καὶ μὴν καὶ λέξις σφοδρὰ ἥπερ ἦν καὶ τραχεῖα, ἐνταῦθα δὲ καὶ ποιεῖν ὀνόματα ἴσως ἐγχωρεῖ τραχέα, ὥσπερ ὁ ῥήτωρ ἐποίησε τὸ ἰαμβοφάγος, καὶ τὸ γραμματοκύφων, καὶ εἴ τι τοιοῦτον, ἐν τραχύτητι δὲ οὐχ εὗρον ὄνομα οὕτω πεποιημένον. καὶ ταύτῃ ἂν οὖν ἴσως διαφέροι ἡ σφοδρότης τῆς τραχύτητος, σχῆμα δὲ σφοδρὸν τὸ κατὰ ἀποστροφήν· οἷον, παρὰ σοὶ κατέλυον Αἰσχίνη, καὶ σὺ προὐξένεις αὐτόν. καὶ ἡ ἐρώτησις δὲ ἡ τοῦ ὑποκειμένου προσώπου ἀποστροφή ἐστι, καὶ ἔχει πρὸς τῇ σφοδρότητι καὶ ἐλεγκτικόν τι· διὸ καὶ τὰ τοιαῦτα σχήματα ἐπὶ τῶν οὐκ ἐπιδεχομένων ἀντίρρησιν παραλαμβάνεται· οἷον, ἀλλὰ τί ἐχρῆν Αἰσχίνη ποιεῖν τὴν πόλιν, ἀρχὴν καὶ τυραννίδα τῶν Ἑλλήνων ὁρῶσαν αὑτῷ κατασκευαζόμενον Φίλιππον; πότερον ἐχρῆν αὐτὴν Αἰσχίνη τὸ φρόνημα ἀφεῖσαν καὶ τὴν ἀξίαν τὴν ἑαυτῆς ἐν τῇ Θετταλῶν καὶ Δολόπων τάξει, καὶ τὰ ἑξῆς. σφοδρὸν σχῆμα καὶ τὸ δεικτικόν, οἷον, ὁ βάσκανος οὗτος ἰαμβοφάγος· καὶ πάλιν, ὁ γὰρ τὰ ψευδῆ δεῦρ' ἀπαγγείλας, καὶ τάδε φησὶ καὶ τάδε ποιήσας, εἶτ' ἐπήγαγε τὴν δεῖξιν, οὗτός ἐστιν ὁ τὰ Θηβαίων νῦν ὀδυρόμενος πάθη· φανερὸν δὲ ἐκ τούτων ὅτι καὶ κατὰ τὰ σχήματα ἡ σφοδρότης διαφέρει τῆς τραχύτητος, οὐ μόνον κατὰ τὰς ἐννοίας καὶ κατὰ τὰς λέξεις, ὡς προείρηται. καὶ μὴν ἴσως καὶ κατὰ τὰ κῶλα διαφέρει. σφοδρὰ μὲν γὰρ καὶ τὰ μηδὲ κῶλα, κόμματα δέ, ἃ καὶ ἡ τραχύτης ἔχει. πλέον γε μὴν γίνεται τὸ σφοδρὸν ἐν ἐκείνοις ἃ μηδὲ κόμματά ἐστιν. ἀλλ' ὡς ἐπιτοπλεῖστον καὶ κατ' ὄνομα ἀναπαύει τὸν λόγον, οἷον, ὁ φαρμακός, ὁ λοιμός· καὶ πάλιν, ἀλλὰ μὴ σπερμολόγος περίτριμμα ἀγορᾶς, ὄλεθρος, γραμματεύς, καὶ ὅσα τοιαῦτα· περὶ δὲ συνθήκης σφοδρᾶς ἢ ἀναπαύσεως ἢ ῥυθμοῦ οὐδὲν δεῖ πάλιν διεξιέναι. δῆλα γὰρ τὰ τοιαῦτα,

πάντες

πάντως μὲν που καὶ ἀπὸ τῶν προειρημένων, οὐ μὴν ἀλλὰ, κἂν τῷ περὶ τραχύτητος ἱκανῶς εἴρηται. τὰ αὐτὰ γὰρ περὶ τούτων κἀνταῦθα κἀκεῖ. ἕπεται τῷ περὶ τραχύτητος καὶ σφοδρότητος ὁ περὶ λαμπρότητος λόγος· ᾧ πάλιν ἀντίκειται τρόπον μὲν τινὰ καὶ πᾶς ὁ κατὰ γοργότητα προϊὼν λόγος, ἰδίᾳ δὲ ὑπὲρ, λαμπρότητος ἐναντίον ἐστὶ τὸ κομματικὸν καὶ διαλεκτικὸν, καὶ ὅλως τὸ ἀγωνιστικὸν εἶδος τῶν λόγων. ἀλλὰ περί γε τῆς λαμπρότητος ἤδη λεκτέον.

## ΠΕΡΙ ΛΑΜΠΡΟΤΗΤΟΣ.

Μετὰ τὸν περὶ σεμνότητός τε καὶ τραχύτητος λόγον, ἔτι τε σφοδρότητος, ἀναγκαῖον εἰπεῖν περὶ λαμπρότητος. τῶν γὰρ ποιούντων τὸ μέγεθός τε καὶ τὸ ἀξίωμα τοῦ λόγου ἰδεῶν, ἐν τοῖς μάλιστά ἐστιν ἡ λαμπρότης. τά τε γὰρ ἄλλα, ἀναγκαία ἡ ἰδέα τῷ ἀξιωματικῷ λόγῳ, καὶ ὅτι δεῖ τῷ σεμνῷ τε καὶ τραχεῖ καὶ σφοδρῷ προσεῖναί τι πάντως καὶ φαιδρότητος, ἵνα μὴ πάντως αὐστηρὸς ᾖ· φαιδρότητος δὲ οὐ τῆς ἐν ὡραϊσμῷ, ἢ δὴ γλυκύτητός τε καὶ ἀφελείας ἐστὶν, οὐδὲ τῆς κατ᾽ ἐπιμέλειαν συνθήκης κάλλος ἐχούσης τι. καί περ γὰρ ὂν κομματικὸν τοῦτο καὶ πλεονάζον παρὰ τοῖς ῥήτορσι, ὅμως λεπτόν ἐστι, καὶ οὐκ ἔχει διάρμα οὐδὲ μέγεθος. οὐκοῦν ταύτης δεῖ τῆς φαιδρότητος τῷ μεγέθει ὡς καθ᾽ αὑτὸ, ἀλλὰ τῆς ἀξιωματικῆς. ταύτην δὲ ποιεῖ ἡ λαμπρότης, περὶ ἧς ῥητέον. περὶ γὰρ τοῦ ἐναντίου εἴδους τῇ λαμπρότητι κἂν τῷ περὶ σφοδρότητος εἰρήκαμεν, ὅτι ἐστὶ τὸ κομματικὸν καὶ διαλεκτικὸν, καὶ ὄντως ἀγωνιστικὸν εἶδος τοῦ λόγου, καὶ ὅλως τὸ γοργόν. γίνεται τοίνυν λόγος λαμπρὸς κατὰ ἔννοιαν μὲν, ὅταν πεποιθότως ἔχῃ τινὰ ὁ λέγων ἐφ᾽ οἷς ἂν λέ-

γὰρ διὰ τὸ ἔνδοξα εἶναι, ἢ διὰ τὸ καλῶς πεπρᾶχθαι αὐτῷ, ἢ διὰ τὸ χαίρειν τοῖς λεγομένοις τοὺς ἀκούοντας, ἢ καὶ διὰ πάντα ταῦτα, ὅλως τε ἐπὶ τοῖς διαπρεπέσι τῶν ἔργων καὶ ἐφ' οἷς ἐστὶ λαμπρύνεσθαι ὡς ἀληθῶς, ὅπερ φησὶν Ἡρόδοτος ἐλλάμψασθαι, ἐπὶ τούτοις ἐστὶν ἡ λαμπρότης· οἷον, οὐ λίθοις ἐτείχισα τὴν πόλιν, οὐδὲ πλίνθοις ἐγώ, οὐδ' ἐπὶ τούτοις μέγιστον τῶν ἐμαυτοῦ φρονῶ, ἀλλ' ἐὰν βούλῃ τὸν ἐμὸν τειχισμόν, καὶ τὰ ἑξῆς· καὶ πάλιν, αὕτη τῶν περὶ Θήβας ἐγένετο πραγμάτων ἀρχὴ καὶ κατάστασις πρώτη· τὰ πρὸ τούτων εἰς ἔχθραν καὶ μῖσος καὶ ἀπιστίαν τῶν πόλεων ὑπηγμένων ὑπὸ τούτων, τοῦτο τὸ ψήφισμα τὸν τότε ἐπιστάντα τῇ πόλει κίνδυνον παρελθεῖν ἐποίησεν ὥσπερ νέφος· καὶ πάλιν, ταῦτα ἐποίουν οἱ ὑμέτεροι πρόγονοι, ταῦθ' ὑμῶν οἱ πρεσβύτεροι, οἳ Λακεδαιμονίους, καὶ τὰ ἑξῆς. καὶ πάλιν, ὑμεῖς τοίνυν ὦ ἄνδρες Ἀθηναῖοι, Λακεδαιμονίων γῆς καὶ θαλάττης ἀρχόντων, καὶ τὰ κύκλῳ τῆς Ἀττικῆς κατεχόντων, ἁρμοσταῖς καὶ φρουραῖς, Εὔβοιαν, Τάναγραν, τὴν Βοιωτίαν ἅπασαν, καὶ τὰ ἑξῆς, μέχρι τοῦ, ἐξήλθετε εἰς Ἁλίαρτον. πολλὰ δὲ καὶ τοῦ τοιούτου λόγου παραδείγματα ἐν τῷ περὶ τοῦ στεφάνου, διὰ τὸ φύσει ἀξιωματικὸν τοῦ λόγου λαμπρόν· ἀλλ' ἔννοιαι μὲν αὗται καὶ αἱ τοιαῦται λαμπραί, μεθοδεύσεις δὲ λαμπραί, ὅταν προηγουμένως εἰσάγῃς τὰς ἐννοίας, ὅταν ὡς θαρρῶν μετὰ ἀξιώματος, ἀλλὰ μὴ ἐνδοιάζων, ὅταν ὡς ἀφηγούμενος καὶ μὴ διακόπτων τὰς ἀφηγήσεις, εἴ σοι τούτου μέλει, τῆς διαρκοῦς λέγω λαμπρότητος. ἐπεὶ τό, αὕτη τῶν περὶ Θήβας ἐγένετο πραγμάτων ἀρχὴ καὶ κατάστασις πρώτη, τοῦτο τὸ ψήφισμα τὸν τότε τῇ πόλει περιστάντα κίνδυνον παρελθεῖν ἐποίησεν, ὥσπερ νέφος· τοῦτο λαμπρὸν ἅπαν ὄν, εἶτα διακόπτειν, καὶ μετα-

ξὺ

ξὺ τῶν δύο κώλων προσλαβὸν τὰ πρὸ τούτων, εἰς ἔχθραν καὶ μῖσος καὶ ἀπιστίαν τῶν πόλεων ὑπηγμένων ὑπὸ τούτου, ἐμποδίσθη καὶ ἡ τῆς μεθόδου πρὸς τὸ ἄγαν εἶναι λαμπρόν. οὐ γὰρ ὅμοιον δήπουθεν ἦν ἀπολελυμένως εἰπεῖν, ὥσπερ καὶ τὸ παράδειγμα ἐθήκαμεν, ἢ διακόψαντα ἐκείνως, οἷον, αὕτη τῶν περὶ Θήβας ἐγένετο πραγμάτων ἀρχὴ καὶ κατάστασις πρώτη, τὰ πρὸ τούτων εἰς ἔχθραν καὶ ἀπιστίαν καὶ μῖσος τῶν πόλεων ὑπηγμένων ὑπὸ τούτου, εἶτα τὸ ψήφισμα, καὶ τὰ ἑξῆς· τοιοῦτόν ἐστι καὶ τό, πλεονέκτημα ὦ ἀθηναῖοι μέγα ὑπῆρξε Φιλίππῳ παρὰ τοῖς ἕλλησιν, οὐ τισίν, ἀλλὰ πᾶσι· διέκοψε γὰρ καὶ οὐκ εἴασε φανῆναι τοῦ λόγου τὸ ἄγαν λαμπρὸν τῇ διακοπῇ καὶ ὑποστροφῇ. ἔτι μεθόδου λαμπρᾶς καὶ τό, τὰ ἔνδοξα ἐνδοξοτέρως λέγειν, ὥσπερ ἐκεῖνο τό, οὐ μὰ τοὺς ἐν μαραθῶνι προκινδυνεύσαντας τῶν προγόνων, καὶ τὰ ἑξῆς. τοῦτο γὰρ παράδειγμα μὲν ἔνδοξον, οἷον, ὀρθῶς οὖν ἐβουλεύσατο ὑπὲρ ἐλευθερίας τῶν ἑλλήνων κινδυνεύειν· οὕτω γὰρ ἐποίουν καὶ οἱ ἐν μαραθῶνι προκινδυνεύσαντες, ὁ δὲ εἰς ὄγκον αὐτὸ ἀναγαγὼν, ἐνδοξότερον ἂν τὸ ἐποίησε καὶ λαμπρόν· οὐκ ἥμαρτον, ταῦτα συμβουλεύσας, οὐ μὰ τοὺς ἐν μαραθῶνι προκινδυνεύσαντας, καὶ τὰ ἑξῆς. λέξεις δὲ λαμπραὶ αἵπερ ἐλέγοντο εἶναι καὶ σεμναί, σχήματα δὲ λαμπρά, ὅσα καὶ εὐθέα· οἷον αἱ ἀναιρέσεις, ὡς τό, οὐ λίθοις ἐτείχισα τὴν πόλιν, οὐδὲ πλίνθοις ἐγώ· οὐδὲ ἐπὶ τούτοις, καὶ τὰ ἑξῆς. καὶ πάλιν αἱ ἀποστάσεις· οἷον, αὕτη τῶν περὶ θήβας ἐγένετο πραγμάτων ἀρχὴ καὶ κατάστασις πρώτη, καὶ τὰ ἑξῆς. ὅλως δὲ τὰ ἀσυνδέτως εἰσαγόμενα, εἰ μακρὰ εἴη τὰ κῶλα, ποιεῖ λαμπρὸν τὸν λόγον, κἂν ἀκμαῖος ᾖ ταῖς ἐννοίαις. καὶ γὰρ ἡ ἀκμὴ περὶ ἧς αὐτίκα λέξομεν,

τοῖς τῆς λαμπρότητος σχήμασί τε καὶ κώλοις γίνεται μεθ' ὅσων ἄλλων πέφυκε γίνεσθαι. εἰδέναι μέν τοι χρὴ ὅτι ἐὰν μετὰ καταστάσεως εἰς ἀρχὴν ἀναγάγῃς, τὸν λόγον ὀρθώσας, κἂν ἀποστήσῃς, ἧττον γίνεται λαμπρὸς, εἰ μὴ πλαγιάσεις εὐθὺς, ἢ ἕτερον σχῆμα περιβλητικὸν ἐπαγαγὼν κατ' ἀνάγκην, μακρὰν ἀποτείνῃς ἔκτασιν, οὐκ ἐχούσης ἀνάπαυσιν τῆς ἐννοίας, καὶ κατὰ τοῦτο γινομένου πως τοῦ λόγου λαμπροῦ· οἷον, ὑμεῖς τοίνυν, λακεδαιμονίων γῆς καὶ θαλάττης ἀρχόντων, καὶ τὰ ἑξῆς. εἰ γὰρ μὴ ἐπλαγίασεν εὐθὺς ἐν τῷ, λακεδαιμονίων γῆς καὶ θαλάττης ἀρχόντων, καὶ κατ' ἀνάγκην περιέβαλεν ἀπὸ τοῦ πλαγιασμοῦ, ἐπέμεινε δὲ τῇ ὀρθώσει, καθαρὸς ἂν μᾶλλον ἐγένετο ὁ λόγος καὶ οὐ λαμπρός. τεκμήριον δὲ τούτου, τὸ, λέγονται χρήματα οἱ τριάκοντα δανείσασθαι παρὰ λακεδαιμονίων ἐπὶ τῆς ἐν πειραιεῖ. καί περ γὰρ ἀσυνδέτως εἰσαχθὲν, ὅμως διὰ τὸ ἐπιμεῖναι τῇ ὀρθότητι, καθαρὸν μετὰ καὶ ἁπλοῦν ἔμεινε, λαμπρὸν δὲ οὐδαμῶς. ἔτι καὶ ταύτῃ διαφέρει τὰ τοιαῦτα τῶν λαμπρῶν, ὅτι αἱ μὲν λαμπρότητες οὐ μᾶλλον πραγμάτων εἰσὶν ἀφηγήσεις, ἢ ποιότητές τε πραγμάτων καὶ αὐξήσεις, ὁ δὲ καθαρὸς λόγος σχεδὸν ἐναντίος ὢν τῷ λαμπρῷ, ὅμως ταῖς μὲν ἀποστάσεσι καθάπερ ἐκεῖνος εἰσάγεται, μετὰ μέν τοι ὀρθότητος διαρκοῦς καὶ πραγμάτων τινῶν ἀφήγησιν ἔχει, ἀλλ' οὐκ αὔξησίν τινα τούτων, οὐδὲ ποιότητα, ὅπερ ἐστὶ τῆς λαμπρότητος. τοιοῦτόν ἐστι καὶ τὸ, σαννίων ἐστὶ δήπου τις ὁ τοὺς τραγικοὺς χοροὺς διδάσκων· καὶ τὸ, λέγεταί ποτε ἐπὶ τῆς παλαιᾶς ἐκείνης εὐδαιμονίας ἀλκιβιάδης· καὶ τὸ, λέγονται χρήματα οἱ τριάκοντα δανείσασθαι, καὶ ὅσα τοιαῦτα. ἀλλὰ σχήματα μὲν ταῦτα λαμπρότητος, κῶλα δὲ τὰ μέλλοντα ποιήσειν τὸν λόγον λαμπρὸν, μακρότερα εἶναι δεῖ. καὶ τούτου παράδειγμα

δείγματα, πάντα ὅσα κἀν τῷ περὶ ἐννοιῶν λαμπρότητος εἰρήκαμεν· συνθῆκαι δὲ λαμπραί, μάλιστα μὲν αἱ σεμναί, περὶ ὧν εἴρηται, χρῆσθαι μὴν ἔστιν ὅτι οἷόν τε καὶ τροχαϊκαῖς συνθήκαις· καὶ οὐδέν γε βλάπτεται ὁ λαμπρὸς λόγος τῇ συνθήκῃ ταύτῃ, μόνον εἰ ἡ ἀνάπαυσις γένοιτο σεμνή. τὸν γὰρ ῥυθμὸν αἱ τοιαῦται ἀναπαύσεις μακρῶν τῶν λόγων γινομένων ποιοῦσι σεμνόν τε καὶ λαμπρόν, κἂν ἐκ τροχαϊκῶν συγκείμενος ᾖ. ἀλλὰ περὶ μὲν λαμπρότητος τοσαῦτα, περὶ δὲ ἀκμῆς λέγειν ἂν εἴη ἑπόμενον· ἡ πάλιν ἐναντίον οὐδὲν εἶδος δηλαδή, κατὰ μὲν τὰς ἐννοίας, ὅσαι σφοδρότητί τε καὶ τραχύτητι ἐναντιοῦνται, κατὰ δὲ τὰ λοιπά, ὅσα τῇ λαμπρότητι.

## ΠΕΡΙ ΑΚΜΗΣ.

Ὅπως μὲν ἡ σεμνότης καὶ μετ' ἐκείνην ἡ τραχύτης ἥ τε σφοδρότης καὶ ἔτι λαμπρότης, αὐταὶ καθ' ἑαυτὰς γίνονται, καὶ τῷ λόγῳ μέγεθος σὺν ἀξιώματι καὶ ὄγκῳ προστιθέασιν, ἱκανῶς ἡμῖν ἐν τοῖς ἔμπροσθεν εἰρημένοις μετὰ τὸν περὶ σαφηνείας δέδεικται λόγον, ἕποιτο δ' ἂν τῷ περὶ τραχύτητός τε καὶ σφοδρότητος, καὶ ἔτι τῷ τῆς λαμπρότητος ἀναγκαίως ὁ περὶ ἀκμῆς λόγος· ἡ κατὰ μὲν τὰς ἐννοίας ἐναντιοῦται πάλιν ὅσα τῇ σφοδρότητι καὶ τῇ τραχύτητι, κατὰ δὲ τὰ λοιπά, ὅσα τῇ λαμπρότητι. λέγω δὲ περὶ ἀκμῆς, ἐπειδὴ μετὰ τὰ προειρημένα ἀναγκαίως, τά τε ἄλλα, καὶ ὅτι διὰ τούτων πως γίνεσθαι πέφυκεν ἡ ἀκμή, ὡς ἐνεδειξάμεθα· καὶ τοῦτο κατ' ὀλίγον μέν πως καὶ ἐν τῷ περὶ τραχύτητος, δείξομεν δὲ καταφανέστερον ἐνταῦθα ἀναγκαίως ἐν τῷ περὶ αὐτῆς λόγῳ τῆς ἀκμῆς, μᾶλλον δὲ εὐ-

θὺς ἐξ ἀρχῆς φανερὸν ἔσται. ἔννοιαι μὲν γὰρ ἀκμῆς καὶ ἔτι μέθοδοι αἱ αὐταί, αἵπερ ἦσαν καὶ τῆς τραχύτητος, καὶ τῆς σφοδρότητος, λέξεις δὲ αἵ τε αὐτῶν τούτων τῶν ἰδεῶν, καὶ ἔτι αἱ τῆς λαμπρότητος μεμιγμέναι· οἷον, νόσημα γὰρ ὦ ἄνδρες ἀθηναῖοι δεινὸν ἐμπέπτωκεν εἰς τὴν ἑλλάδα καὶ χαλεπόν, καὶ πολλῆς τινὸς εὐτυχίας καὶ τῆς παρ' ὑμῶν ἐπιμελείας δεόμενον. ἡ γὰρ τροπὴ τραχεῖα οὖσα καὶ σφοδροῦ λόγου, ἡ, νόσημα γάρ, ἑτέρως πως διῄρηται, ὡς ἐν λαμπρότητι· καὶ οὐ μᾶλλον τραχύτητα ἐνταῦθα ἐμφαίνει, ἢ λαμπρότητα. περὶ δὲ τῶν τοιούτων ὀνομάτων, ἱκανῶς οἶμαι ἐν τῷ περὶ σεμνότητος ἡμῖν εἴρηται. καὶ μὴν καὶ σχήματα ἀκμαστικά, ὅσα καὶ ἐν λαμπρότητι καὶ σφοδρότητι. κατὰ μὲν γὰρ λαμπρότητος σχῆμα, ἀκμὴ γέγονεν, ὡς ἐν τῷ, ἐξέστητε ὦ ἄνδρες ἀθηναῖοι τῆς τάξεως, ἐφ' ἧς ὑμᾶς οἱ πρόγονοι κατέλιπον· καὶ πάλιν, πλεονέκτημα ὦ ἄνδρες ἀθηναῖοι μέγα ὑπῆρξε φιλίππῳ· ἐξ ἀποστάσεως γὰρ εἴρηται· κἀκεῖνα δέ, τοιαῦτα· μή μοι σωζέσθω μηδὲ ἀπολλύσθω μηδεὶς ὃν ἂν ὁ δεῖνα ἢ ὁ δεῖνα βούληται· καὶ τό, πολλὰ ἂν ἔχοιεν εἰπεῖν ὀλύνθιοι νῦν, ἃ τότ' εἰ προείδοντο, οὐκ ἂν ἀπώλοντο. καὶ ἕως ἂν σώζηται τὸ σκάφος ἄν τε μεῖζον ἄν τ' ἔλαττον ᾖ, τότε χρὴ καὶ ναύτην καὶ κυβερνήτην καὶ πάντα ἄνδρα ἑξῆς προθύμους εἶναι· ἐπειδὰν δὲ ἡ θάλαττα ὑπέρσχῃ, μάταιος ἡ σπουδή· ταῦτα δὲ καὶ πλέον ἔχει τι. οὐδὲ γὰρ ἐξ ἀποστάσεως εἴρηται, ὥσπερ τό, πλεονέκτημα ὦ ἄνδρες ἀθηναῖοι μέγα ὑπῆρξε φιλίππῳ· καὶ τό, ἐξέστητε ὦ ἄνδρες ἀθηναῖοι τῆς τάξεως, ἀλλ' ἀπροσδοκήτως ἐξ ἐπεμβολῆς. διὸ καὶ μειζόνως ἐκλάμπει καὶ πλέον ἔχει τὸ φαιδρὸν ἡ ἀκμή. κυρίως γὰρ τότ' ἂν ἀπόστασις εἴη. ἐὰν δὲ καταστήσας εἰς ἀρχὴν ἀναγάγῃς τὸν λόγον, ἧττον ἐμφαίνεται τὸ ἀποστατικόν· οἷον, πρῶτον ἁπάντων πλεονέκτημα ὦ ἄνδρες

ἀθη

ἀθηναῖοι, καὶ τὰ ἑξῆς. προσδοκήσασι γὰρ ἐνταῦθα ἡ ἀπόστασις ὤφθη, ἐκεῖ δὲ οὐ πάνυ τι τὸ ἀποστατικόν· οἷον, νὴ δία, ἔδει τὸ καὶ τὸ γενέσθαι, καὶ τὸ μὴ γενέσθαι. πολλὰ ἂν εἰπεῖν ἔχοιεν ὀλύνθιοι, καὶ τὰ ἑξῆς. ἀλλ', ὅπερ ἐλέγομεν, κατὰ μὲν λαμπρότητα σχήματα, οὕτως ἀκμὴ γίνεται, κατὰ δὲ ἂν σφοδρότητα αἱ ἀποστροφαὶ δηλονότι καὶ οἱ ἔλεγχοι ποιοῖεν ἂν τὴν ἀκμήν· οἷον τό, πότερον ἐχρῆν αὐτὸν αἰσχίνη τὸ φρόνημα ἀφελέσθαι καὶ τὴν ἀξίαν τὴν ἑαυτῆς ἐν τῇ θετταλῶν; καὶ τὰ ἑξῆς· καὶ πάλιν, οὐ λέγειν εἴσω τὴν χεῖρα ἔχοντα αἰσχίνη δεῖ, οὔ, ἀλλὰ πρεσβεύειν εἴσω τὴν χεῖρα ἔχοντα. οὐ δεῖ δὲ θαυμάζειν, εἴ πως τις ἀποστροφή. καί τοι λεγόντων ἡμῶν σφοδρότητος εἶναι σχῆμα, ὅμως καὶ ἦθος ἔχει τι· ὥσπερ καὶ τό, καί μοι μηδὲν ὀργισθῇς, οὐδὲν γὰρ ἐρῶ σε φλαῦρον. μεθοδεύεται δὲ οὕτως, ὥστε μὴ δόξαι πικρῶς λέγεσθαι διὰ τὴν ὑπόληψιν τοῦ προσώπου λεπτίνου, καὶ μηδέν γε ἧττον ἔχειν τὴν σφοδρότητα· ἐμφαίνεται γὰρ καὶ ἐν τοῖς ἤθει. ὅτι δὲ καὶ ἦθος ποιεῖν σφοδρότητα οὐδὲν κωλύει, αἱ εἰρωνεῖαι δηλοῦσι πᾶσαι· οἷον, πῶς ὑμῖν ὑπὸ τῶν χρηστῶν τούτων τὰ πράγματα ἔχει; καὶ πάλιν, τὸν καλὸν ἀνδριάντα καὶ τριταγωνιστὴν ἄκρον ἐξέθρεψέ σε ἡ μήτηρ, καὶ μυρία ἄλλα. κἀκεῖνα μέντοι ἠθικῶς ἅμα καὶ σφοδρῶς εἴρηται· τό, σὺ δὲ ὅμοιος αἰσχίνη; ὁ δὲ ἀδελφὸς ὁ σός; ἀλλὰ πρὸς τοὺς ζῶντας ὦ χρηστέ, καὶ τὰ ἑξῆς. ἀλλὰ σχήματα μὲν ἀκμῆς ταῦτα, τὰ δὲ ἄλλα πάντα ἁπλῶς τὰ αὐτὰ ἔχει τῇ λαμπρότητι· οἷον κῶλα, συνθήκας, ἀναπαύσεις, ῥυθμούς. καὶ περὶ μὲν ἀκμῆς τοσαῦτα, ἀπορήσειε δ' ἄν τις ἐκ τούτων εἰκότως, ποῖόν τι ἐστί, τό, μέχρι τούτου λασθένης φίλος ὠνομάζετο φιλίππου, καὶ τὰ ἑξῆς· καὶ τό, ἀλλ' ὁ τὴν εὔβοιαν ἐκεῖνος σφετεριζόμενος, καὶ κατασκευάζων ἐπιτείχισμα ἐπὶ τὴν ἀττικήν, καὶ τὰ ἑξῆς.

καὶ ὅσα τοιαῦτα, πότερον ἀκμαστικὰ, ἢ λαμπρὰ, ἢ τὸ συναμφότερον ἐστὶν, ὃ καὶ μᾶλλον. φαίημεν οὖν ἂν, ὅτι καθάπερ ἐδιδάξαμεν ἐν τῷ περὶ λαμπρότητος, καὶ ἐνταῦθα πάλιν ἐν τῷ περὶ ἀκμῆς, πάντως τῇ ἀκμῇ λαμπρότητος ἴδια πολλὰ πρόσεστι· οἷον, τὰ κῶλα καὶ οἱ ῥυθμοὶ λαμπρὰ ὄντα, καὶ τὰ ἑξῆς τούτων. πολλαχοῦ δὲ καὶ τὴν λέξιν ἔφαμεν, καὶ τὸ μέγιστον τὰ ἀποστατικὰ τῶν σχημάτων· ὥστε εἰ λέγοιμεν ταῦτα μεμίχθαι ἐξ ἀμφοῖν, ἔκ τε λαμπρότητος καὶ ἀκμῆς, τὸ, μέχρι τούτου Λασθένης, καὶ τὰ τοιαῦτα, εἰς ταυτὸν ἐμπίπτειν καὶ μηδὲν ἧττον ἐμφαίνεσθαι αὐτὰ ἀκμαστικὰ, εἴ γε πάντως ἔχει ἡ ἀκμὴ πολλὰ τῶν ἰδίων λαμπρότητος. αἵ τε γὰρ ἔννοιαι τούτων· οἷον τὸ, μέχρι τούτου Λασθένης φίλος ὠνομάζετο Φιλίππου· καὶ πάλιν τὸ, ἀλλ' ὁ τὴν Εὔβοιαν ἐκεῖνος σφετεριζόμενος καὶ κατασκευάζων ἐπιτείχισμα ἐπὶ τὴν Ἀττικὴν, καὶ ὅσα τοιαῦτα, σφόδρα πως εἶναι δοκεῖ κατὰ προσώπων λεγόμενα, ὅπερ ἴδιον ἀκμῆς, τά τε σχήματα αὐτὰ καὶ τὰ κῶλα ὄντα λαμπρὰ, μετ' ἐκείνων τῶν τῆς τραχύτητος ἐννοιῶν τὴν ἀκμὴν ποιεῖ· ὥστε καὶ φαίη τις ἂν, τί χρὴ λέγειν, ὅτι μέμικται λαμπρότης ἐνταῦθα καὶ ἀκμὴ, φύσει δέον ἀεὶ ταῦτα μεμίχθαι, ὅτι ἀκμαῖος λόγος εἴη; ἀλλ' εἰδέναι χρὴ ὅτι πρῶτον μὲν ἐνταῦθα φαμὲν, ἀκμὴν καὶ λαμπρότητα συνεληλυθέναι, οὐχί γε τραχύτητα ἢ σφοδρότητα ὁμοῦ λαμπρότητι γεγενῆσθαι, ἃ ποιεῖ τὴν ἀκμήν. οὐ γὰρ ἀκμὴ καὶ λαμπρότης συνελθοῦσαι ἀκμὴν ποιοῦσιν, ἀλλ' ἔννοιαι τραχεῖαι καὶ σφοδραὶ, καὶ μέθοδοι τοιαῦται, λέξει καὶ κώλοις λαμπρότητος, καὶ εἴ τινι ἑτέρῳ κραθεῖσαι, ποιοῦσι τὴν ἀκμήν. διὸ οὐδὲ ἀντακολουθοῦσιν ἀλλήλαις, ἀλλ' ἡ μὲν ἀκμὴ πάντως ἔχει τι καὶ λαμπρότητος, οὐ μὴν ἥ γε λαμπρότης ἔχει



Universitäts- und
Landesbibliothek Düsseldorf

τι ἀκμῆς. εἰ μή τις ἐρίζων, βιαίως λέγοι ταῦτα ἃ ἦν ἴδια λαμπρότητος, τὴν μακροκωλίαν λέγω καὶ τὰ ἀποστατικὰ σχήματα, καὶ εἴ τι ἕτερον, διὰ τὸ ἐπ᾽ ἀμφοῖν εὑρίσκεσθαι ἰσάζειν, καὶ μηδὲν μᾶλλον ἐντεῦθεν ἐκεῖσε, ἢ ἐκεῖθεν ἐνθάδε μετενηνέχθαι. ἀλλὰ ταῦτα μὲν ἔστι σαφὴς λῆρος, φανερὰ δὲ ταῦτά γε καὶ τῇ αἰσθήσει ψιλῇ ὡς ἴδια μέν ἐστιν ἡ λαμπρότης, ἀκμὴ δὲ οὐδὲ ἔχει γε νέσεως ὑπόστασιν καθ᾽ ἑαυτήν, ἀλλ᾽ ἡ μίξις τῆς ἀπὸ τῆς τραχύτητος ἢ σφοδρότητος καὶ τῆς ἀπὸ τῆς λαμπρότητος ποιεῖ τὴν ἀκμήν. διὸ, καθάπερ ἔφην, οὐδὲ ἀντακολουθοῦσιν. ὅπερ γὰρ δὲ ἀκμαῖον ᾖ, πάντως καὶ λαμπρόν ἐστι, καὶ εἴ τι σφοδρόν γε, ἢ τραχὺ, ἢ τὸ συναμφότερον· οὐ μὴν ὅ τι ἂν ᾖ τραχύ γε, ἢ σφοδρὸν, ἢ καὶ λαμπρὸν, ἀνάγκη τὸ αὐτὸ καὶ ἀκμαῖον εἶναι. ἔχει γὰρ ταῦτα καθ᾽ ἑαυτὰ ὑπόστασιν καὶ χωρὶς τῶν ἑτέρων. δύναται μέν τοι τις οὕτω λέγειν, ὅτι οἷόν τε ἐστὶν ἀπὸ ταύτης τῆς ἐννοίας, οἷον τῆς τραχείας ἢ σφοδρᾶς ἀκμὴν ποιῆσαι· ἢ πάλιν ἀπὸ τούτου τοῦ κώλου, οἷον τοῦ λαμπροῦ, ὁμοίως ἀκμὴν ποιῆσαι. οὐκοῦν ἴδιά γε ταῦτα ἀκμῆς. πρὸς οὖν τὸν ταῦτα τιθέμενον ἀκμὴν εἶναι, ἐπείπερ ἔφην ταῦτα συνεληλυθέναι, ἀκμὴν καὶ λαμπρότητα, πρῶτον μὲν ὅπερ εἶπον ὑποληπτέον, ὅτι οὐκ ἐξ ἀκμῆς καὶ λαμπρότητος ἡ ἀκμὴ γίνεται, ἀλλ᾽ ἐξ ὧν εἴρηται· ἔπειτα ὅτι ταῦτα, τὸ, μέχρι τούτου λαθένης λέγω, καὶ τὸ, ἀλλ᾽ ὁ τὴν Εὔβοιαν ἐκεῖνος σφετεριζόμενος, καὶ τὰ ἑξῆς, ὅσα τε αὐτοῖς ἐστὶν ὅμοια, μεμίχθαι λέγω διόλου, ἀρξάμενα ἀπὸ τῶν ἐννοιῶν. καὶ γὰρ λαμπραί εἰσι καὶ σφοδραὶ ἔννοιαι, καὶ μᾶλλόν γε λαμπραὶ, εἴ τις σαφῶς ἐπισκήμμη αὐτὰς θεωροίη. σκεψώμεθα δὲ ποίας ἐννοίας ἔφαμεν εἶναι λαμπρὰς, ἃς πεποίηκεν ὁ λέγων δηλονότι. οὐκοῦν ἐνταῦθα βουλόμενος συστῆσαι ὁ ῥήτωρ, ὅτι ἐν τῷ Φιλίππου

μυρίανδρος ἡ πόλις ἐγένετο, οὐκ ἂν συνήνεγκεν, ἐπιστώσατο μὲν αὐτὸ καὶ κατὰ πόλεις, ἐκ θετταλῶν τετραδαρχουμένων, καὶ ἐκ τῶν ἄλλων· οἷον, καὶ γὰρ, εἰ μὲν ὡς ἐκράτησε φίλιππος, ᾤχετο εὐθέως ἀπιὼν, καὶ μετὰ ταῦτα ἦγεν ἡσυχίαν, μηδένα μήτε τῶν ἑαυτοῦ συμμάχων μήτε τῶν ἄλλων ἑλλήνων ἀδικῶν, ὅμως ἦν ἄν τις κατὰ τῶν ἐναντιωθέντων οἷς ἔπραττεν ἐκεῖνος μέμψις καὶ κατηγορία, εἰ δὲ ὁμοίως, ἁπάντων τὸ ἀξίωμα, τὴν ἡγεμονίαν, καὶ τὰ ἑξῆς. συνέστησε μὲν οὖν αὐτὸ καὶ κατὰ πόλεις, ὥσπερ ἔφην, καὶ κατὰ ἔθνη· συνιστὰς δὲ αὐτὸ καὶ ἀπὸ τῶν κατ' ἄνδρα, οὐδεὶς φησὶ τὸ τοῦ προδιδόντος συμφέρον ζητῶν, χρήματα ἀναλίσκει. εἶτ' αὖ πάλιν συστῆσαι θέλων, ἔχει παραδείγματα σαφῆ καὶ πολλὰ καὶ γνώριμα πᾶσι, διὸ καὶ πεποιθὼς λέγων ἐλλαμπρύνεται τῷ λόγῳ, καὶ οὐκ οἶδά γε εἴ τι τοῦ λόγου παράδειγμα τούτου λαμπρότερον ἔχομεν, τοῦ, μέχρι τούτου λασθένης φίλος ὠνομάζετο φιλίππου, καὶ τὰ ἑξῆς, εἰς τοσοῦτον μῆκος, τῶν κώλων προελθόντων, ἅτε τῇ ἐννοίᾳ πεποιθότως χρωμένου τοῦ ῥήτορος, καὶ τῶν ἐπαναφορῶν διὰ τὸ κατὰ συζυγίαν ἐξενεχθῆναι, θαυμαστὸν κάλλος ἐργασαμένων· ἀκριβέστερον δὲ καὶ περὶ τούτου ἐν τῷ περὶ κάλλους ἡμῖν λελέξεται. ἀλλ' ἐπὶ τὸ ἐξῆς ἐπανιτέον, ὅτι λαμπρὰ μὲν διὰ ταῦτα ἡ ἔννοια. οὐ γὰρ εὐθυκράτους καὶ λασθένους καὶ τῶν ἄλλων προδοτῶν προὔκειτο δήπου αὐτῷ κατηγορεῖν, ἀλλὰ συστῆσαι τὸ προκείμενον. λαμπρὰ μὲν οὖν διὰ ταῦτα, σφοδρὰ γε μὴν δηλονότι διὰ τοῦτο, ὅτι κατὰ προσώπου δοκεῖ λέγεσθαι τῶν προδοτῶν. καί τοι οὐχὶ τοιοῦτον ἁπλῶς εἶναι δεῖ τὸν κατὰ προδότου λόγον, ἀφηγηματικὸν καὶ ἧττον ἔχοντα τὸ σφοδρόν· ὅμως γε μὴν ἔχει τι τῆς σφοδρότητος καὶ οὗτος. καὶ αἱ μὲν ἔννοιαι τοιαῦται, καθ' ἃς καὶ μόνας τάχα ἄν τις ἐν-

ταῦθα

# ΕΡΜΟΓΕΝΟΥΣ

## ΠΕΡΙ ΠΕΡΙΒΟΛΗΣ ΕΝ ΤΑΥΤΩ ΚΑΙ ΜΕΣΤΟΤΗΤΟΣ.

Μετὰ τὸν περὶ σαφηνείας λόγον, ὑποθέμενοι περὶ μεγέθους εἰπεῖν καὶ ὄγκου καὶ ἀξιώματος τοῦ ἐν λόγῳ, ἔφαμεν τοῦτο ποιεῖν σεμνότητά τε καὶ τραχύτητα, καὶ ἔτι αὖ σφοδρότητα λαμπρότητά τε καὶ ἀκμὴν, καὶ τελευταῖον ἐπὶ πᾶσι τὴν περιβολήν. οὐκοῦν περὶ τῶν ἄλλων ἁπασῶν εἰπόντες ἰδεῶν αἳ τὸ μέγεθος ἐποίουν, ἀναγκαίως ἂν ἤδη λέγοιμεν καὶ περὶ τῆς περιβολῆς. τά τε γὰρ ἄλλα, ἀξία σπουδῆς ἡ περὶ αὐτῆς ἐπιστήμη, ὅτι τε ἐξαίρει τὴν ὑπτιότητα, καὶ ὅτι πλεῖστον ταύτῃ τῶν ἄλλων ἰδεῶν ἁπασῶν, καθ' ἃς λόγου μέγεθος γένοιτ' ἂν, ὁ ῥήτωρ κέχρηται. ἀλλὰ τὴν μὲν αἰτίαν δι' ἣν οὕτω πεποίηκεν ἐκεῖνος, ὕστερον λέξομεν, οὐ γὰρ ἐγχωρεῖ νυνὶ λέγειν, πρὶν περὶ αὐτῆς τι λέγειν τῆς περιβολῆς, περὶ αὐτῆς δὲ ἂν ἤδη ταύτης εἴη λεκτέον· ὅτι δὲ ἐναντίον αὐτῇ ἡ καθαρότης, ἐν τῷ περὶ σαφηνείας εἴρηται λόγῳ. γίνεται τοίνυν περιβολὴ κατ' ἔννοιαν μὲν ὅταν ἤτοι ἔξωθέν τι προσλαμβάνῃς τούτῳ περὶ οὗ ὁ λόγος, οἷον, γένος εἴδει, πονηρὸν ὦ ἀθηναῖοι, πονηρὸν ὁ συκοφάντης ἀεί, τοῦτο δὲ καὶ φύσει κίναιδον τ' ἀνθρώπιόν ἐστιν· ἢ ἀόριστον ὡρισμένῳ, οἷον, πολλὰ μὲν οὖν ἔγωγε ἐλαττοῦμαι κατὰ τουτονὶ τὸν ἀγῶνα αἰσχίνου, δύο δὲ ὦ ἀθηναῖοι καὶ μεγάλα· ἢ ὅλον μέρει, οἷον, ἀλλ' ὅλης οὔσης ἱερᾶς τῆς ἀκροπόλεως ταυτησί, καὶ πολλὴν εὐρυχωρίαν ἐχούσης, παρὰ τὴν χαλκῆν τὴν μεγάλην ἀθηνᾶν ἐκ δεξιᾶς ἕστηκεν. οὐ γὰρ ἡ ἀκρόπολις γένος, οὐδὲ ὁ ἐκ δεξιᾶς τῆς ἀθηνᾶς τόπος, εἶδος τῆς ἀκροπόλεώς ἐστιν, οὐδὲ ἀόριστόν τι καὶ

ὡρισ

ὡρισμένον, ἀλλ' ὅλον καὶ μέρος, καὶ προσείληπται τῷ μέρει τὸ ὅλον· ποιεῖ δὲ καὶ τὸ κατ' ἄθροισιν προσλαμβανόμενον ἔξωθεν, εἰ καὶ μὴ προσληφθείη τὸ ἀόριστον, ὅμως περιβολήν τινα· οἷον, δύο καὶ μεγάλα· ἓν μὲν τόδε, ἕτερον δὲ τόδε· καὶ πάλιν, τρία γὰρ τὰ μέγιστα ὀνείδη κτᾶται, φθονερίαν, ἀχαριστίαν, ἀπιστίαν εἶναι δοκεῖν· καὶ πάλιν, ἐνταῦθα δύο εἴρηκεν· ἓν μὲν τόδε, ἕτερον δὲ τόδε. πολλὰ παρὰ τῷ ῥήτορι καὶ τούτου καὶ τῶν ἔμπροσθεν εἰρημένων τὰ παραδείγματα, εἰδέναι δὲ χρὴ ὡς αἱ τοιαῦται προσλήψεις καὶ εὐκρινείας εἰσὶν οὐ περιβολῆς μόνον ποιητικαί. καθὸ μὲν γὰρ τὸ προειδέναι τοὺς ἀκούοντας περὶ ὅσων ἀκούσονται, ποιεῖ τὴν εὐκρίνειαν, καθὸ δὲ ἔξωθεν προσείληπται, περιβάλλει. θαυμάζειν δὲ οὐ χρή, εἰ δοκοῦσά πως ἡ εὐκρίνεια τῇ περιβολῇ ἐναντιοῦσθαι, διὰ τοῦ αὐτοῦ πράγματος δύναται γίνεσθαι, οἷον διὰ τοῦ κατ' ἄθροισιν προσλήψεως. οὐ γὰρ οὕτως ἐστὶν ἐναντία τὰ τῶν λόγων εἴδη, καθάπερ ἄλλα τινά, ὡς μὴ δύνασθαι συνυπάρχειν. οἷον, ὥσπερ τὸ θερμὸν τῷ ψυχρῷ, ἢ ὁ θάνατος τῇ ζωῇ, ἢ νὺξ τῇ ἡμέρᾳ, ἢ ὅσα τοιαῦτα, ἀλλὰ τοὐναντίον, πέφυκε δύνασθαι συνυπάρχειν τὰ ἐναντία ταῦτα, καὶ τότε μᾶλλον θαυμαστὸς ὁ λόγος γίνεται, ὅταν διὰ τῶν ἐναντίων ἰδεῶν εὖ κεκραμένος φαίνηται· δυσχερὴς δὲ ἡ μίξις, καὶ σχεδὸν οὐδεὶς οὕτω καλῶς οὐδὲ τῶν ἀρχαίων αὐτῇ κέχρηται, ὡς ὁ ῥήτωρ, μετά γε Ὅμηρον. πῶς γὰρ οὐ δυσχερὲς μίξαι καθαρότητα μὲν περιβολῇ, καὶ τῷ περιττῷ καὶ μεστῷ τὴν σαφήνειαν, σεμνότητι δὲ τὸ λεπτόν, καὶ τὴν χάριν τῷ διῃρημένῳ πρὸς μέγεθος, σφοδρότητι δὲ τὴν ἀφέλειαν, καὶ τῇ τραχύτητι τὸ μεθ' ἡδονῆς; ἔνθα δὲ τόλμης δεῖ, κάλλος καὶ τὸ κεκοσμημένον ἅμα πιθανότητι, λαμπρότητι δὲ τὸ γοργόν τε καὶ ἀγωνιστικόν, καὶ οἷον εὔζωνον χωρὶς εὐτελείας καὶ

ταπεινότητος, τῶν δὲ ἀκμαίων πάλιν τὸ πιθανόν, καὶ τὸ τοῦ ἀληθοῦς καὶ ἐνδιαθέτου ἐμφαντικόν, ὅσα τε ἄλλα τῶν εἰδῶν τοῦ λόγου, τὰ ἐναντίας ἀλλήλοις δοκεῖ πως εἶναι φύσεως; τούτου γὰρ οὐκ οἶδ᾽ εἴ τι γένοιτ᾽ ἂν ἐν λόγῳ χαλεπώτερον· ἄλλως τε καὶ τούτοις ἅπασιν, αὐτοῖς τε ἑκάστοις καὶ ταῖς μίξεσιν αὐτῶν, εἰ μέλλοι τις εἰς δέον χρῆσθαι. ἀλλὰ ταῦτα μὲν ἀκριβῶς δεῖξαι, καὶ διὰ παραδειγμάτων, ἑτέρου δεῖται καιροῦ, τοῦ περὶ μεθόδου δεινότητος ὅτε λέγοιμεν, νῦν δὲ εἰς τοσοῦτον εἰρήσθω, τὸ μηδένα θαυμάζειν (ὃ δὴ σμικρότατόν ἐστιν ἐν αὐτοῖς) εἰ περιβολὴ δύναται διὰ τοῦ αὐτοῦ γίνεσθαι καὶ εὐκρίνεια. σχεδὸν γὰρ ταῦτα οὐδὲ ἐναντία ἐστίν, ἀλλὰ καὶ ἀναγκαῖον ἀεὶ τοῖς περιβλητικοῖς ἅπασιν, ὅτε αὐξηθείη καὶ μέσον ποιοῖ τὸν λόγον, παρεῖναί τι τῶν εὐκρινούντων, ὡς ἂν μὴ συγχέοιτο, μηδ᾽ ἀσαφὴς ὁ λόγος γίνοιτο, ὥσπερ καὶ ἐν τῷ περὶ εὐκρινείας ἐδείξαμεν. ἐπάνειμι δὴ πάλιν ἐξαρχῆς ἐπὶ τὸν τῆς περιβολῆς λόγον· ἤτοι γάρ, ὥσπερ ἔφην, ὅταν προσλάβῃ τις τῶν ἔξωθέν τι, περιβολὴν ποιεῖ κατ᾽ ἔννοιαν, ὡς ἐδείξαμεν, ἢ ὅταν μὴ ψιλὰ λέγῃ τὰ πράγματα μηδὲ καθ᾽ ἑαυτά, ἀλλὰ μετὰ τῶν παρακολουθούντων· οἷον τόπου, χρόνου, αἰτίας, τρόπου, προσώπου, πάντων τε ἁπλῶς τῶν τοιούτων· οἷον, ὑπεσχόμην χορηγήσειν. πότε; τρίτον ἔτος τουτί. ποῦ; ἐν τῇ ἐκκλησίᾳ. διατί; οὐ καθεστηκότος χορηγοῦ, καὶ διὰ τοῦτο, λόγων καὶ λοιδοριῶν γινομένων. πῶς ὑπέσχου; ἐθελοντής. τίς ὤν; οὐ πάνυ πλούσιος. μανία γὰρ ἴσως ἐστὶν ἔφη, τὸ παρὰ δύναμίν τι ποιεῖν· τοῦτο δέ ἐστι τὸ τοῦ προσώπου προσλήψεως ἴδιον· τίνι γνώμῃ; διὰ φιλοτιμίαν. προηγουμένως μὲν οὖν κατ᾽ ἔννοιαν ἀπὸ τούτων γίνεται περιβολή, δύναται δὲ καὶ αὔξεσθαι ἕκαστα τούτων καὶ μᾶλλον ποιεῖν ἐμπερίβολον τὸν

λόγον

λόγον κατ᾽ ἔννοιαν καὶ ἐξ ἑτέρων· οἷον, ὑπεσχόμην χορηγήσειν πένης ὤν. τοῦτο μὲν ἦν τοῦ προσώπου ψιλόν, ηὔξηται δὲ πῶς, πρῶτον μὲν ἀπὸ τῆς πρὸς ἕτερον διαφορᾶς· οἷον, μηδενὸς ὑπισχνουμένου· εἶτα ἄλλη αὔξησις, μηδὲ τῶν πλουσίων· εἶτα ἑτέρα, μηδὲ τῶν ἄλλων λιτουργιῶν ἀτελὴς μεμενηκώς, ἀλλὰ πολλὰ λελειτουργηκώς, καὶ ἐν ἐπιδόσεσι καὶ ἐν τριηραρχίαις. καὶ ὅλως καθ᾽ ἕκαστον ἐθέλων αὔξειν, εὕροις ἂν πολλὰ καὶ ἐνθυμήματα καὶ παραδείγματα καὶ ὡρισμένα καὶ ἀόριστα. οὐ γὰρ μόνον ἀπὸ τῶν προειρημένων περιβάλλοι τις ἄν, ἀλλὰ καὶ ἐπιχειρῶν πανταχόθεν· οἷον ἀπὸ τοῦ ὁμοίου, ἀπὸ τοῦ ἐναντίου, τοῦ γένους, τοῦ εἴδους, τοῦ ὅλου· ἔτι ἀπὸ τοῦ μείζονος, ἴσου, ἐλάττονος. ταῦτα δὲ ἴσως οὐδὲ προσλήψεις εἰσίν, ἀλλὰ πίστεις μᾶλλον, τὰ διὰ τούτων ἐνθυμήματα λέγω καὶ παραδείγματα γινόμενα, καὶ δεῖται λόγου τοῦ περὶ πίστεως· ἔτι περιβάλλει κατ᾽ ἔννοιαν καὶ τὸ μὴ αὐτὰ τιθέναι μόνα τὰ πραχθέντα, ἀλλὰ καὶ τὰ ἐκβάντα ἄν, εἰ μὴ τοῦτο ἐγένετο, καὶ δέον τινὰ πρᾶξαι ὅτι προσῆκεν· ὡς εἰ λέγοιμεν ὅτι πάντα τὰ ἄλλα ἀφεὶς καὶ ὑπεριδών, ἐπέραινεν ἐφ᾽ οἷς ἐμισθώθη. ἀλλὰ κατ᾽ ἔννοιαν μὲν οὕτω γίνεται περιβολή, μέθοδοι δὲ ποιοῦσι περιβολὴν αἵδε, τὸ ἀναστρέφειν τὰ πράγματα, καὶ τὰ δεύτερα πρῶτα λέγειν· εἶτα ἀναγκάζεσθαι ἐπιβάλλειν τὰ πρῶτα, καὶ τῷ σχήματι χρῆσθαι τῷ κατ᾽ ἐπεμβολήν· οἷον, ἀλλ᾽ ἐπειδὴ πάλιν ἥκομεν ἐκ τῆς πρεσβείας ταύτης τῆς ἐπὶ τοὺς ὅρκους, ἧσπερ εἰσὶν αἱ νῦν εὐθῦναι· εἶτ᾽ ἐπενέβαλλε τὰ πρῶτα, οὔτε μικρὸν οὔτε μέγα οὐδοτιοῦν εὑρημένοι τῶν ὑπὸ τούτου, ὅτε τὴν εἰρήνην ἐποιεῖσθε, λεχθέντων καὶ προσδοκηθέντων καὶ τὰ ἑξῆς, μέχρι τοῦ, προσῆκεν τῇ βουλῇ. τὸ γοῦν ἀναστρέφειν τὰ πράγματα, περιβάλλει κατὰ μέθοδον,

ἵνα

ἵν', ὅπερ ἔφην, ἤτοι ἀναγκάζηται ἐπεμβάλλειν, ὡς ἐνταῦθα· ἢ ἐπισυνάπτειν ἀναγκαίως τὰ πρῶτα· οἷον, ἀλλ' ἐν τῷ πανδοχείῳ τῷ πρὸ τοῦ Διοσκουρείου, εἴ τις ὑμῶν εἰς φερὰς ἀφῖκται, οἶδεν ὃ λέγω, ἐνταῦθα ἐγίνοντο οἱ ὅρκοι· καὶ μέχρι μὲν δὴ τούτου ἐπεμβολή τις γέγονεν, ἢ τοῦ, εἴ τις ὑμῶν εἰς φερὰς ἀφῖκται, οἶδεν ὃ λέγω, τὸ δὲ ἑξῆς ἐπισυνῆπται· καὶ μέντοι τοῦτο δὲ πεποίηκε τὴν περιβολήν· οἷον, ὅτε Διεῦξ ἤδη τὸ στράτευμ' ἄγων ἐβάδιζε Φίλιππος. εἶθ' ὕστερον ἡ ποιότης καὶ αὐτὴ περιβάλλουσα μετὰ αὐξήσεως· οἷον, αἰσχρῶς ὦ ἀθηναῖοι καὶ ἀναξίως ὑμῶν. εἰ δέ τι καὶ τοῦ δι' ἐπικρίσεως εἰπεῖν, τὴν ποιότητα πεποίηκεν ὁ ῥήτωρ ἕτερον, ἄλλου λόγου. ἐπεί γε τὸ ἐπεμβληθὲν ἐν ἀρχῇ, τὸ, εἴ τις ὑμῶν εἰς φερὰς ἀφῖκται, οἶδεν ὃ λέγω, οὐ μόνον περιβολὴν ἐποίησεν, ἀλλὰ καὶ γοργότητα, ὁμοῦ διακόψαν τὸν λόγον, καὶ ἀληθινόν πως τύπου δοκεῖ εἶναι (ἀλλ' οὐ νῦν περὶ τούτου) τό τε ἀναστρέφειν τῶν πραγμάτων τὴν τάξιν, μέθοδος περιβολῆς, ὡς εἴρηται, καὶ τὸ τὰς κατασκευὰς τῶν προτάσεων καὶ τὰς πίστεις, τάς τε τούτων αὐξήσεις πρώτας τιθέναι τῶν προτάσεων αὐτῶν, ὡς ἐν τῷ περὶ τοῦ στεφάνου. μερικῆς γὰρ οὔσης ἐν αὐτῷ προτάσεως, τῆς, ὅτι συμφέροντα ἔθηκα νόμον τὸν περὶ τριηραρχιῶν, καὶ κατασκευαζομένης ταύτης ἔκ τε τοῦ παῦσαι τοὺς πένητας ἀδικουμένους, καὶ τοῦ κωλῦσαι τοὺς πλουσίους ἀπὸ μικρῶν ἀναλωμάτων ἀτελεῖς γινομένους, καὶ τὴν πόλιν ὑστερίζουσαν τῶν καιρῶν, σκόπει πῶς εἰσάγει τὰς κατασκευάς, καὶ τὰς αὐξήσεις τῆς προτάσεως, πρώτας αὐτῆς ἐκείνης. ὁρῶν γάρ, φησι, τὸ ναυτικὸν ὑμῶν καταλυόμενον, καὶ τοὺς μὲν πλουσίους, ἀτελεῖς ἀπὸ μικρῶν ἀναλωμάτων γινομένους, τοὺς δὲ μέτρια ἢ μικρὰ κεκτημένους τῶν πολιτῶν, τὰ ὄντα ἀπολλύντας, ἔτι δ' ὑστερίζουσαν ἐκ τούτων

τὴν

τὴν πόλιν τῶν καιρῶν, ἔθηκα νόμον, καὶ τὰ ἑξῆς. πολὺ δὲ ἐνταῦθα καὶ τὸ τῆς δεινότητος, ὡς ἐν τῷ περὶ αὐτῆς λόγῳ δείξομεν. ὅμοιον δὲ τούτῳ καὶ τὸ, εἰ μὲν περὶ καινοῦ τινὸς πράγματος προυτίθετο ὦ ἀθηναῖοι σκοπεῖν· τοῦ γὰρ προοιμίου ἡ μὲν πρότασις, ὅτι δεῖ καὶ νεωτέρου ὄντος καὶ πρώτου λέγοντος ἀνέχεσθαι· αἱ δὲ ταύτης κατασκευαὶ, ὅτι μηδὲν οἱ πρεσβύτεροι τῶν δεόντων εἰρήκασι τῶν πολλῶν ἐκκλησιῶν, καὶ εἴ τινες ἄλλαι, ἃς δὴ κατασκευὰς προύταξε τῆς προτάσεως· οὗ τοὐναντίον ἰσοκράτης ἐν τῷ ἀρχιδάμῳ ποιήσας, ἧττόν τε ἐμπερίβολον καὶ πόῤῥω δεινότητος πεποίηκε τὸν λόγον· οἷον, ἴσως ὑμῶν τινὲς θαυμάζουσιν, ὅτι τὸν ἄλλον ἅπαντα χρόνον τοῖς τῆς πόλεως νόμοις ἐμμεμενηκὼς, καὶ τὰ ἑξῆς. ἀλλὰ μέθοδοι μὲν αὗται, καθ' ἃς περιβάλλεται λόγος, λέξις δὲ καθ' ἑαυτὴν ἰδία περιβολῆς, ὥσπερ ἦσαν ἄλλαι τινὲς ἴδιαι τῶν ἄλλων ἰδεῶν, οὐκ ἔστι κατά γε ἐμέ, εἰ μή τις τὰς ἰσοδυναμούσας ἑτέραις λέξεσι διὰ τὸ ἐκ παραλλήλου δύνασθαι τίθεσθαι, περιβολῆς ἰδίας λέγοι· οἷόν ἐστι καὶ τὸ, τί ἐροῦμεν; καὶ τὸ, τί φήσομεν; καὶ τὸ, ἃ ἐγὼ προορώμενος ὦ ἀθηναῖοι καὶ λογιζόμενος, γράφω τὸ ψήφισμα· καὶ τὸ, εἰσὶ κρίσεις καὶ ἀγῶνες μικρὰ καὶ μεγάλα ἔχοντες ἐπιτίμια· καὶ τὸ, ὅτι τότε μὲν ὁ δῆμος δεσπότης καὶ κύριος ἦν ἁπάντων τῶν ἀγαθῶν· καὶ ὅλως μυρία ἐστὶ τούτου γε παρὰ τῷ ῥήτορι τὰ παραδείγματα, ἃ καὶ ἐξετάζοντές τινες, ὡς ἂν ἐξετάσαιεν αὐτοὶ τοῦ λόγου, εἰρήκασι περιβολῆς εἶναι ἴδια· ἀλλ' ἡμεῖς τό γε ἡμῖν δοκοῦν περὶ τούτων, εἰρήκαμεν. πλεονασμὸν μὲν γὰρ ἴσως ἔχει τινὰ, καὶ ἤτοι ἔλεγχον, ἢ αὔξησιν, ἢ σαφήνειαν, ἤ τι τῶν τοιούτων, περιβολὴν δὲ εἰ καὶ ἐμφαίνει, ἀλλ' οὖν οὐ κατὰ τὴν λέξιν. οὐδεμία μὲν γὰρ λέξις αὐτὴ

καθ' ἑαυτὴν ἔχει περιβολήν, τῇ δὲ πρὸς ἀλλήλας (οἶμαι) συμπλοκῇ, καὶ τὴν ἔμφασιν τοῦ περιβεβλῆσθαι ποιοῦσι. οὔκουν περιβλητικὸν τὸ, τί ἐροῦμεν; οὐδὲ τὸ, τί φήσομεν; οὐδὲ τῶν ἄλλων τῶν εἰρημένων αὐτὸ καθ' αὑτὸ οὐδέν, ἀλλ' ἡ ἐκ παραλλήλου θέσις αὐτῶν πεποίηκεν ἴσως τινὰ ἔμφασιν περιβολῆς. τοῦτο δὲ οὐχὶ λέξεως δήπουθεν, ἀλλ' ἴσως μεθόδου. ἐπεὶ καὶ ἐννοίας ὅλας ἐκ παραλλήλου τίθεμεν, ὅταν ἐπιμένωμεν. ἀλλ' οὐκ οἶμαι τοιοῦτον εἶναι περιβολῆς ἴδιον, δεινότητος δὲ μᾶλλον καὶ κατὰ μέθοδον. ταῖς γὰρ ἐπιμοναῖς, ἐφ' ὧν ἰσχύομεν πραγμάτων, χρώμεθα, ὡς ὁ ῥήτωρ ἐν τῷ περὶ τοῦ στεφάνου· πότερον φησι τὴν πόλιν ἐχρῆν αἰσχύνη τὸ φρόνημα ἀφεῖσαν καὶ τὴν ἀξίαν τὴν αὑτῆς; καὶ τὰ ἑξῆς. ταύτῃ γὰρ τῇ ἐννοίᾳ πλέον ἢ τετράκις ἐν τῷ αὐτῷ τόπῳ κέχρηται, καὶ τὸ μέγιστον, διὰ τοῦ αὐτοῦ σχήματος, λέγω δὴ, τοῦ κατ' ἐρώτησιν καὶ ἀποστροφῆς. διὰ γὰρ τὸ ἔνδοξον τῆς ἐννοίας ἐπιμένει, καὶ δεινῶς ἐπίκειται τῷ ἐχθρῷ ταῖς συνεχέσιν ἐρωτήσεσιν, οὐδὲ ἀναπνεῖν ἐῶν. ἐν οἷς μὲν ἂν ἰσχυρίζεσθαι δύνηται, τοῦτο ποιεῖ· ἐν οἷς δ' ἂν ἀσθενὴς ὁ λόγος ᾖ, ὡς ἑτέρως. ἅπαξ γὰρ καὶ δι' ἐλαχίστων εἰπὼν, ἀπαλλάσεται. φανεῖται δὲ τοῦτο ἐν τῷ περὶ δεινότητος. ταῖς δὲ οὖν ἐπιμοναῖς, ἐφ' ὧν ἰσχύομεν πραγμάτων χρώμεθα, καὶ τοῦτο ἦν μεθόδου δήπουθεν. ὥστε εἴη ἂν καὶ τὸ, τί ἐροῦμεν; καὶ τὸ, τί φήσομεν; μέθοδός τις, ἣν οὐ φαῦλον συγχωρῆσαι ποιεῖν περιβολήν. καὶ ἔστω ἐν τῷ περὶ μεθόδου περιβολῆς καὶ ἡ ἐπιμονή. καί τοι οὐ πανταχοῦ ἔνθα ἂν εὑρεθείη, περιβολὴν ποιεῖ, ἀλλ' οὖν συγχωρείσθω διά τε τὰ προειρημένα, καὶ τὸ, τί ἐροῦμεν; ἢ τί φήσομεν; λέγω, καὶ ἔτι τὰ τοιαῦτα· οἷον, καί τοι ὁπηνίκα ἐφαίνετο ταῦτα πεπρακώς, καὶ τοῦτον τὸν τρόπον κεχρημένος τοῖς πρὸς ἐμέ. καὶ γὰρ ἐνταῦθα ὁ-

μοίως

μοίως περιτελευτεῖ τὸ ἕτερον κῶλον ἐκ παραλλήλου τεθέν, ὥσπερ ἐκφέρει ἡ λέξις· σχήματα δὲ περιβλητικά, πρῶτα μέν εἰσι καθόλου πάντα τὰ ἐφελκόμενα δευτέρας ἢ καὶ τρίτας ἐννοίας, πρὸς δὲ τούτοις ἕτερα ἄττα, περὶ ὧν καθέκαστον ἐροῦμεν· καὶ πρῶτον μὲν περὶ τῶν οὐ δυναμένων στῆσαι τὰς ἐννοίας αὐτὰς ἐφ᾽ ἑαυτῶν, ὅπερ ἔφην, ἐφελκομένων ἑτέρας ταῖς πρώταις λέξομεν. ἔστι τοίνυν ἥ τε ἀπαρίθμησις τοιαύτη· οἷον, πρῶτον μὲν τόδε, δεύτερον δὲ τόδε. τοῦτο δὲ καὶ εὐκρινείας καὶ ἀφελείας ἐστίν, εἰ συνεγγυς λάβοι τὴν ἀνταπόδοσιν. τὸ γὰρ διὰ μακροῦ, περιβλητικόν· εἰ δὲ καὶ ἐξ ἐπαναλήψεως γίνοιτο, ἕνεκα μὲν τῆς ἀπαναλήψεως εὐκρινῆ ποιεῖ τὸν λόγον, τῆς δὲ περιβολῆς, διὰ τὸ διὰ μακροῦ ἀποδεδόσθαι, πάντως ἔχει· οἷον, πρῶτον μὲν ὦ ἀθηναῖοι ἵνα μηδεὶς ὑμῶν ἐπειδάν τι λέγοντος ἀκούῃ μου θαυμάζῃ, εἶτα πολλὰ εἰπὼν ἐξ ἐπεμβολῆς, ἐπανέλαβε πάλιν, πρώτου μὲν τούτου καὶ μάλιστα οὕνπερ εἶπον ἕνεκα ταῦτα διεξῆλθον· εἶθ᾽ οὕτως ἀπέδωκε τὸ ἀναγκαῖον, ὡς ἑπόμενον τῷ σχήματι· οἷον δευτέρου δέ τινος, καὶ τὰ ἑξῆς· ἥ τε οὖν ἀπαρίθμησίς ἐστι σχῆμα περιβλητικόν, καὶ τὰ ἐοικότα ταύτῃ. τότε ἀπαριθμητικὸν λέγω· οἷον, πρῶτον μὲν ὦ ἀθηναῖοι τοῖς θεοῖς εὔχομαι πᾶσι καὶ πάσαις ὅσην εὔνοιαν, καὶ τὰ ἑξῆς, ἔπειθ᾽ ὅπερ ἐστὶν ὑπὲρ ὑμῶν· καὶ τὸ κατὰ προτίμησιν λεγόμενον· οἷον, μάλιστα μὲν οὖν εἵνεκα τοῦ νομίζειν συμφέρειν τῇ πόλει λελύσθαι τὸν νόμον· εἶτα καὶ τοῦ παιδὸς εἵνεκα τοῦ χαβρίου. ἐφέλκεται ἐννοίας καὶ τὰ καθ᾽ ὑπόθεσιν σχήματα· καὶ μάλιστα, εἰ μετὰ ὁρισμοῦ τις ὑποτιθεῖτο· οἷον, εἰ μὲν γὰρ ἐνταῦθα ἦν ἤδη τὰ πράγματα αἰσχίνη, ὥστε μηδ᾽ αἰσθανομένοις τοῖς θηβαίοις πλέον εἶναι μηδέν, τί οὐ γέγονεν; εἰ δ᾽ ἐξ ἀνάγκης ἐπηκολούθησε

τὸ, εἰ δὲ παρὰ τὸ προαισθέσθαι κεκώλυται, τίς ὁ ἐκλαλήσας; οὐχ οὗτος; ὅτι μὲν τοι τίς ἄνευ μερισμοῦ ὑποθετικῷ σχήματι χρήσαιτο, πάντως μὲν ἐρεῖ τι, καὶ κατὰ ἀνάγκην ἐφεπόμενον ἕτερον νόημα, οὐ μὴν ὁμοίως ποιήσει περιβολήν. οὐ γὰρ ὡσαύτως ἐμφαίνεται, ὅτι κατ᾽ ἀνάγκην ἠκολούθησεν, ὥσπερ ἐν τῷδε, εἰ δὲ τὸ κωλῦσαι τὴν πόλιν μετὰ τοῦ κοινοῦ συνεδρίου τῶν ἑλλήνων ποιήσασθαι τὴν εἰρήνην ἐπεπράχειν ἐγὼ Φιλίππῳ· εἶτα τὸ ἑπόμενον ἐξ ἀνάγκης, σοὶ μὴ τὸ σιγῆσαι λοιπὸν ἂν ἦν. ἐφέλκονται νοήματα καὶ οἱ πλαγιασμοί· οἷον, τοῦ γὰρ φωκικοῦ συστάντος πολέμου κατὰ τόδε καὶ τόδε· εἶτα τὸ ἐφελκόμενον, ὑμεῖς μὲν οὕτω διέκεισθε. περιβέβληται δὲ τοῦτο μειζόνως οὐ μόνον κατὰ τόδε τὸ σχῆμα, ἀλλὰ καὶ κατ᾽ ἔννοιαν καὶ κατὰ μέθοδον, καὶ κατ᾽ ἄλλα σχήματα πλείονα· οἷον τὸ ἐξ ἐπεμβολῆς, τὸ, οὐ δι᾽ ἐμέ· οὐ γὰρ ἔγωγε· καὶ τὸ ἀπαριθμητικόν· οἷον, πρῶτον μὲν ὑμεῖς οὕτω διέκεισθε· καὶ ἄλλα συχνά. ἀλλ᾽ οὖν ὅ γε πλαγιασμὸς πλεῖστον ἔχει τῆς περιβολῆς, ὥσπερ κἀν τῷδε· πολλῶν ὦ ἀθηναῖοι λόγων γινομένων ὀλίγου δεῖν καθ᾽ ἑκάστην ἐκκλησίαν, καὶ τὰ ἑξῆς· καὶ πάλιν, ἐπειδὴ γὰρ οὐ καθεστηκότος χορηγοῦ τῇ πανδιονίδι φυλῇ, καὶ τὰ ἑξῆς· ὅλως τε μυρία τούτου παραδείγματα παρὰ τῷ ῥήτορι, καὶ καθόλου τῆς περιβολῆς. οὐ γάρ ἐστιν ὅ, τι μὴ περιβέβληται τῶν τούτου. λέγω δὲ, εἰ μή κομματικόν τις ἀπολαβὼν, λέγοι ὡς ἀπερίβλητόν τε καὶ καθαρὸν εἴη· ὥσπερ τὸ, Σαννίων ἐστὶ δήπου τις ὁ τῆς τραγικῆς χοροὺς διδάσκων, οὗτος ἀστρατίας ἑάλω· ἀλλὰ τὸ διαρκὲς εἰ θεωροίη, ἐπεὶ εὐθὺς ἐνταῦθα τὸ, κέχρηται συμφορᾷ, ποῦ ἐστὶ καθαρὸν, πλὴν τοῦ κώλου; καὶ ὅλως κατ᾽ ἐφεξῆς ἅπαντα πῶς οὐ περιβεβλημένα; μυρία τοίνυν (ὅπερ ἔφην) παρὰ τῷ ῥήτορι τὰ παραδείγματα τῆς

περι

περιβολῆς, ὅπου γε καὶ ἐν ἰδιωτικοῖς οὐδὲν ἧττον πλεονάζει τῇ ἰδέᾳ ταύτῃ· ἔνθα καὶ μᾶλλον οἶμαι δεῖν τῆς καθαρότητος, διὰ τὸ ἐν ἤθει τὸ πλεῖστον αὐτῶν εἶναι. τὸ δ' αἴτιον τοῦ πλεονάζειν αὐτὸν τῇ περιβολῇ (καὶ γὰρ ἐπηγγειλάμην εἰπεῖν ἐν τοῖς περὶ αὐτῆς λόγοις) ὅτι μεγέθους μὲν αὐτῷ μέλει καὶ ἀξιώματος, τῶν δὲ ἄλλων ἰδεῶν αἳ ποιοῦσι τὸ μέγεθος τῷ τοῦ ῥήτορος λόγῳ, ἐν μὲν ἰδιωτικοῖς σχεδὸν οὐδεμία πλὴν σφοδρότητος ἁρμόττει· καὶ ταύτης οὐ καθαρᾶς, ἀλλὰ μετά τινος παραμυθίας, τῶν δὲ ἄλλων οὐδεμία. οὔτε γὰρ τραχύτητι, οὔτε σεμνότητι, οὔτε λαμπρότητι, οὔτε ἀκμῇ χρήσαιτο ἄν τις ἀκριβῶς ἐν ἰδιωτικοῖς. σφοδρότητι μέντοι ἔστιν ὅπου, καὶ ταῦτα κατὰ ἤθους τινός, ὡς ἐν τῷ, ἀλλ' ὦ χαλεπώτατε βιωτέ, δύναται χρῆσθαι, καὶ εὕροις ἂν τούτου πολλὰ παραδείγματα. ἡ μέντοι περιβολὴ ἠδυνήθη ἁρμόσαι σχεδὸν δι' ὅλου καὶ τοῖς ἰδιωτικοῖς, ὡς αὐτὸ δή που δείκνυσι τὸ ἔργον, ἐν δὲ τοῖς δημοσίοις τῶν ἀγώνων, δύνανται μέν πως καὶ αἱ λοιπαὶ τῶν ποιουσῶν τὸ μέγεθος ἰδέαι διὰ τὸ μέγεθος τῶν πραγμάτων συμπαραλαμβάνεσθαι· καὶ μάλιστα εἰ τὸ λέγον πρόσωπα ἀξίωμα ἔχοι, ὡς ἐν τῷ ὑπὲρ τοῦ στεφάνου· καὶ εἰ καθόλου λέγοιτο, καὶ εἰ ἐνδέχοιτο ἐπιφοράν. ἀκμὰς γὰρ τότε μάλιστα ἐγχωρεῖ ποιεῖν, ὡς ἐν τοῖς κατὰ Φιλίππου· οὐ μὴν οὐδὲ ἐνταῦθα ἐκείνας μᾶλλον ἔξεστι πλεονάσαι, οἷον σεμνότητι, ἢ τραχύτητι, ἢ σφοδρότητι, ἢ λαμπρότητι, ἢ ἀκμῇ, ὥσπερ τῇ περιβολῇ. τοῦτ' οὖν τὸ αἴτιον τοῦ πλεονάζειν τὸν ῥήτορα ταύτῃ παρὰ τὰς ἄλλας, ἅτε τὴν ἄκραν ἐπιστήμην ἔχοντα περὶ τοὺς λόγους. ἀλλ' (ὅθεν ἐξέβημεν) πάλιν ἐπανιτέον ἐπὶ τὰ σχήματα τῆς περιβολῆς. ἐφέλκεται γὰρ νοήματα καὶ τὸ ἐπιτρέχον καλούμενον σχῆμα ἐκ τοῦ παρασυναπτικοῦ· οἷον, ἐπειδὴ γὰρ ἐκ-

κλησία μὲν οὐκ ἔτ᾽ ἦν ὑπόλοιπος οὐδεμία διὰ τὸ προκατακεχρῆσθαι, καὶ τὰ ἑξῆς. ἔτι ἐφέλκονται νοήματα καὶ αἱ ὑποστάσεις, οἷον ἐξήλεγξα τὸν Φίλιππον φανερῶς οὕτως, ὥστε τοὺς ἐκείνου συμμάχους αὐτοὺς, ἀνισταμένους ὁμολογεῖν· καὶ πάλιν, ὅσην εὔνοιαν ἔχων ἐγὼ διατελῶ, τοσαύτην ὑπάρξαι μοι· καὶ ὅσα τὰ τοιαῦτα ἔτι ἐφέλκονται νοήματα καὶ οἱ μερισμοί· οἷον, ἃ μὲν οὖν πρὸ τοῦ πολιτεύεσθαι καὶ δημηγορεῖν ἐμὲ, προὔλαβε καὶ κατέσχε Φίλιππος, ἐάσω· ἃ δὲ ἀφ᾽ ἧς ἡμέρας ἐπὶ ταῦτα ἐπέστην ἐγὼ διεκωλύθη, ταῦτα ἐρῶ. ἐπεὶ δὲ πολὺ τὸ σχῆμά ἐστι τὸ τοῦ μερισμοῦ, σχεδὸν ἐν παντὶ λόγῳ, οὐ μόνον ἐν τῷ δημοσθενικῷ, ἄξιον, τί καὶ πλεῖον εἰπεῖν περὶ αὐτοῦ. μερισμὸς γὰρ πᾶς ἔμφασιν μὲν πάντως ἔχει περιβολῆς διὰ τὸ ἐφέλκεσθαί τι· ἤτοι δὲ φανερὰν ἔχει τὴν περιβολὴν, ἢ μέχρι μὲν ἐμφάσεως περιέβαλεν, ἕτερον δέ τι ἐποίησε. διαμακρὸν μὲν γὰρ ὅτε ἀπολαμβάνοι τὰς ἀνταποδόσεις, περιβάλλει πάντως· οἷον, τὸ μὲν οὖν τὴν Φιλίππου ῥώμην δεδιέναι, καὶ διὰ τούτων τῶν λόγων προτρέπειν τὰ δέοντα ποιεῖν ὑμᾶς, μέχρι τοῦ, ἃ δὲ καὶ χωρὶς τούτων ἔνι· ἐνταῦθα γὰρ ἡ ἀνταπόδοσις. ἔστι δὲ τὸ παράδειγμα καὶ μεστὸν, οὐ μόνον περιβεβλημένον ἐστίν. ἔστι γὰρ ἡ μεστότης οὐδὲν ἀλλ᾽ ἢ περιβολὴ πλεονάσασα ἐν ἑαυτῇ, ὥσπερ ἂν εἴ τις λέγοι περιβολὴ περιβεβλημένη. μικρὸν δὲ ὕστερον, σαφέστερον περὶ αὐτῆς ἐροῦμεν, καὶ μετ᾽ ἐναργεστέρων παραδειγμάτων. ἀλλ᾽ οὖν ὅ γε μερισμὸς διὰ μακροῦ μὲν ἔχων τὰς ἀνταποδόσεις, περιβάλλει τὸν λόγον, ὡς ἐλέγομεν· δι᾽ ἐλαχίστου δὲ γοργὸν ποιεῖ· οἷον, ἑσπέρα μὲν γὰρ ἦν, ἧκε δὲ ἀγγέλων τις ὡς τοὺς πρυτάνεις, ὡς Ἐλάτεια κατείληπται· καὶ πάλιν, εἶτα κατηγορεῖ μὲν ἐμοῦ, κρίνει δὲ τουτονί. εἰ μέν τοι κατὰ συζυγίαν παραληφθείη, καὶ καλὸν

ὁμοῦ

ὅμοιον καὶ ἐμμελῆ τὸν λόγον ἐποίησεν· οἷον, παρὰ μὲν γὰρ τὰς τῶν χορηγιῶν δαπάνας, μικρὸν ἡμέρας μέρος ἡ χάρις τοῖς δεωμένοις γίνεται· παρὰ δὲ τὰς τῶν εἰς τὸν πόλεμον παρασκευῶν ἀφθονίας, πάντα τὸν χρόνον ἡ σωτηρία τῇ πόλει. δύο γὰρ κῶλα συντεθέντα δύο κώλοις ἑτέροις συνεζευγμένοις, ὥσπερ ἐν στροφῇ καὶ ἀντιστρόφῳ τὴν ἀνταπόδοσιν ἔχει· ἐνταῦθα δὲ τὸ κάλλος καὶ αἱ παρισώσεις ἐποίησαν, οὐ μόνον ὁ κατὰ συζυγίαν μερισμός. ἔτι δὲ οἱ μερισμοὶ ποιοῦσι μεστὸν τὸν λόγον, ὅταν τε αὐτοὶ αὐτοῖς ἐπιβάλλονται· οἷον, εἰ μὲν περὶ καινοῦ τινὸς πράγματος ὦ ἀθηναῖοι, καὶ τὰ ἑξῆς. πρὶν γὰρ ἀνταποδοῦναι ἐπενέβαλεν ἕτερον μερισμόν· εἰ μὲν ἤρεσκε τί μοι τῶν ὑπὸ τούτων ῥηθέντων, ἡσυχίαν ἂν ἦγον· εἰ δὲ μή, τότ' ἂν καὶ αὐτὸς ἐπειρώμην ἃ γινώσκω, λέγειν. εἶθ' ὕστερον ἡ ἀνταπόδοσις· ἐπειδὴ δὲ ὑπὲρ ὧν πολλάκις εἰρήκασιν οὗτοι, συμβαίνει καὶ νυνὶ σκοπεῖν. μεστὸς οὖν ἐγένετο διὰ τοῦτο ὁ λόγος. ὅταν τε οὖν αὐτοὶ ἑαυτοῖς ἐπεμβάλλωνται οἱ μερισμοί, μεστότητα ποιοῦσι, καὶ ὅταν ἀλλήλων διηρτημένοι ὦσιν· οἷον, τοῦτο τοίνυν τὸ ψήφισμα τῷ μὲν ἑνὶ τῷ κερσοβλέπτῃ συμπράττοντι τὴν ἀρχὴν χαριδήμῳ ἀσφάλειαν διδόναι, τοῖς δὲ τῶν ἑτέρων βασιλέων στρατηγοῖς φόβον καὶ δέος, μή τινα αἰτίαν ἔχωσι παριστᾶν· εἶτα πρὶν ἀπολῦσαι τὴν διάνοιαν ἐπισυνῆψεν, διαρτήσας τοῦ προτέρου ἄλλον μερισμόν, τοὺς μὲν ἀσθενεῖς, τὸν δὲ ἕνα ὄντα, ἰσχυρὸν καθίστησι. μεστὸν οὖν ἐποίησε τὸν λόγον. ὅλως οὖν ἡ μεστότης γίνεται, ὅταν σχήματα περιβλητικὰ δι' ἀλλήλων πλεονάσῃ κατ' ἐπεμβολὴν ἢ κατὰ διάρτησιν, ὡς προείρηται, ἢ καὶ ἑτέροις περιβλητικοῖς ἕτερα τοιαῦτα οὑτωσί πως συμπλακῇ· οἷον μερισμῷ τῷ καθ' ὑπόστασιν, ἢ ἄλλῳ τῳ ἄλλο τοιοῦτον ἐπεμβληθὲν

ἢ διαρ

ἢ διαρτηθέν, ὡς ἐδείξαμεν ὀλίγῳ ἔμπροσθεν. ἔστι γὰρ ἡ μεσότης οὐδὲν ἄλλ' ἢ πλεονάσασα περιβολή. τὰ γὰρ τοιαῦτα τῆς περιβολῆς εἰ πλείονα παραληφθείη περὶ ταυτόν· οἷον, ἐπεμβολαὶ καὶ τὰ τοιαῦτα, μέσον ποιοῦσι τὸν λόγον· μεγάλης δὲ εὐτονίας καὶ δυνάμεως ἐν τοῖς τοιούτοις δεῖ τοῦ σαφῶς καὶ μὴ συγκεχυμένως εἰπεῖν· τοῖς ῥήτορσι δὲ πολὺ τούτου τὸ περιόν. ταῦτα περί τε μερισμοῦ καὶ μεσότητος. ποιεῖν δὲ ἔφαμεν περιβολῆς σχήματα οὐ μόνον τὰ ἐφελκόμενα ἕτερα νοήματα, ἀλλὰ καὶ ἄλλα ἄττα· περὶ ὧν ἀνάγκη καὶ αὐτῶν εἰπεῖν. τότε οὖν κατὰ ἄρσιν καὶ θέσιν περιβάλλει τέλειον ποιοῦν τὸν λόγον· οἷον, οὐχ ὡς τῶν ἀποδωσομένων τὰ ἡμέτερα· εἶτα ἡ θέσις, ἀλλ' ὡς τῶν φυλαξόντων τοὺς ἄλλους, τοῦτο τὸ σχῆμα οὐκ ἔθεμεν ἐν τοῖς ἐφελκομένοις ἄλλα νοήματα, ὅτι καὶ καθ' ἑαυτὴν ἡ ἀναίρεσις δύναται τίθεσθαι, καὶ οὐκ ἀναγκαίως αὐτῇ ἕπεται ἡ θέσις· οἷον, οὐ δι' ἐμέ. οὐ γὰρ ἔγωγ' ἐπολιτευόμην πώποτε· πρῶτον μὲν ὑμεῖς οὕτω διέκεισθε. οὐδὲν γὰρ ἐπηκολουθήκει θετικὸν τῇ ἀναιρέσει· τότε οὖν κατὰ ἄρσιν καὶ θέσιν περιβάλλει σχῆμα τέλειον ποιοῦν τὸν λόγον, καὶ τὸ διὰ τῆς ἀναιρέσεως συμπλεκτικόν· περιουσιαστικὰ γὰρ τὰ οὕτω προφερόμενα νοήματα δοκεῖ πως εἶναι· οἷον, οὐ μόνον τόδε, ἀλλὰ καὶ τόδε. οὐ γὰρ μόνον εἴ τι χρήσιμον ἐσκεμμένος ἥκοι τις, τοῦτο ἂν ἀκούσαντες λάβοιτε, ἀλλὰ καὶ τῆς ὑμετέρας τύχης ὑπολαμβάνω. καὶ μὴν καὶ τὸ κατὰ συστροφὴν λεγόμενον σχῆμα, σφόδρα ἐμπερίβολον· οἷον, εἰ γὰρ ὅτε ἥκομεν Εὐβοεῦσι βεβοηθηκότες, καὶ τὰ ἑξῆς· καὶ πάλιν, ὁ γὰρ οἷς ἂν ἐγὼ ληφθείην, ταῦτα πράττων, καὶ τὰ ἑξῆς. ἡ δὲ ἐπεμβολή, καὶ ὅλως τὸ πρὶν ἀναπαῦσαι τὴν ἔννοιαν ὑποστρέφειν καὶ ἐπεμβάλλειν ἑτέρας ἐννοίας, ὅτι περιβολῆς ἴδιον, ἱκανῶς καὶ ὀλίγῳ ἔμπροσθεν ἐν τοῖς περὶ μεσότητος καὶ ἐν τῷ περὶ καθαροῦ

λόγου

λόγου, καὶ ὅλως ἐν πλείοσιν εἰρήκαμεν· καὶ παραδείγματα δὲ αὐτῶν τεθείκαμεν οὐκ ὀλίγα. εἰδέναι μέντοι χρὴ ὅτι αἱ τοιαῦται ἐπεμβολαὶ καὶ ὑπτιότητα ἐξαιροῦνται τῆς ἐν ταῖς ἀφηγήσεσι, διακόπτουσαι τὸν λόγον, καὶ ποιοῦσαι κατ' αὐτὸ τὸ διακόψαι, γοργότερον· οἷον, τοῦ γὰρ φωκικοῦ συστάντος πολέμου, εἶτα διέκοψε τὴν ἀφήγησιν, ἐπεμβαλὼν τὸ, οὐ δι' ἐμὲ, οὐ γὰρ ἔγωγ' ἐπολιτευόμην πω τότε, εἶτα ἧκε πάλιν ἐπὶ τὴν ἀφήγησιν, πρῶτον μὲν ὑμεῖς οὕτω διέκεισθε, καὶ τὰ ἑξῆς. τοιοῦτόν ἐστι καὶ τὸ, ἔστι τοίνυν οὗτος ὁ πρῶτος Ἀθηναίων αἰσθόμενος Φίλιππον, ὃς τότε δημηγορῶν ἔφη ἐπιβουλεύοντα τοῖς Ἕλλησι. καὶ ὅλως εἴ γε βραχεῖαι εἶεν αἱ ἐπεμβολαί, ἀλλὰ μὴ μακραί, μᾶλλον γοργὸν ἢ περιβεβλημένον ποιοῦσι τὸν λόγον· οἷον, τοῦ τ' ἐκεῖνον ὅπερ καὶ ἀληθὲς ὑπάρχει, φαῦλον φαίνεσθαι· ὁρᾷς πῶς εὐκίνητος καὶ γοργὸς ὁ λόγος ἐστίν· ἐγένετο δὲ διὰ τὴν ἐπεμβολὴν τὴν οὖσαν βραχεῖαν, ὅπερ καὶ ἀληθὲς ὑπάρχει. οὐ μὴν ἀπηλλακταί γε πάντη περιβολῆς, οὐδὲ ἂν οὕτως, ὥσπερ οὐδ' ὅτε μακραὶ εἶεν αἱ ἐπεμβολαί, ἀπηλλάχθαι γε ἐῶσι τὸν λόγον γοργότητος· καίτοι μᾶλλον τότε ποιοῦσαι περιβολὴν ἢ γοργότητα. καὶ τὰ μὲν κατὰ τὰς ἐννοίας καὶ μεθόδους καὶ σχήματα, καὶ εἴπερ ἄρα λέξις γένοιτ' ἂν ὡς ἐδείξαμεν περιβολῆς, διαρκῶς ἀποδέδεικται· κῶλα γε μὴν ἢ συνθήκας ἢ ἀναπαύσεις ἢ ῥυθμοὺς, οὐκ ἔχομεν ἴδια περιβολῆς εἰπεῖν. πάντα τε γὰρ κῶλα, ὡς ἔπος εἰπεῖν, καὶ πάντας δέχεται ῥυθμοὺς τοὺς ἐν πάσαις ἰδέαις, καὶ πάσας συνθήκας, καὶ πάσας ἀναπαύσεις· διό γε καὶ τῆς περιβολῆς ἐκεῖναι δέχονται πᾶσαι, πλὴν ἴσως τῆς καθαρότητος. ἐξίσταται γὰρ αὐτῆς ἡ καθαρότης, εἰ περιβληθείη. καὶ ὅλως, ὅπερ ἔλεγον κἂν τῷ περὶ αὐτῆς, ἐναντία ἐστὶ τῇ περιβολῇ. διὸ καὶ κατὰ

πολλὰ ἀπὸ τῶν ἐναντίων ἀλλήλαις γίνονται ἥ τε περιβολὴ καὶ ἡ καθαρότης, εἰ καὶ μὴ κατὰ πάντα. εἰ δὲ ἐγχωροῖ κατ᾽ ἔννοιαν περιβάλλοντα, τοῖς ἄλλοις καθαρὸν ποιεῖν τὸν λόγον, ἢ τὸ ἀνάπαλιν, οὐ δεῖ θαυμάζειν. ἔστι γὰρ καὶ καθαρῶς δοκοῦντα λέγειν, περιβάλλειν ταῖς ἐννοίαις, τὰ παρακολουθοῦντα πάντα ἐξετάζοντα· καὶ τοὐναντίον αὖ, περιβεβλημένως δοκοῦντα λέγειν, καθαρὸν ἐκφέρειν τὸ νόημα καὶ ψιλόν· καὶ τοῦτο οἶμαι σαφῶς ἐν τῷ περὶ καθαρότητος ἡμῖν δεδεῖχθαι.

## ΠΕΡΙ ΕΠΙΜΕΛΕΙΑΣ ΚΑΙ ΚΑΛΛΟΥΣ.

Μετὰ τὸν περὶ σαφηνείας τε καὶ ἀξιώματος τοῦ κατὰ μέγεθος λόγου, ἀκόλουθον ἂν εἴη λέγειν περὶ τῆς ἐπιμελείας τε καὶ κάλλους τοῦ κατ᾽ αὐτόν. δεῖ γὰρ τῷ σαφεῖ τε καὶ ὄγκον ἔχοντι καὶ ἀξίωμα λόγῳ, πάντως καὶ κάλλους τινὸς καὶ εὐρυθμίας, εἴπερ μὴ ὡς ἀγλευκής τις γενήσεσθαι μέλλοι. τούτῳ δ᾽ ὅτι μὲν ἐναντίον ἐστὶ τὸ ἀμελὲς καὶ ἄρυθμον καὶ κατὰ σύνταξιν εὐτελὲς, δῆλον· εἰ δέ που καὶ τὸ τοιοῦτον χρήσιμον, ὥσπερ ἐν τραχύτητί τε καὶ σφοδρότητι, ἑτέρου λόγου. ἀλλὰ περὶ κάλλους λεκτέον καὶ τῆς ἐπιμελείας. κάλλος μὲν τοίνυν τὸ ἐν λόγῳ, κυρίως μὲν εἴη ἂν τὸ ἐκ πάντων τῶν ποιούντων τὰς ἰδέας αὐτοῦ πάσας· οἷον ἐννοιῶν, μεθόδων, λέξεων, καὶ τῶν λοιπῶν, εὐάρμοστον καὶ σύμμετρον, μετά τινος ἐμφαινομένης διὰ ὅλου τοῦ λόγου ποιότητος ἠθικῆς μιᾶς, πρεπούσης τῇ ἰδέᾳ, καθάπερ ἐν σώματι χρῶμα. λέγω δὲ ταυτὸν, εἴτε κατὰ μίαν, αὐτῶν ἑκάστην ἐργάζεσθαί τις προαιροῖτο, εἴτε καὶ πάσας μιγνὺς ὡς πεφύκασι μίγνυσθαι, τὸ ποικίλον τε καὶ δημοσθενικὸν, καὶ ὄντως πολιτικὸν μετιὼν λόγον,

εἴτε

εἴτε καί τινας αὐτῶν τισὶ συναρμόττειν. ἐπειδὴ δὲ καθόλου τὸ κάλλος ἐστὶ συμμετρία μελῶν καὶ μερῶν μετ' εὐχροίας, δι' ὧν λόγος τις γίνεται, εἴτε ἰδεῶν ὅλων μιγνυμένων εἰς ταυτόν, εἴτε καὶ τῶν συμπληρούντων ἑκάστην ἰδέαν· ταῦτα γὰρ οἷον μέλη καὶ μέρη ἐστὶν αὐτῶν. δεῖ δήπουθεν εἰ μέλλοι καλὸς ἔσεσθαι, ἄν τε ποικίλος, ἄν τε μονοειδὴς ᾖ, συμμετρίαν ἔχειν τούτων, ὅ ἐστιν εὐαρμοστίαν, καί τινα ἐπανθεῖν αὐτῷ οἷον εὔχροιαν, τὴν ἐμφαινομένην διόλου μίαν τοῦ ἤθους ποιότητα· ἣν δὴ καὶ φύσει τινὲς χρῶμα λόγου ὀνομάζουσιν. εἰ καὶ τοῦτό ἐστι τὸ κάλλος, ὅ μοι δοκεῖ καὶ ὁ Πλάτων εἰπεῖν, φάσκων δεῖν ἔχειν τὸν λόγον κεφαλήν τε καὶ ἄκρα καὶ μέσα, πρέποντα ἀλλήλοις τε καὶ τῷ ὅλῳ σώματι, ἀλλὰ μὴ χωρὶς ἕκαστα βεβλῆσθαι, εἰ καὶ καλὰ εἴη καθ' ἑαυτά· οὐ γὰρ δύνασθαί ποτε οὕτω γενέσθαι καλὸν λόγον. καὶ τοῦτο αἰτιᾶταί γε τοῦ Λυσίου ἐρωτικοῦ, ὡς ταῖς ἐννοίαις οὐκ εὐαρμόστως αὐτοῦ χρησαμένου, οὐδὲ τῇ τάξει· οὐ μὴν τὰς ἐννοίας γε αὐτὰς αἰτιᾶται, οὐδὲ τὴν λέξιν. ἐπεὶ ταῖς γε ἐννοίαις καὶ αὐτὸς χρῆται ταῖς αὐταῖς· τὴν δ' αὖ λέξιν καὶ πάνυ ἐπαινεῖ, σφόδρα εὖ φάσκων τοῖς τε ὀνόμασι καὶ τοῖς ῥήμασι τὸν λόγον ἀποτετορνεῦσθαι, καὶ οὐκ ἀγεννῶς εἰρῆσθαι τὸ ἐπιὸν τῷ ῥήτορι. ἀλλὰ περὶ μὲν Λυσίου καὶ τοῦ Λυσίου λόγου, εἴτ' οὖν παντός, εἴτε καὶ αὐτοῦ μόνου τοῦ ἐρωτικοῦ, ταυτὶ ἀναβεβλήσθω, ἡμῖν δὲ τὸ προτεθὲν ἐπανιτέον. κάλλος γὰρ λόγου κυρίως μὲν ὃ προείρηται εἶναι, λέγοιτ' ἄν· ἐπεὶ δέ ἐστι τινά, ἃ δὴ σαφῶς ἐκτρέπει τῶν ἄλλων πολλάκις ἐν τῷ λόγῳ, οἷον κόσμος τις ἐπικείμενος ἔξωθεν κομμοτικός, ὧν μόνων καὶ τοῦ κάλλους τινὲς τοῦ ἐν λόγῳ ἀπέδοσαν ὄνομα, καὶ περὶ οὗ καὶ Ἰσοκράτης φησίν, ὅτι τοὺς ἀκούοντας ἐπισημαίνεσθαι καὶ θορυβεῖν ποιεῖ, περὶ παρισώσεων καὶ τοιούτων τινῶν λέγων,

ταῦτ' εἴρηκεν ἐν παναθηναϊκῷ. φαίνεται δὲ οὐκ ὀλίγῳ καὶ τούτῳ χρησάμενος ὁ δημοσθένης, καὶ ἀναγκαῖον ὂν οὐδενὸς ἧττον τῶν τε προειρημένων ἰδεῶν τοῦ λόγου, καὶ τῶν ῥηθήσεσθαι μελλουσῶν. ἐπειδὴ ταῦτα οὕτως ἔχει, δεῖ δὴ καὶ περὶ τούτου τοῦ κάλλους εἰπεῖν. εἰδέναι οὖν χρὴ πρῶτον ὅτι τὸ τοιοῦτον κάλλος, περὶ τὴν λέξιν μόνην ἐστί, καὶ τὰ ἑπόμενα τῇ λέξει, σχήματα λέγω καὶ κῶλα, συνθήκας τε καὶ ἀναπαύσεις, καὶ τὸν ἐκ τούτων γινόμενον, τὸν ῥυθμόν. ἔννοιαι δὲ αὐταὶ καθ' ἑαυτὰς ἢ μέθοδοί τινες, τοῦ τοιούτου κάλλους οὐκ εἰσί, πλὴν εἴ τις λέγοι τὴν δριμύτητα, περὶ ἧς ὀλίγον ὕστερον ἐροῦμεν, ὅτε περὶ ἀφελείας τε καὶ γλυκύτητος λέγοιμεν. ἀλλὰ πρῶτόν γε περὶ τῆς λέξεως (περὶ γὰρ τῶν ὁμολογουμένων πρῶτον λεκτέον) λέξις τοίνυν καλὴ πᾶσα ἥπερ καὶ καθαρά. αἱ γὰρ τραχεῖαι καὶ τροπικαί, ἐναργεῖς μὲν εἶεν ἂν καὶ ἴσως καὶ ἄλλο τι, ὥσπερ καὶ τό, ἐμὲ γοῦν ὦ ἀθηναῖοι διεφθαρμένος καὶ πεπρακὼς ἑαυτόν, ἐλάνθανε; καὶ τό, ἐκνενευρισμένοι, καὶ ὅσα τοιαῦτα· καλαὶ δέ, ὡς ἐν τοιούτῳ κάλλει, οὐκ εἰσί. ταῦτά τοι καὶ ὁ ἰσοκράτης μάλιστα κάλλους πεφροντικώς, ἥκιστα ἐχρήσατο ταῖς τροπικαῖς. πλεῖον δὲ τὸ τῆς ἐπιμελείας καὶ τοῦ κάλλους ἔχουσιν αἱ μικραὶ τῶν λέξεων, καὶ διὰ ὀλίγων συγκείμεναι συλλαβῶν· οἷον, περὶ τοῦ πῶς ἀκούειν ἡμᾶς ἐμοῦ δεῖ. σχήματα δὲ καλὰ καὶ ἐκπρεπῆ ποιεῖ τὸν κόσμον, καὶ σαφῶς τὸ κεκαλλωπίσθαι ἐνδείκνυται, αἵ τε παρισώσεις, αἵπερ καὶ πλεονάζουσι παρὰ τῷ ἰσοκράτει· εἰσὶ δὲ καὶ παρὰ τῷ ῥήτορι, οὐ μέντοι τοσαῦταί γε, οὐδὲ τοιαῦται. μάλιστα δὲ ἐκεῖναι παρ' αὐτῷ σπάνιαι, ὅσαι τὸ καθ' αὑτὰς ἀκριβὲς ἔχουσιν· οἷον ὅτι καὶ τό, τῇ τε πόλει βοηθεῖν οἴεται δεῖν, καὶ δίκην ὑπὲρ αὐτοῦ λαβεῖν, τοῦτο κἀγὼ πειράσομαι ποιεῖν. τοιαύτην γὰρ παρίσωσιν, καὶ οὕτως ἐπιτετηδευμένην οὐδεμίαν εὕροι ἑτέραν

ἑτέραν ἔχομεν παρά γε τοῦ ῥήτορος. ἀλλὰ τὴν μὲν αἰτίαν, δι᾽ ἣν ἐνταῦθα ἐπετήδευσεν οὕτω κεκοσμημένον προσκόρως τὸν λόγον εὐθὺς ἐν προκατασκευαστικοῖς παραχέασθαι, θεωροῦντες τὸν λόγον αὐτὸν τὸν κατ᾽ Ἀνδροτίωνος εἰρήκαμεν· ὅτι δὲ οὖν σπανίως χρῆται τῷ τοιούτῳ, φανερόν· οὐ μὴν ταῖς γε παρισώσεσιν αὐταῖς σπανίως, ἀλλὰ χρῆται μὲν αὐταῖς μετρίως, μετὰ μέν τοι τινὸς παραμυθίας. ἤτοι γὰρ διακόπτων, αὐτὰς δὴ ἐπεμβολῆς τινὸς τοῦ λόγου καταμίγνυσι, ἐναλλάττων τὰς συλλαβὰς τὰς κατὰ τὸ τέλος παρισώσας τὰ κῶλα, ἢ ταῖς κατὰ τὸ κῶλον ἅπαν παρισώσεσιν, οὐχὶ ταῖς κατὰ τὸ τέλος συλλαβαῖς ἴσαις χρώμενος, ὥσπερ ἐχρήσατο ἴσαις ταῖς κατὰ τὸ τέλος συλλαβαῖς ἐν τῷ, ἅμα τῇ τε πόλει βοηθεῖν ᾤετο δεῖν· καὶ οἷα μυρία τις ἂν λάβοι παρ᾽ Ἰσοκράτει. οὐκοῦν ὁ Δημοσθένης οὕτως, ἀλλὰ κατ᾽ ἐκείνους τοὺς τρεῖς τρόπους, ἢ διακόπτων, ὡς ἐλέγομεν, ἢ ἐναλλάττων τὰς παρισούσας συλλαβάς, ἢ κατὰ κῶλον παρισῶν ἅπαν. διακόπτει μὲν οὖν τὰς παρισώσεις κατ᾽ ἐπεμβολὰς οὕτως, τὸ μὲν γὰρ πολλὰ ἀπολωλεκέναι κατὰ τὸν πόλεμον, τῆς ἡμετέρας ἄν τις ἀμελείας θείη δικαίως· τὸ δὲ μή τε πάλαι τοῦτο πεπονθέναι· καὶ ἡ ἐπεμβολή, πεφηνέναι τέ τινα ἡμῖν συμμαχίαν, τούτων ἀντίρροπον, ἂν βουλώμεθα χρῆσθαι· εἶθ᾽ οὕτως ἀπέδωκε τὸ ἴσον κῶλον τῆς ἀρχῆς, τῆς παρ᾽ ἐκείνων εὐνοίας, εὐεργέτημ᾽ ἂν ἔγωγε θείην. διακόπτει μὲν οὖν οὕτως κατ᾽ ἐπεμβολήν, ἐναλλάττει δὲ τὰς συλλαβὰς τὰς κατὰ τὸ τέλος ποιούσας τὰς παρισώσεις οὕτως· οἷον, τὸ μὲν τοίνυν ἐν τῇ πρεσβείᾳ πρῶτον κλέμμα τοῦ Φιλίππου, δωροδόκημα δὲ τῶν ἀδίκων τούτων τοιοῦτον ἐγένετο. εἰ γὰρ ἐκείνως εἶπε, τὸ μὲν τοίνυν Φιλίππου μὲν ἐν τῇ πρεσβείᾳ κλέμμα, τουτωνὶ δὲ τὸ δωροδόκημα, σαφὴς ἂν ἡ πρὸς κάλλος ἐγέ-

νετο ὑπερβολὴ τοῦ λόγου· διὰ τοῦτο οὖν ἐνήλλαξεν. ὅμοιον τούτῳ κἀκεῖνο, τὸ καὶ μηδὲν ἀληθὲς ἀπηγγελκότα καὶ κεκωλυκότα ἐμοῦ τὸν δῆμον ἀκοῦσαι τἀληθῆ, καὶ μηδὲν ὧν προσετάξατε ὑμεῖς πεποιηκότα καὶ ἀνηλωκότα τοὺς χρόνους. τὰ γὰρ παρισοῦντα εἰ κατὰ τὸ τέλος ἔθηκεν, ἐκπρεπῶς ἂν ἐκεκαλλώπιστο αὐτῷ ὁ λόγος, πόῤῥω δὲ ἂν ἦν τοῦ πιθανοῦ· οἷον εἰ οὕτως εἶπε· μηδὲν ἀληθὲς ἀπηγγελκότα, καὶ τὸν δῆμον ἀκοῦσαι μὴ τἀληθῆ κεκωλυκότα, καὶ τοὺς χρόνους καταναλωκότα, καὶ μηδὲν ὧν προσετάξατε πεποιηκότα· ἔφυγεν οὖν τὸ τοιοῦτον. πολλὰ δέ ἐστιν αὐτοῦ παραδείγματα, εἴ τις ἐθέλοι ζητεῖν. ἐπεὶ καὶ τὸ, ταῦτα γράψαντος ἐμοῦ τότε, καὶ τὸ τῇ πόλει συμφέρον, οὐ τὸ τοῦ Φιλίππου ζητοῦντος, ἰσοῦτόν ἐστιν. ἀλλ' οὕτως μὲν ἔφυγε τὴν τοιαύτην παρίσωσιν, ἅτε τὴν τελείαν περὶ τοὺς λόγους ἐπιστήμην ἔχων· ὁ δὲ ἰσοκράτης οὐκ ἂν ἔφυγεν, ἀλλὰ καὶ μὴ οὖσαν φύσει παρίσωσιν ἐβιάσατο ἂν γενέσθαι, διὰ τὸ μέλειν αὐτῷ κάλλους μᾶλλον καὶ ἐπιμελείας, ἢ πιθανότητος καὶ ἀληθείας. ταῖς μέντοι καθ' ὅλον κῶλον παρισώσεσι καὶ πάνυ χρῆται ὁ δημοσθένης. τὰ γὰρ τοιαῦτα, τοῦ κάλλους οὐκ ἀπηλλαγμένα, τὸ γοργὸν, οὐδὲν ἧττον ἔχει καὶ τἀληθές· οἷον, τὸ λαβεῖν οὖν τὰ διδόμενα ὁμολογῶν ἔννομον εἶναι, τὸ χάριν τούτων ἀποδοῦναι, παρανόμων γράφῃ; τρισὶ γὰρ κώλοις καὶ δι' ὅλων ἴσοις κομμάτιον ἓν ἐπήγαγε, τὸ, παρανόμων γράφῃ; καὶ πεποίηκε κάλλος δαιμόνιον, ὁμοῦ τῷ γοργῷ καὶ σφοδρῷ κατὰ τὴν ἀποστροφήν. πολλαῖς καὶ τοιαύταις ἰσοκράτης κέχρηται παρισώσεσι, πλὴν οὐ κατὰ ἀποστροφήν. σχεδὸν γὰρ οὐδ' ὅλως ἐστὶ παρ' αὐτῷ τὸ σχῆμα τοῦτο. γίνονται δὲ αἱ παρισώσεις καὶ κατ' ἀρχὰς, καὶ κατὰ τέλος. καὶ κατ' ἀρχὰς μέν· οἷον, προσήκει προθύμως· καὶ ὁ πλά

των, παυσαίου δὲ παυσαμένου. διδάσκουσι γάρ με ἴσα λέγειν οἱ σοφοί· κατὰ τέλος δὲ ὅπως αἱ παρισώσεις γίνονται, δέδεικται ἔμπροσθεν· οἷον, τῇ τε πόλει βοηθεῖν ᾤετο δεῖν, καὶ δίκην ὑπὲρ αὐτοῦ λαβεῖν, καὶ τὰ ἑξῆς. αἵ τε οὖν παρισώσεις καλλωπίζουσιν, ὥσπερ ἐλέγομεν, καὶ αἱ κατὰ κῶλον ἐπαναφοραί· οἷον, μέχρι τούτου λασθένης φίλος ὠνομάζετο φιλίππου, ἕως προὔδωκεν ὄλυνθον· μέχρι τούτου τιμόλαος, ἕως ἀπώλεσε θήβας. ἐπαναφέρει γὰρ ἐπὶ τὸ αὐτὸ μέρος τοῦ λόγου· διαφέρει δὲ παρισώσεως τῆς κατ' ἀρχὰς τὸ σχῆμα τοῦτο, ᾗ ἐκεῖ μὲν συλλαβή ἐστιν ἡ αὐτὴ ἐπ' ἀμφοῖν τοῖν κώλοιν, εἰ δὲ πλείους, ἀλλ' οὐ λόγου γίνεται μέρος ὁλόκληρον· ἐνταυθοῖ δ' ὅλη τις λέξις. καὶ ὃ μὲν ἂν ᾖ ἐπαναφορά, καὶ παρίσωσίς ἐστιν ἡ κατ' ἀρχάς· ὃ δ' ἂν παρίσωσις ᾖ κατ' ἀρχάς, οὐκ ἔτι καὶ ἐπαναφορά. οὐδὲν θαυμαστὸν· εἴη καὶ λαμπρὸν ἢ ἀκμαῖον ἔχοι τὸ προειρημένον παράδειγμα. συγγενῆ γὰρ κάλλει πρὸς λαμπρότητα ἐν ἅπαντι σχεδὸν πράγματι, διὰ δὲ τοῦτο, καὶ πρὸς ἀκμήν. τὰ γὰρ ἀκμαῖά τε καὶ ὡραῖα, καὶ σώματα καὶ ὅ, τι βούλει, πάντως λαμπρὰ καὶ καλά, οὐ μὴν τὸ ἀνάπαλιν. καλὸν γὰρ δύναταί τι καὶ μὴ ἀκμαῖον εἶναι μηδὲ λαμπρόν. αἱ μέντοι ἐπαναφοραί, εἰ κατὰ κόμματα γίνοιντο, γοργὸν ποιοῦσι τὸν λόγον, ἀλλ' οὐ καλόν· οἷον, προσιὼν τῇ βουλῇ, προσιὼν δὲ τῷ δήμῳ· ἐνταῦθα δὲ καὶ ἡ ταχεῖα τοῦ μερισμοῦ ἀπόδοσις τὸ γοργὸν ἐποίησεν. ἔτι κάλλους ποιητικὸν τὸ τοιοῦτον σχῆμα ἡ ἀντιστροφή. ἔστι δὲ τοῦτο ἐναντίον πως τῇ ἐπαναφορᾷ, κατὰ τὸ τέλος ἐχόντων τῶν κώλων τὴν αὐτὴν λέξιν· καὶ διαφέρει γε πάλιν καὶ τοῦτο τῆς παρισώσεως τῆς αὐτῶν, ᾧπερ καὶ ἡ ἐπαναφορά. παράδειγμα τοῦ σχήματος,



Universitäts- und Landesbibliothek Düsseldorf

οἷον, ἂν μὲν γὰρ ὅσα ἄν τις λάβῃ καὶ σώσῃ, μεγάλην ἔχει τῇ τύχῃ τὴν χάριν, ἂν δ' ἀναλώσας λάθῃ, συναναλῶσε καὶ τὸ μεμνῆσθαι τῇ τύχῃ τὴν χάριν· καὶ πάλιν, πράττεταί τι τῶν ἡμῖν δοκούντων συμφέρειν; ἄφωνος αἰσχίνης. ἀντέκρουσέ τι καὶ γέγονεν ὃ οὐκ ἔδει; πάρεστιν αἰσχίνης· καὶ πάλιν, πρὸς μὲν γὰρ τὰ τοῦ πολέμου ταχὺ καὶ κατὰ καιρὸν πράττεσθαι, πολλῷ προέχει· πρὸς δὲ τὰς καταλλαγάς, ἃς ἂν ἐκεῖνος ποιήσαιτο ἄσμενος πρὸς ὀλυνθίους, ἐναντίως ἔχει. σπάνιον δὲ καὶ τοῦτο παρὰ τῷ ῥήτορι τὸ σχῆμα. καὶ αὐτὸ μέν τοι, εἰ κατὰ κόμμα λέγοιτο, γοργὸν ποιεῖ τὸν λόγον, ἀλλ' οὐ καλλωπίζει· οἷον, ταξιάρχους παρ' ὑμῶν, ἱππάρχους παρ' ὑμῶν. εἰ δὲ ἔχοι τι καὶ ἐναργείας κἀνταῦθα, κἂν τῇ ἐπαναφορᾷ, ἑτέρου λόγου. καὶ μὴν καὶ ἡ ἐπαναστροφή, σχῆμα τῶν καλλωπιζόντων· γίνεται δέ, ὅταν τὸ τέλος τοῦ κώλου, ἑτέρου κώλου τὴν ἀρχὴν ποιήσηται· οἷον, οὐ γὰρ δή που κτησιφῶντα μὲν δύναιτ' ἂν διώκειν δι' ἐμέ, ἐμὲ δὲ εἴπερ ἐξελέγχειν ἐνόμιζεν αὐτόν, οὐκ ἂν ἐγράψατο; ἐμφανὲς δὲ τὸ καὶ ἐπιβουλῆς γίνεται, καὶ τὸ τοῦ ἐπιτηδεύματος, ὅταν τις μίαν λέξιν μερίσας, τὰς τελευταίας αὐτῆς συλλαβὰς ἀρχὴν τοῦ ἐπιφερομένου ποιήσηται κώλου· ὡς ὁ θουκυδίδης, σαμία μία ναῦς· καὶ αὐτίκα βοὴ ἦν· καὶ παρὰ τῷ ποιητῇ, πρόσθεν θοὸς ἡγεμόνευε· τὸ οὖν, τοῦ δὲ ἐγὼν ἀντίος εἶμι, καὶ εἰ πυρὶ χεῖρας ἔοικεν, εἰ πυρὶ χεῖρας ἔοικε, μένος δ' αἴθωνι σιδήρῳ, ἐπαναστροφὴ ὂν οὐκ ἔστιν ὅμοιον τοῖς προειρημένοις, οὐδὲ ὁμοίως ἐπιβεβουλεῦσθαι δοκεῖ, διότι μὴ συλλαβαῖς, ἀλλὰ μηδὲ λέξει, κόμματι δὲ ὅλῳ ἀνέστρεψεν. ἔτι τῶν ἐπιφανῶς καλλωπιζόντων ἐστὶ μετὰ ἐναργείας καὶ τὸ κλιμακωτὸν καλούμενον σχῆμα, ὃ δὴ σπάνιον παρὰ τῷ ῥήτορι, μᾶλλον δὲ οὐδὲ σπάνιον, ἀλλ' ἅπαξ, ἢ δὶς εἰρημένον. ἔστι δὲ οὐδὲν ἀλλ' ἢ πλεονάζουσα ἀναστροφή.

ἀναστροφή· οἷον, οὐκ εἶπον μὲν ταῦτα· οὐκ ἔγραψα δέ. οὐδ' ἔγραψα μέν. οὐκ ἐπρέσβευσα δέ. οὐδ' ἐπρέσβευσα μέν. οὐκ ἔπεισα δέ. αἱ δὲ ταχεῖαι τῶν μερισμῶν ἀποδόσεις, καὶ αἱ βραχυκωλίαι πεποιήκασιν εἶναι καὶ γοργὸν τὸν λόγον· ἢ εἰ διὰ τὰς πολλὰς ἀναιρέσεις γέγονέ πως καὶ εὐειδὴς, ἑτέρου λόγου. καίτοιπερ καὶ τὸ εὐειδὲς ἐστὶ τοῦ κάλλους ἴδιον, καὶ αἱ ἀναιρέσεις αὐταί. ἀλλ' εἰ καὶ μὴ ἦν ἴδιον, πολλάκις ἐμαρτυράμην ὡς τῶν χαλεπωτάτων ἐστὶν, εὑρεῖν ὁτιοῦν παρὰ τῷ ῥήτορι τοιοῦτον, οἷον οὐ πολὺ μιᾶς ἰδέας εἶναι. ποικιλώτατος γὰρ ὁ ἀνὴρ ἁπάντων. καὶ σχεδὸν ἐν ἅπαντι μέρει τῶν ἐκείνου πάντ' ἂν εὕροις. οὕτω τῇ κράσει καὶ τῇ μίξει τῶν ἰδεῶν κάλλιστα κέχρηται. διήκουσι δὲ δι' ἀλλήλων σχεδὸν ἅπασαι, παρά γε τούτῳ, καὶ καθάπερ ἐκ συμφθάρσεως ἕν τι λόγου πεποιήκασιν εἶδος, τὸ κάλλιστον δὴ τοῦτο καὶ πολιτικὸν ὡς ἀληθῶς καὶ δημοσθενικόν. περὶ δὲ τοῦ πολιτικοῦ λόγου, πληρώσαντες τὸν περὶ ἰδεῶν τῶν γενικῶν λόγον, ἀκριβέστερον λέξομεν. ἔτι κάλλους ποιητικοὶ καὶ οἱ κατὰ συζυγίαν μερισμοὶ διὰ τὰς ἰσοκωλίας, ὡς ἐν τῷ περὶ τῆς περιβολῆς ἐδείκνυμεν. καὶ τὸ ὑπερβατὸν δὲ, εἰ μὴ κατὰ παρένθεσιν γίνοιτο, ἀλλὰ καθ' ὑπέρθεσιν, κάλλος ποιεῖ, ἔστι δὲ τὸ μὲν καθ' ὑπέρθεσιν ὑπερβατὸν τοιοῦτον· οἷον, τὴν τοῦ διαπράξασθαι ταῦθ' ἃ μηδεὶς πώποτε ἄλλος μακεδόνων βασιλεὺς, δόξαν ἀντὶ τοῦ ζῆν ἀσφαλῶς ᾑρημένος· τὸ δὲ κατὰ παρένθεσιν δι' ἐπεμβολῆς γίνεται· οἷον, τοῦ τ' ἐκεῖνον, ὅπερ καὶ ἀληθὲς ὑπάρχει, φαῦλον φαίνεσθαι. τί γὰρ ἐργάζεται ἡ ἐπεμβολὴ, εἰρήκαμεν ἐν τῷ περὶ περιβολῆς, ὅτι βραχεῖα μὲν εἴπερ εἴη, γοργότητα· μακροτέρα δὲ εἰ γένοιτο, περιβολήν· εἰ δὲ πλεονάσειε, μεσότητα. ἔτι σχήματα καλλωπίζει πως καὶ τὰ καινοπρεπῆ· οἷον, ὑμεῖς δ' ὁ δῆμος· καὶ πά-

λιν, καὶ εἰ μηδὲ δι' ἓν ἄλλο, ἀντὶ τοῦ, εἰ καὶ διὰ μηδὲν ἄλλο· καὶ πάλιν, θετταλοὶ δὲ οὐδένα πώποτε ὅν τινα οὔ. καὶ μὴν καὶ αἱ διὰ δύο ἀποφάσεων γινόμεναι καταφάσεις, κάλλους ἴδιον σχῆμα· οἷον, οὐδὲ οὐκ ἐθέλοντα μάχεσθαι, ἀντὶ τοῦ θέλοντα· καὶ ὁ ῥήτωρ, ἔστι δὲ οὐκ ἄδηλον τοῦτο ὅτι λεπτίνης. ἀντὶ γὰρ τοῦ εἰπεῖν, ὅτι δῆλόν ἐστιν, ἔστι δὲ οὐκ ἄδηλον ἔφη. ἔτι κάλλους ἴδιον καὶ τὸ πολύπτωτον καλούμενον σχῆμα, εἰ κατὰ κῶλον ἐκφέροιτο· οἷον, αὕτη τῶν περὶ θήβας ἐγένετο πραγμάτων ἀρχὴ καὶ κατάστασις πρώτη· τοῦτο τὸ ψήφισμα τὸν τότε περιστάντα τῇ πόλει κίνδυνον παρελθεῖν ἐποίησεν, ὥσπερ νέφος, καὶ τὰ ἑξῆς· κατὰ μέν τοι κόμμα εἰ γένοιτο, πλέον ἔχει τὸ γοργόν· οὐ μὴν οὐδὲ οὕτως ἀπήλλακται τοῦ κάλλους· οἷον, οὗτοι γὰρ ἠγνόησαν τούτοις πείθεσθαι. ὑπὲρ τούτων δέομαι ἐστὶ μὴ παρακρουσθῆτε. καὶ σχήματα μὲν καλλωπίζει τὸν λόγον τοσαῦτα, κῶλα δὲ κεκαλλωπισμένα φύσει μὲν τὰ μετρίως μακρότερα, εἰ τῇ συνθήκῃ μὴ διεστήκει, μηδὲ εἴη συγκρούσεις τις τῶν αὐτοῖς φωνηέντων, ἀλλὰ συνέχοιτο πάντοθεν τοῖς συμφώνοις· οἷά ἐστι καὶ τὰ ἰσοκράτους· οὗ γε οὐ μόνον τὰ κῶλα συνέχεται τοῖς συμφώνοις, ἀλλὰ καὶ πᾶς ὁ λόγος· τοσοῦτον αὐτῷ περὶ εὐφωνίας καὶ τοῦ κάλλους μεμέληκε. ταυτὶ μὲν οὖν, ὅπερ ἔφην, οὕτως καλλωπίζει τὰ κῶλα, δοκεῖ δέ πως κἀκεῖνα τὰ κῶλα ἐπιμέλειαν ἔχειν, καί τινα κόσμον ὑφειμένον μὲν καὶ οὐ μάλα τοι κομματικόν· ὅμως γοῦν κοσμεῖ τὰ διὰ περιπλοκῆς βραχέα, ὅταν δι' ἀλλήλων ὥσπερ δι' ἐπεμβολῆς λέγηται πεπλεγμένα, τῆς ὅλης διανοίας μὴ καθ' ἕκαστον αὐτῶν γινομένης, πληρουμένης, δι' ὅλων δὲ ὡς μιᾶς· οἷον, οὐ τοίνυν μόνον μὴ λευκῶν ἀδικηθῆναι δεῖ σκοπεῖν, ὧν φιλοτιμίας ἕνεκα ἢ περὶ τῆς δωρεᾶς σπουδὴ γένοιτ' ἄν, οὐ χρείας· ἀλλὰ καὶ εἴ τις ἄλλος εὖ μὲν ἐποίησεν ἡμᾶς εὖ



Universitäts- und Landesbibliothek Düsseldorf

πράττων, εἰς δέον δὲ νῦν γέγονεν αὐτῷ τὸ παρ᾽ ὑμῶν λαβεῖν τότε τὴν ἀτέλειαν· καὶ πάλιν, ἔστι δὲ οὐκ ἄδηλον ὦ ἀθηναῖοι τοῦθ᾽ ὅτι Λεπτίνης, κἂν τις ἄλλος ὑπὲρ τοῦ νόμου λέγῃ, δίκαιον μὲν οὐδὲν ἐρεῖ περὶ αὐτοῦ, φήσει δὲ ἀναξίους ἀνθρώπους εὑρομένους ἀτέλειαν, ἐκδεδυκέναι τὰς λειτουργίας, καὶ τούτῳ πλείστῳ χρήσεται τῶν λόγων. ὁρᾷς γὰρ ὅπως βραχέα ἐστὶν ἅπαντα πλὴν τῶν τελευταίων ἐπ᾽ ἀμφοῖν τοῖν παραδειγμάτοιν τὰ κῶλα, καὶ ὡς αἱ ἐπεμβολαὶ οὐδὲ ἐπεμβολαὶ δοκοῦσί πως εἶναι, καὶ ὥσπερ ἐξ ἀκολουθίας τινὸς ἐπεμβεβλημέναι, ἀλλ᾽ οὐ κατακόρως ἐμφορούμεναι; οὐ γὰρ ὅμοιον ἦν οὕτως εἰπεῖν, τοῦ τε ἐκεῖνον, ὅπερ καὶ ἀληθὲς ὑπάρχει, φαῦλον φαίνεσθαι· ἢ ὡς ταῦτ᾽ ἔχει τὰ προειρημένα παραδείγματα. διόπερ ἐν ἐκείνῳ μὲν τὸ τῆς γοργότητος πλέον ἐστὶν, εἰ καὶ ἐπιμελείας ἔχει τι, ἐνταῦθα δὲ ἀνάπαλιν, τὸ τῆς ἐπιμελείας πλέον, εἰ καὶ γοργότητος ἔχει τι. τοῦ δὲ τοιούτου κάλλους καὶ τῆς ἐπιμελείας ταύτης πολλὰ μὲν καὶ ἄλλα ἐστὶ δημοσθενικὰ παραδείγματα ἐν ἅπασιν αὐτοῦ τοῖς λόγοις. ὅ γε μὴν περὶ τῆς ἀτελείας, σχεδὸν ἅπας ἐστὶ τοιοῦτος· πολὺ γὰρ ἐν τούτῳ τὸ ἐπιμελὲς καὶ κεκοσμημένον. τὴν δὲ αἰτίαν, δι᾽ ἣν τοιοῦτος, αὐτὸν ἐξηγούμενοι τὸν λόγον εἰρήκαμεν. ἐκ μέν τοι τῶν προειρημένων δῆλον δὴ καὶ συνθήκης ὁποίας δεῖ τῷ περικαλλεῖ λόγῳ, καὶ ὅτι μάλιστα μὲν τῆς ἄνευ συγκρούσεως τῶν φωνηέντων, ἔπειτα τῆς μὴ πόρρω μέτρου τινὸς οὔσης, καὶ μέτρου γε τοῦ οἰκείου κατὰ τοὺς πόδας τῷ λόγῳ καὶ τῷ εἴδει τοῦ λόγου δηλονότι, ὅ, τι ἂν ἐργαζώμεθα. ἄλλο μὲν γὰρ σεμνοῦ λόγου μέτρον οἰκεῖον, ὡς ἐν τοῖς περὶ σεμνότητος ἐλέγομεν, ἄλλο δὲ ἄλλης ἰδέας, ὡς καθ᾽ ἑκάστην εἰρήκαμεν. εἴπερ δέ τινος ἄλλου ὁ περικαλλὴς λόγος τῆς συνθήκης δεῖται· κατὰ γὰρ ταύτην τὸ πλεῖστον αὐτοῦ ἐκφαίνεται,

καὶ ἡ ἐμμέλεια καὶ ὁ κόσμος ἐνταῦθα εὐπρεπής. διόπερ δεῖ μάλιστα, καλὸν ὅτε ποιοῦμεν λόγον, μέτρου πλησίον εἶναι τὸν ῥυθμόν· μὴ μέντοι μέτρον ἄντικρυς, κακία γὰρ τοῦτό γε. διὰ πλειόνων δὲ μέλλων ἀκριβολογεῖσθαι περὶ τούτων, παραιτοῦμαι μηδένα δυσχεραίνειν τῇ λεπτολογίᾳ. τὸν γὰρ περὶ ῥυθμῶν τι λέξοντα καὶ ταῦτα τῶν κεκαλλωπισμένων, ἀνάγκη πλείονι τῇ ἀκριβείᾳ τε καὶ λεπτότητι χρήσασθαι. ἀλλ' ὅθεν ἐξέβην ἐπανιτέον. γίνεται γάρ, ὡς ἐλέγομεν, τοιοῦτος ὁ ῥυθμὸς κατὰ τὴν συνθήκην· οἷον ἐγγὺς εἶναι τοῦ καὶ ἔμμετρόν πως τὸν λόγον φαίνεσθαι, καὶ ἦχόν τινα τοῦτον ἀποτελεῖν, εἰ πρῶτον μέν, ὅπερ ἔφην, μὴ συγκρούοιτο τὰ φωνήεντα· ἔπειτα εἰ οἱ πόδες, ἐξ ὧν συγκεῖται ὁ ῥυθμός, οἰκείως ἔχοιεν πρὸς ἀλλήλους, καὶ μὴ ἀναρμοστοῦντες τραχύτητα ποιοῖεν. τρίτον, ὃ καὶ μέγιστον, εἰ τὰ μέρη τοῦ λόγου δι' ὧν συγκεῖται ὁ ῥυθμός, μὴ ἰσοσύλλαβα, μηδὲ ἰσόχρονα μηδὲ ἰσότονα εἴη· ἀλλὰ τὰ μὲν ἐλαττόνων, τὰ δὲ πλειόνων καὶ συλλαβῶν καὶ χρόνων· καὶ τὰ μὲν ὀξύτονα, τὰ δὲ μὴ τοιαῦτα· καὶ ἐν δὴ ἀλλήλων ποικίλως συντεθεῖτο ταῦτα, ὥστε μεταξὺ τῶν μακρῶν λέξεων τὰς μικράς, καὶ τῶν μικρῶν τὰς μεγάλας κεῖσθαι. αὕτη γὰρ μάλιστα ἐμμελής τε, καὶ κεκοσμημένου λόγου συνθήκη. ἀναπαύσεις δὲ λόγῳ περικαλλεῖ πρέπουσιν, οὐχ αἱ βεβηκυῖαι· σεμνότερον γὰρ τοῦτό γε, καὶ σεμνῷ κάλλει ἁρμόττει· οἷον, ἐκδεδυκέναι τὰς λειτουργίας. σεμνὴ γὰρ ἡ ἀνάπαυσις καὶ βεβηκυῖα. ἐμέλησε γὰρ τῷ ῥήτορι τοῦ μὴ διόλου καλλωπίζειν δοκεῖν. τό γε μὴν ἐπιφερόμενον ἔχει τι τοῦ περικαλλοῦς, εἰ καὶ αὐτό πως βεβηκέναι δοκεῖ. καὶ τούτῳ πλείστῳ χρήσεται τῷ λόγῳ. εἰς γὰρ βραχύτερόν τι μέρος τοῦ λόγου κατέληξε. καὶ ἕνεκα μὲν τῆς ἐννοίας ἕστηκεν ὁ ῥυθμός· πεπλήρωται γάρ

πως

πως ἡ ἔννοια, καὶ βέβηκε· κατὰ δὲ τὴν λέξιν οὐχ ὡσαύτως· καίτοι εἰς φωνῆεν τὸ ω καταλήγων, ὅπερ καὶ αὐτὸ σεμνοῦ ἦν ῥυθμοῦ. βεβηκὼς μὲν οὖν τελέως γίνεται ῥυθμὸς, εἰ ἅμα τῇ ἐννοίᾳ πληρουμένῃ καὶ μέρος λόγου τι μακρὸν, καὶ εἰς μακρὰν τὴν τελευταίαν καταλήγοι συλλαβήν· οἷον, ὥστε δὴ ἁπάντων ῥᾳδίαν τὴν τοῦ συμφέροντος ὑμῖν αἵρεσιν γενέσθαι· οὐ βεβηκὼς δὲ ῥυθμός, ἀλλ' οἷον κρεμάμενος καὶ ἀνηρτημένος, διεναντίας τῶν προειρημένων, ὅτε τῆς ἐννοίας μὴ πεπληρωμένης πω, μεταξὺ δέ πως διαναπαυομένης, ἡ κατάληξις εἰς βραχὺ μέρος γίνοιτο λόγου· καὶ ἤτοι βραχεῖαν ἔχοι τὴν τελευταίαν, ἢ πάντως βραχείᾳ παραληγομένην· οἷον, ἐγὼ δ' ὅτι μὲν τινῶν κατηγοροῦντα, πάντας ἀφαιρεῖσθαι τὴν δωρεὰν, τῶν ἀτοπωτάτων ἐστὶν, ἐάσω· καὶ πάλιν, ἔστι δ' οὐκ ἄδηλον τοῦτο, ὅτι Λεπτίνης· καὶ πάλιν, κἂν τις ἄλλος ὑπὲρ τοῦ νόμου λέγῃ· καὶ πάλιν, δίκαιον μὲν οὐδὲν ἐρεῖ. ταῦτα γὰρ πάντα ῥυθμοί τινες εἰσὶν οὐ βεβηκότες, ἀλλ' ἀπηρτημένοι ὡς εἴρηται. καὶ χρήσιμοί γε οὗτοι τῷ κεκοσμημένῳ λόγῳ. κατ' αὐτὸ γὰρ τὸ μὴ βεβηκέναι, καὶ εὐειδῆ ποιοῦσι τὴν ἀνάπαυσιν. τοιοῦτόν ἐστι καὶ τὸ, ὡμολόγησα τούτοις, ὡς ἂν οἷός τε ὦ συνερεῖν. ἡ μὲν γὰρ ἔννοια βέβηκεν, ὁ ῥυθμὸς δὲ οὔ. οὐδὲ γὰρ τοῦτο ὁ ῥήτωρ ἐβούλετο. ἐπεὶ τὴν χάριν οὐκ εἶπεν, ὡμολόγησα τούτοις, ὡς ἂν οἷός τε ὦ συνειπεῖν· ἐγὼ μὲν γὰρ ἡγοῦμαι, ὅτι διὰ τὸ μὴ ὅμοιον ἂν γενέσθαι τὸν ἦχον, εἰς μακρὰς πάσας εἰ κατέληγεν, ὅ ἐστι τοῦ βεβηκότος ῥυθμοῦ. οὐ μὴν ἀλλ' εἴτε βεβηκὼς, εἴτε μὴ ὁ τοιοῦτος εἴη ῥυθμός, ἵνα μὴ πάντη τῷ Διονυσίῳ, ὃς δοκεῖ περὶ λέξεώς τι πεπραγματεῦσθαι, ἀντιλέγωμεν, δῆλον ὡς τοῦ κάλλους ἐστὶν ἴδιος. ἔτι δὲ μειζόνως τὸ ἐκπρεπὲς τῆς τοιαύτης ἀναπαύσεως τοῦ ῥυθμοῦ, φανερὸν γίνεται, εἰ μονοσύλλαβον εἴη τὸ τελευ-

ταῖον μέρος τοῦ λόγου· οἷον, περὶ τοῦ πῶς ἀκούειν ὑμᾶς ἐμοῦ δεῖ. καὶ θετταλοὶ δὲ οὐδένα πώποτε ὅν τινα οὔ. τεκμήριον δὲ ἐναργέστερον τούτου, τὰ μέτρα καὶ τὰ ποιήματα. καὶ γὰρ τῶν ἐπῶν τὰ εἰς μονοσυλλαβὸν ἢ μέρος τοῦ λόγου ἱστάμενα, εὐαδέστερά πως καὶ κρουστικώτερα εἰσὶν, ἀλλ᾽ οὐ σεμνότερα· οἷον, ἔστι δ᾽ ἀμβροσίη νύξ. καὶ, κάρητά μοι ἀλλότριος φώς· καὶ, ἀπόλλων ἀρτέμιδι ζεύς, καὶ ὅσα τοιαῦτα. ταῦτα περὶ τοῦ συνθέτου κάλλους ἐν λόγῳ. ὁ δὲ λεγόμενος ὡραῖος λόγος, καὶ ἡ ἁβρότης οὐ τούτου τοῦ κάλλους, τοῦ δ᾽ ἐν γλυκύτητι μᾶλλον ἢ ἐν ἀφελείᾳ γινομένου ἐστίν· ἐν δὲ τῷ περὶ ἐκείνων φανεῖται σαφέστερον, νυνὶ δὲ ἤδη μετὰ τὸν περὶ κάλλους, περὶ γοργότητος ἂν εἴη λέγειν.

## ΠΕΡΙ ΓΟΡΓΟΤΗΤΟΣ ΤΟΜΟΣ ΔΕΥΤΕΡΟΣ.

Καλὸς μὲν οὖν, ἅμα ὄγκῳ καὶ ἀξιώματι λόγος καὶ ἔτι σαφὴς, ὅπως γίνεται, ἐν τοῖς πρὸ τούτων εἰρήκαμεν· δεῖ δὲ τῷ τοιούτῳ λόγῳ πάντως καὶ γοργότητος, ἵνα μὴ ἀργὸν αὐτῷ καὶ σαφὲς μόνον τὸ μέγεθος εἴη, ἢ καὶ τὸ κάλλος, ἀλλὰ καὶ γοργόν. γοργότητι γὰρ ἐναντίον τὸ ἀνειμένον καὶ ὕπτιον. ἡ τοίνυν γοργότης θεωρεῖται μὲν καὶ ἐν λέξει καὶ ἐν μεθόδῳ, καὶ ἐν τοῖς λοιποῖς, πλὴν ἐννοίας, εἰ μή τις ἄρα τὰ ὀξέα τῶν νοημάτων γοργὰ λέγοι· περὶ δὲ ὀξύτητος ἐν τῷ περὶ ἀφελείας τε καὶ δριμύτητος λέξομεν, καὶ ἔτι ἐν τῷ περὶ δεινότητος. ἀλλ᾽ ἥ γε λέξις ὁποία ποτ᾽ ἂν ᾖ, βρα-

χέα

χέα συντελεῖ πρὸς γοργότητα, ἤ, τὸ ἀνάπαλιν, ἐναντιοῦται. ἡ δ' αὖ
μέθοδος ἡ ποιοῦσα τὴν γοργότητα, σχεδὸν ἐστὶ μία, ὡς ἐπὶ τὸ=
πλεῖστον· ἐπειδὴ ἡ διὰ τοῦ τμητικοῦ γίνεται τύπου, οὗτος δ' ἐν σχή=
μασίν ἐστι, καὶ κώλοις ἐν οἷς θεωρεῖται. ἔτι μέν τοι καὶ συνθήκη καὶ
ἀνάπαυσις καὶ τοῖς ῥυθμοῖς· ἔννοια δέ, ὅπερ ἔφην, οὐκ ἔστιν οὐδε=
μία, ἥ τις καθ' ἑαυτὴν ποιεῖ τὸν λόγον γοργόν, πλὴν εἰ τὴν ὀξύ=
τητά τε καὶ δριμύτητα, ὡς ἔλεγον, γοργότητος ἰδίαν θήσεταί
τις. περὶ δὲ ταύτης, ὅπερ ἔφην, ἔν τε τῷ περὶ ἀφελείας, ἔν τε τῷ
περὶ δεινότητος, ἡμῖν λελέξεται· νυνὶ δὲ περὶ μεθόδου τῆς ποιού=
σης γοργὸν τὸν λόγον λέξομεν πρῶτον, σχεδὸν οὐ πόρρω τινὸς
ὀξύτητός τε καὶ δριμύτητος οὐδὲ ταύτης οὔσης. μέθοδος τοί=
νυν, ὅπερ ἔλεγον, γοργότητος μία, τὸ ταῖς ἀπαντήσεσι τα=
χείαις χρῆσθαι καὶ βραχείαις, ταῖς τε ἀντιθέσεσιν ὡσαύτως· οἷον, τί
γὰρ βουλόμενοι μετεπέμπεσθε ἂν αὐτοὺς ἐν τούτῳ τῷ καιρῷ;
ἐπὶ τὴν εἰρήνην; ἀλλ' ὑπῆρχεν ἅπασιν. ἀλλ' ἐπὶ τὸν πόλεμον;
ἀλλ' αὐτοὶ περὶ εἰρήνης ἐβουλεύεσθε. καὶ πάλιν φησίν, ἀλλὰ τὸ τοῦ
κεφάλου καλὸν τὸ μηδὲ μίαν γραφὴν φυγεῖν; καὶ νὴ Δία εὔδαι=
μόν γε. ἀλλὰ τί μᾶλλον ὁ πολλάκις μὲν φυγών, καὶ τὰ ἑξῆς.
καὶ πάλιν, κακοδαιμονοῦσι Βυζάντιοι. σφόδρα γε. ἀλλ' ὅμως
δεῖ σῶς αὐτοὺς εἶναι. συμφέρει γὰρ τῇ πόλει. ταῦτα γάρ πως
εἰσὶ καὶ ὀξέα. περὶ δὲ συνδρομῆς εἴτε συγχωρήσεως, καὶ ὅσα εἴδη αὐτῆς,
καὶ ὡς δεῖ παραλαμβάνειν ἕκαστον, ἐν τῷ περὶ δεινότητος ἡμῖν ἀκρι=
βῶς λελέξεται· ἡ δὲ ἀποστροφή· οἷον, παρὰ σοὶ κατέλυον Αἰσχίνη, καὶ
σὺ προὐξένεις αὐτόν, δοκεῖ μέν πως εἶναι μέθοδός τις, οὐ μὴν
ἔμοιγε φαίνεται, ἀλλ' εἶναι μᾶλλον σχῆμα. εἴ τε δὲ σχῆμα, εἴ
τε μέθοδός τις ἐστὶν ἡ ἀποστροφή, τῶν τοιούτων ἐστὶ καὶ αὐτὸ γοργὸν
τὸν λόγον· καὶ μάλιστα εἰ συνεχῶς γίνοιτο. ἡ δὲ μετάβασις ἡ νῦν

μὲν

μὲν ὑπὸ τοὺς δικαστὰς, νῦν δὲ ὑπὸ τὸν ἀντίδικον, ἢ ὁ συνδυασμῷ κινεῖ πως καὶ γοργὸν ποιεῖ τὸν λόγον. ἀλλὰ μέθοδος μὲν αὕτη γοργότητος ἢ καὶ μέθοδοι, σχήματα δὲ τὰ μὲν ὁμολογουμένως ἐστὶ φύσει γοργὰ καὶ τμητικά, καὶ αὐτῆς γε ἕνεκα τῆς γοργότητος παραλαμβάνεται, τὰ δὲ τὴν συμβαίνουσαν τῷ λόγῳ πολλάκις διά τινας ἀνάγκας ὑπτιότητα ἐξαιρεῖσθαι πέφυκε, καὶ πρῶτόν γε περὶ τούτων λέξομεν. ἐξαιρεῖται τοίνυν ὑπτιότητα λόγου σχῆμα τὸ καθ᾽ ὑποστροφὴν, καὶ ἔστι σφόδρα χρήσιμον τοῦτο ἐν ταῖς ἀφηγήσεσιν· οἷον, ἔστι τοίνυν οὗτος ὁ πρῶτος Ἀθηναίων αἰσθόμενος Φίλιππον· εἶθ᾽ ὑποστροφὴν ὑπέστρεψεν ἐξ ἐπεμβολῆς, ὅς τότε δημηγορῶν ἔφη· εἶτα πάλιν ἦλθεν ἐπὶ τὴν ἀφήγησιν, ἐπὶ βουλεύοντα τοῖς Ἕλλησι. τοιοῦτόν ἐστι καὶ τὸ, τοῦ γὰρ Φωκικοῦ συστάντος πολέμου· εἶθ᾽ ἡ ὑποστροφὴ, οὐ δι᾽ ἐμέ· οὐ γὰρ ἔγωγε ἐπολιτευόμην πω τότε. εἶτα πάλιν ἡ ἀφήγησις, πρῶτον μὲν ὑμεῖς οὕτω διέκεισθε· καὶ τὰ ἑξῆς δὲ τοιαῦτά ἐστι. τοῦτο τὸ σχῆμα καταπλοκὴν τινὲς ὠνόμασαν. ἔτι ἐξαιρεῖται τῆς ἀφηγήσεως τὴν ὑπτιότητα καὶ τὸ ἐπιτρέχον λεγόμενον σχῆμα· οἷον, ἐπειδὴ γὰρ οὐ καθεστηκότος χορηγοῦ, καὶ τὰ ἑξῆς. ταυτὸ δὲ τοῦτο καὶ περιβάλλει· αἱ δὲ ὑποστροφαὶ ἂν μὴ ὦσι μακραί, ἧττον περιβάλλουσι, καὶ εἰρήκαμεν τοῦτο κἂν τῷ περὶ περιβολῆς. ἀλλὰ ταυτὶ μὲν ὥσπερ ἰάματά ἐστιν ὑπτιότητος, καὶ δύνανται ταυτὸν ὅπερ εὐκρίνεια ἐν σαφηνείᾳ. ἐκείνη τε γὰρ τὰ συγκεχυμένα διευκρινεῖ πρὸς σαφήνειαν, ὡς ἐδείκνυμεν ἐν τῷ περὶ σαφηνείας, ταυτά τε τὰ σχήματα τὸν ὑπτιάζοντα λόγον ὀρθοῖ καὶ γοργὸν ποιεῖ. κατὰ τὰ αὐτὰ δὲ τοῖς περὶ τῆς σαφηνείας ἔχει καὶ τὰ μέλλοντα ῥηθήσεσθαι. ὥσπερ γὰρ ἐκεῖ ἡ μὲν καθαρότης καθ᾽ ἑαυτὴν ἐποίει τὸν σαφῆ λόγον, προσεδεῖτο δὲ τῆς εὐκρινείας εἴ που συγχέοιτο ὁ λόγος

εἰς ἐπανόρθωσιν, οὕτω κἀνταῦθα πάλιν, ἔστι μὲν τὸ ποιοῦν τὴν γοργότητα μάλιστα εἶδος λόγου τὸ τμητικόν, εἰ δέ ποτε ἐκπίπτοι κατ᾽ ἀνάγκην τινὰ εἰς ὑπτιότητα, δεῖ τῶν προειρημένων σχημάτων, ἃ δὴ πέφυκεν ὀρθοῦν καὶ διεγείρειν τὸν λόγον ἀπὸ τῆς ὑπτιότητος. τμητικὸς δὲ λόγος καὶ γοργὸς, μάλιστα ἐν τοῖς σχήμασι καὶ τοῖς ῥυθμοῖς θεωρεῖται· εἰδέναι δὲ χρὴ ὅτι ὁ λόγος ὁ τμητικὸς, ποτὲ μὲν ἔστιν, οὐ μὴν δοκεῖ γε εἶναι τμητικός· ποτὲ δὲ δοκεῖ μὲν εἶναι τοιοῦτος, οὐ μὴν τέμνει γε ὡς ἀληθῶς τὰ πράγματα· ποτὲ δὲ ἀμφότερα, καὶ τέμνει καὶ δοκεῖ τέμνειν. κείσεται δὲ αὐτῶν τὰ παραδείγματα καθ᾽ ἕκαστον τούτων ὀλίγῳ ὕστερον, ἔνθα καὶ σαφέστερόν τι περὶ τούτων ἐροῦμεν, νῦν δὲ πρῶτον περὶ τῶν σχημάτων λέξομεν, ἃ τμητικὰ ὄντα, κατ᾽ ἀνάγκην ἐστὶ καὶ γοργά. σχήματα μὲν οὖν τοῦ εἴδους τάδε, τὸ ἀσύνδετον κομματικόν· οἷον, προσῆλθε τῇ βουλῇ, προβούλευμα ἐγράφη. τὸ κατ᾽ ὄνομα κομματικόν· οἷον, ἀμφίπολιν, πύδναν, ποτίδαιαν, μεθώνην, παγασάς. καὶ αἱ πυκναὶ καὶ αἱ δι᾽ ἐλαχίστου ἐξαλλαγαί· οἷον, τὸ πρῶτον ἀμφίπολιν λαβὼν, μετὰ ταῦτα πύδναν, πάλιν ποτίδαιαν, μεθώνην αὖθις, εἶτα θετταλίας ἐπέβη, καὶ τὰ ἑξῆς· οἵ τε δι᾽ ἐλαχίστου λόγου μερισμοὶ τὴν ἀνταπόδοσιν ἔχοντες· οἷον, ἑσπέρα μὲν γὰρ ἦν, ἧκε δ᾽ ἀγγέλων τις ὡς τοὺς πρυτάνεις, ὡς ἐλάτεια κατείληπται. τὸ κατ᾽ ἐπαναφορὰν κομματικόν· οἷον, τοῦτον τοὺς νόμους καλεῖς; τοῦτον σεαυτὸν καλεῖς. τὸ κατὰ ἀντιστροφὴν κομματικόν· ταξιάρχους παρ᾽ ὑμῶν, ἄρχοντας παρ᾽ ὑμῶν. αἱ ταχεῖαι καὶ δι᾽ ἐλαχίστου συμπλοκαί· οἷον, καὶ σπουδαῖα νομίζων ὦ ἀθηναῖοι καὶ ἀναγκαῖα τῇ πόλει περὶ ὧν βουλεύεσθε, ἐφ᾽ ἃ παρελήλυθα. καὶ ὁ θουκυδίδης, καὶ οἱ πατέρες ὑμῶν ὦ λακεδαιμόνιοι, καὶ ὑμῶν οἱ πρεσβύτεροι. εἰ δὲ πολλαὶ

γένοιντο αἱ συμπλοκαί, καὶ μὴ καθ' ἑκάστην πληρουμένης τε καὶ ἱσταμένης τῆς διανοίας, ἀλλ' εἰς μίαν ὡς περίοδον ὕστερον πασῶν περιλαμβανομένων, τὸ μὲν τμητικὸν οὐδὲν ἧττον ἔμφασις ἔσται· τὸ δὲ ἂν γοργοῦ καὶ αὐτοῦ μὲν ἔμφασίς τις, μετρία δέ πως, περιβολὴ δὲ μᾶλλον γενήσεται ἢ γοργότης· οἷον, ἀλλ' ὁ τὴν Εὔβοιαν ἐκεῖνος σφετεριζόμενος, καὶ κατασκευάζων ἐπιτείχισμα ἐπὶ τὴν Ἀττικήν, καὶ καταλαμβάνων Ὠρεὸν καὶ κατασκάπτων Πορθμόν, καὶ τὰ ἑξῆς, μέχρι τοῦ, πότερα ἠδίκει, καὶ παρεσπόνδει καὶ ἔλυε τὴν εἰρήνην, ἢ οὔ; ἀλλ' ἐπὶ τὸ ἐξ ἀρχῆς ἐπανιτέον. σχήματα μὲν γοργότητος ταῦτα, καὶ νὴ Δία τοῦ τε φαινομένου μὲν τμητικοῦ, μὴ ὄντος δὲ τοιούτου, λόγου, καὶ τοῦ ἀμφότερα, φαινομένου τε, καὶ τέμνοντός γε ὡς ἀληθῶς ἐν βραχέσι τὰ πράγματα. τοῦ μὲν τοι τέμνοντος μέν, μὴ μήν τοι γε δοκοῦντος τέμνειν, οὐ ταῦτα, ἀλλ' οἵ τε πλαγιασμοί, καὶ τὰ κατὰ συστροφήν, καὶ ὅσα τοιαῦτα. πολλὰ γὰρ δι' ἐλαχίστων ἐν ἐκείνοις λέγεται τοῖς σχήμασιν, οὐ παραδηλούντων ἡμῶν ὅτι τέμνομεν τὰ πράγματα. παραδείγματα δὲ αὐτῶν θήσομεν ἑκάστου, ἵνα καὶ σαφὴς ὁ λόγος ᾖ. τοῦ μὲν οὖν τέμνοντος τὰ πράγματα, λόγου, οὐ μὴν δοκοῦντος τέμνειν παράδειγμα· οἷον, πολλῶν ὦ ἄνδρες Ἀθηναῖοι λόγων γινομένων, ὀλίγου δεῖν καθ' ἑκάστην ἐκκλησίαν, καὶ τὰ ἑξῆς· τοῦτο μὲν οὖν ἐκ πλαγιασμοῦ τοιοῦτον ἐγένετο, τοῦ δ' ἂν κατὰ συστροφὴν σχήματος ἐν τούτῳ τῷ εἴδει παράδειγμα τόδε· ὁ γὰρ Μεσσήνην Λακεδαιμονίοις ἀφεῖναι κελεύων, πῶς ἂν Ὀρχομενὸν καὶ Κορώνειαν τότε Θηβαίοις παραδιδοὺς, τῷ δίκαια νομίζειν ταῦτα εἶναι πεποιηκέναι σκήψαιτο; πολλὰ γὰρ δι' ὀλίγων ἐν ἀμφοτέροις εἴρηται, οὐ μὴν ἐμφαίνεταί γε τὸ τέμνεσθαι. παραδείγματα δὲ τοιαῦτα μυρία ἐστὶ παρὰ τῷ ῥή-

τορι

τορι. τὸ δ᾽ ἂν δοκοῦντος μὲν τέμνειν τὰ πράγματα, οὐ μὴν τέμνοντός γε ὡς ἀληθῶς, ἀλλὰ τοὐναντίον, καὶ περιβάλλοντος λόγου παράδειγμα τόδε· ἀλλ᾽ ὁ τὴν Εὔβοιαν ἐκεῖνος σφετεριζόμενος, καὶ κατασκευάζων ἐπιτείχισμα ἐπὶ τὴν Ἀττικήν, καὶ τὰ ἑξῆς, μέχρι τοῦ, πότερον ταῦτα ποιῶν; ἐνταῦθα γὰρ δοκεῖ μὲν πολλὰ λέγειν, καὶ νὴ Δία ταχέως ἀφ᾽ ἑκάστου αὐτῶν ἀπαλλάττεσθαι· διὸ καὶ γοργότητά τινα ἔχει ὁ λόγος, καὶ τομὴν ἐμφαίνει, οὐ μὴν πολλά γε ὡς ἀληθῶς λέγει πράγματα, οὐδὲ ταχέως ἀφ᾽ ἑκάστου αὐτῶν ἀπαλλάττεται, ἀλλὰ τοὐναντίον, καὶ ἐπιμένει περιβάλλων. ἐπεὶ γὰρ εἴδεσι, καὶ ὅλα μέρεσι, καὶ ἀόριστα ὡρισμένοις, καὶ ἕτερα ἄττα περιβλητικὰ προσλαμβάνων, περὶ ἑκάστου ὡς ἰδίαν ἔχοντος ὑπόστασιν, ἐμφαίνει παραδηλῶν ταῖς συμπλοκαῖς, καὶ μεταβάσεις ποιούμενος ἀπὸ πραγμάτων ἐπὶ ἕτερα πράγματα· διὸ πολλὰ ἔδοξεν εἶναι, δύο ὄντα σχεδὸν τὰ πάντα. ἔστι γὰρ ἥ τε Εὔβοια καὶ τὸ Βυζάντιον· εἰ δὲ βούλει, ἔσω καὶ πλείονα· οὐ μὴν τοσαῦτά γε ἐστὶν ὅσα ἐμφαίνεται εἶναι διὰ τὰς συμπλοκάς. παραδείγματα δὲ καὶ τούτου τοῦ μὴ τέμνοντος μὲν τὰ πράγματα λόγου, δοκοῦντος δὲ λέγεσθαι τμητικῶς, μυρία ἐστὶ παρὰ τῷ ῥήτορι· τοῦ δ᾽ ἂν καὶ ὄντος τμητικοῦ λόγου καὶ δοκοῦντος εἶναι, παράδειγμα τό, καὶ σπουδαῖα νομίζων ὦ Ἀθηναῖοι καὶ ἀναγκαῖα τῇ πόλει περὶ ὧν βουλεύεσθε· σπάνιον δὲ τὸ τοιοῦτον παρά γε τῷ Δημοσθένει. τὰς μέντοι αἰτίας, δι᾽ ἃς νῦν μὲν οὕτως, νῦν δὲ ἐκείνως χρῆται τῷ λόγῳ τῷ τμητικῷ, καὶ ὡς δεῖ καὶ ἡμᾶς αὐτῷ χρῆσθαι, ἐν τῷ περὶ μεθόδου δεινότητος ἐροῦμεν. ἐκείνης γὰρ ἴδιον τὸ εἰδέναι καὶ τούτοις καὶ τοῖς ἄλλοις ἅπασιν εἴδεσι, πότε, καὶ ποῦ, καὶ πρὸς ὅν τινα, καὶ πῶς προσήκει χρῆσθαι. ἀλλὰ ἐπὶ τὸν περὶ γοργότητος λόγον πάλιν ἐπανιτέον.

μεθόδους μὲν γὰρ καὶ σχήματα δι' ὧν γοργὸς ὁ λόγος γίνεται, εἰρήκαμεν· ἀπὸ δὲ τῶν σχημάτων δῆλά πως καὶ τὰ ἑξῆς. λέξις μὲν γάρ, ὅπερ ἔφην, βραχεῖα, ἤ τις ἂν εἴη, τοιάδε ἢ τοιάδε συντελεῖ πρὸς γοργότητα· οὐ μὴν ἀλλ' αἱ βραχεῖαί γε ἐπιτηδειότεραι· κῶλα μὴν τοῦ λόγου τοῦ γοργοῦ πάντως εἶναι βραχέα δεῖ, συνθήκη δὲ γοργότητος, ἡ ὀλιγάκις ἢ μηδὲ ὅλως, ἔχουσα συγκρούσιν φωνηέντων. οὐ γὰρ δὴ κεχηνέναι δεῖ τόν γε ἀληθῶς γοργὸν λόγον, πλὴν εἰ τραχύνεσθαι δέοι· πλεονάζειν μέν τοι πάντως ἐνταῦθα τοὺς τροχαίους καὶ τὰς τροχαϊκὰς συζυγίας προσήκει, καὶ τούτου γε τεκμήρια ἐναργῆ, πολλὰ μὲν τῆς τραγῳδίας, ἔνθα ἐπείγεσθαι ὁ λέγων δοκεῖ, τροχαϊκῶς συντεθέντα, καὶ παρὰ τῷ Μενάνδρῳ. ὁ δὲ Ἀρχίλοχος αὐτὸ καὶ σαφέστερον ἐποίησε καὶ γοργότερον. οἱ γὰρ τετράμετροι αὐτῷ διὰ τοῦτο οἶμαι καὶ γοργότεροι καὶ λογοειδέστεροι τῶν ἄλλων εἶναι δοκοῦσι, διότι τροχαϊκῶς σύγκεινται· τρέχει γὰρ ὡς ὄντως ἐν τούτοις ὁ ῥυθμός. εἰ δὲ μὴ ἀκριβεῖς οἱ τροχαῖοι παρὰ τῷ ῥήτορι ἐν ταῖς γοργότησιν εὑρίσκονται, πολλάκις διεμαρτυράμην ὅτι ἓν οὐδὲν μονοειδές ἐστιν εὑρεῖν παρ' αὐτῷ, ἀλλὰ ποικίλλει νῦν μὲν ἐννοίαις σεμναῖς, γοργὸν, ἤ τινα ἄλλον ἐπιθεὶς ῥυθμὸν, ἢ μέθοδον, ἤ τι τῶν ἄλλων· νῦν δὲ τὸ ἀνάπαλιν. καί τοι τὸ, ἑσπέρα μὲν γὰρ ἦν, ἧκε δ' ἀγγέλων τις ὡς τοὺς πρυτάνεις, ὡς Ἐλάτεια κατείληπται, τάχα δ' ἂν ἔχοι τι πλέον εἰς γοργότητα, καὶ διὰ τὴν ἐπιβολὴν τοῦ ῥυθμοῦ, τροχαϊκὴν οὖσαν εὐθὺς ἐξ ἀρχῆς· ἀνάπαυσις δὲ γοργὴ ἡ εἰς τροχαῖον φύσει καταλήγουσα καὶ μὴ βεβηκυῖα. οὐ γὰρ δύναται ὁ ῥυθμὸς, γοργὸς εἶναι, βεβηκώς. περὶ δὲ βεβηκότων ῥυθμῶν, καὶ τῶν οἱονεὶ κρεμαμένων καὶ ἀνηρτημένων, ἐν τῷ περὶ κάλλους ἀκριβέστερον εἴρηται.

## ΠΕΡΙ ΗΘΟΥΣ.

Σαφὴς μὲν δὴ καὶ ἀξιωματικὸς, καὶ ἔτι ἂν καλός τε καὶ γοργὸς ὅπως γίνεται λόγος, ἐν τοῖς πρὸ τούτων ἡμῖν δεδήλωται· ἕποιτο δ' ἂν ἐκείνοις ὁ περὶ ἤθους ἀναγκαίως. χρησιμώτατον γὰρ, εἴπερ ἄλλο τι, καὶ τοῦτο δὴ, τὸ ἠθικὸν εἶδος τοῦ λόγου, εἰδέναι τε ὅπως γίνεται, καὶ ποιεῖν δυνάμενον, ποτὲ μὲν ὅλῳ λόγῳ ἀποδιδόναι τὸ τοιοῦτον ἦθος, εἰ τοῦτο δέοι· ποτὲ δ' ἂν καταμιγνύναι τοῖς προειρημένοις εἴδεσιν ἅπασιν, οἷον, σφοδρότητι ἢ σεμνότητι ἢ κάλλει καὶ τοῖς λοιποῖς. λέγω γὰρ ἦθος νῦν, οὐχ ἁπλῶς τοῦτο μόνον, τὸ δι' ὅλου τοῦ λόγου ἀναγκαίως ἔχον ἐμφαίνεσθαι, καθάπερεὶ σώματος χρῶμα, ἀλλὰ καὶ τὸ ἐγκαταμίγνυσθαι πεφυκὸς πανταχοῦ, καὶ ἐν σφοδρότητι καὶ ἐν τραχύτητι καὶ ἐν τοῖς ἄλλοις ἅπασιν. ἐκεῖνος μὲν γὰρ γένοιτο ἂν, εἰ τοῖς ὑποκειμένοις προσώποις οἰκείους καὶ πρέποντας τοὺς λόγους περιάπτοι τις· οἷον στρατηγοῖς ἢ ῥήτορσιν, ἢ τοῖς ἰδίως ὀνομασθεῖσιν ἠθικοῖς, οἷον λίχνοις, ἢ δειλοῖς, ἢ φιλαργύροις, ἢ τοῖς τοιούτοις· καὶ μαθησόμεθά γε τοῦτο, ποῖα εἴδη τίσιν ἁρμόττει προσώποις, ἐν τοῖς περὶ δεινότητος· τοῦτο δὲ περὶ οὗ νυνὶ λέγομεν, αὐτό γε καὶ τὰ εἴδη αὐτοῦ δύναται μὲν καὶ δι' ὅλου ποτὲ λόγου παραλαμβάνεσθαι, ὥσπερ καὶ ταῦτα· οἷον σεμνότης τραχύτης καὶ τὰ λοιπά, δύναται δὲ καὶ κατὰ τὰ αὐτά, καθάπερ κἀκεῖνα, καὶ μερικῶς πως γίνεσθαι χρήσιμα, ὥσπερ ἔστι πολλάκις εὑρεῖν παρὰ τοῖς ῥήτορσι. σαφὲς δὲ ὃ λέγω μᾶλλον γενήσεται ὑποσκεψαμένοις τὸν λόγον τὸν περὶ αὐτοῦ. ἦθος τοίνυν ἐν λόγῳ ποιεῖ, ἐπιείκεια, καὶ ἀφέλεια, καὶ πρὸς τούτοις τὸ κατ' αὐτῶν

ἐμφαινόμενον ἀληθὲς καὶ ἐνδιάθετον. ἡ δὲ βαρύτης ὑπόκειται μὲν ὑπὸ τὸν ἠθικὸν λόγον, οὐ μὴν συμπληροῖ γε αὐτόν, ὥσπερ ἥ τε ἀφέλεια καὶ ἡ ἐπιείκεια, τό τε ἀληθὲς καὶ τὸ ἐνδιάθετον. οὐδέ γε καθ' ἑαυτὴν δύναται θεωρεῖσθαι, ὥσπερ ἐκείνων τῶν ἰδεῶν ἑκάστη· ἀλλὰ δεῖ αὐτῇ ἀφελείας ἢ ἐπιεικείας, ἤ τινος τῶν ἄλλων ἠθικῶν τι πάντως προσεῖναι. σαφέστερον δὲ καὶ τοῦτο περὶ ἑκάστης αὐτῶν λέγοντες ἐνδειξόμεθα· καὶ πρῶτόν γε περὶ ἀφελείας.

## ΠΕΡΙ ΑΦΕΛΕΙΑΣ.

Ἔννοιαι τοίνυν εἰσὶν ἀφελείας, ἁπλῶς μὲν εἰπεῖν, αἱ καθαραί (αἱ γὰρ ἁπάντων ἀνθρώπων κοιναί, καὶ εἰς πάντας ἀνθρώπους ἀνελθοῦσαι, ἢ δόξασαι ἀνελθεῖν, καὶ μηδὲν ἔχουσαι βαθύ, μηδὲ περινενοημένον, δῆλον ὡς ἀφελεῖς ἂν εἴησαν ἡμῖν καὶ καθαραί· οἷον, ἐμὲ μὲν φαῦλον ἡγεῖσθε, τουτονὶ δὲ ἄφετε· καὶ τοῦτό γε ὁμολογούμενον, ὡς αἵ γε καθαραὶ ἔννοιαι, πάντως ἂν εἶεν καὶ ἀφελεῖς· αἵ τε αὖ ἀφελεῖς, καὶ καθαραί) ἰδίως δὲ ἂν λέγοιντο ἀφελεῖς αἱ τῶν ἀπλάστων ἠθῶν καὶ ὑπό τι νηπίων, ἵνα μὴ ἀβελτέρων λέγῃ τις· οἷον, τὸ περὶ πραγμάτων διεξιέναι τινῶν καὶ λέγειν αὐτά, μηδεμιᾶς ἀνάγκης οὔσης, μηδὲ ἐπερωτῶντός τινος, ὡς τὰ πολλὰ ἔχει τῶν Ἀνακρέοντος, καὶ πάλιν τὰ Θεοκρίτου ἐν τοῖς βουκολικοῖς, καὶ ἄλλων οὐκ ὀλίγων· οἷον, κωμάσδω ποτὶ τὰν Ἀμαρυλλίδα, ταὶ δέ μοι αἶγες βόσκονται κατ' ὄρος, καὶ τὰ ἑξῆς. ἐπεὶ δὲ ἐν τῷ περὶ καθαρότητος, ἡμῖν τὰ παραδείγματα ἦν πολιτικώτερα καὶ ἀγωνιστικώτερα, ὥσπερ ἴσως καὶ τὸ προκείμενον τό, ἐμὲ μὲν φαῦλον ἡγεῖσθε, τουτονὶ δὲ ἄφετε, τὴν δὲ, ὡς ἐν τῇ ἄλλῃ λογογραφίᾳ καθαρῶν τε καὶ ἀφελῶν ἐννοιῶν οὐκ

ἐπειμ

πεμνήσθημεν, ἀνάγκη τι πλέον εἰπεῖν ἐνταῦθα περὶ αὐτῶν. χωρίζομεν γὰρ οὐδαμοῦ ὡς ἑτέρας τὰς καθαρὰς οὔσας ἐννοίας παρὰ τὰς ἀφελεῖς, οὐδ᾽ αὖ τὰς ἀφελεῖς παρὰ τὰς καθαράς. λέγω δὲ ὅτι τῶν καθαρῶν τούτων καὶ ἀφελῶν ἐννοιῶν, αἱ μὲν μᾶλλον ἁρμόττουσι τῷ πολιτικῷ λόγῳ, αἱ δὲ ἧττον, αἱ δὲ οὐδὲ ὅλως· ἃς καὶ μᾶλλον εἴποι τις ἂν ἰδίας εἶναι τῆς ἀφελείας, ὡς προείρηται, καίπερ οὐδὲν ἧττον οὔσας καθαράς. λέγω δὲ ταύτας, αἳ καὶ παίδων γένοιντο ἂν νηπίων, ὡς ἔλεγον, καὶ ἀνδρῶν ἐγγὺς ἡκόντων, φρενῶν γε ἕνεκα, τοῦ νηπίου, καὶ γυναικῶν ὡσαύτως καὶ γεωργῶν ἀγροίκων, καὶ ὅλως, ἀληθὲς εἰπεῖν, ἀφελῶν τε καὶ ἀκάκων ἀνθρώπων· οἷον, ὡς καλός μοι ὁ πάππος ὦ μῆτερ· καὶ πάλιν, αὐτοί τε πονηροί εἰσι, λέγων τοὺς ἀσσυρίους ὁ κῦρος, καὶ ἐπὶ πονηρῶν ἵππων ὀχοῦνται. ὁρᾷς ὅσον τὸ ἀφελὲς τῆς γνώμης; καὶ μὴν καὶ τὸ, ἀδύ τι τὸ ψιθύρισμα καὶ ἁ πίτυς αἰπόλε τήνα· καὶ τὰ πολλὰ τῶν βουκολικῶν, ἵνα μὴ τὰ πάντα λέγω, τοιαῦτά ἐστι· καὶ παρὰ τῷ ἀνακρέοντι δὲ ὡσαύτως, παρά τε αὖ τῷ μενάνδρῳ μυρία ἂν εὕροις τοιαῦτα καὶ γυναῖκας λεγούσας καὶ νεανίσκους ἐρῶντας, καὶ μαγείρους καὶ παρθένους θρυπτομένας, καί τινας ἄλλους· ὅλως τε διὰ τὸ ὑποπίπτειν τῷ ἠθικῷ λόγῳ πάντα τὰ τῶν τοιούτων προσώπων ἤθη, οἷον λίχνων γεωργῶν καὶ τῶν ὁμοίων, ταῦτά γε πάντα ἢ τά γε πλεῖστα αὐτῶν, ὑποκεῖσθαι τῇ ἀφελείᾳ δεῖ, ἃ καὶ ἰδίως ἠθικὰ καλεῖται· δεῖ δὲ τοῦτο ἐπισκέψασθαι, ὅτι αἱ οὕτω λεγόμεναι καθαραὶ ἔννοιαι, οὖσαι ἀφελεῖς, εἰ μέν τις ἦθός τι ὑποκρίνοιτο τῶν λεγομένων ἰδίως ἠθικῶν προσώπων, ἀναγκαῖαι παραλαμβάνεσθαι καὶ χρήσιμοι, αἱ δὲ ἄλλως, οὐκ ἐπιτήδειοι τῷ λόγῳ τῷ πολιτικῷ. εἰσὶ ἀφελεῖς ἔννοιαι, καὶ αἱ πλησιάζειν πως δοκοῦσαι τῷ εὐτελεῖ.

γίνονται

γίνονται δὲ αὗται, ὅταν περὶ εὐτελῶν καὶ τῶν τυχόντων πραγμά-
των λέγῃ τις, ὡς ἐν τῷ κατὰ στεφάνου ψευδομαρτυριῶν· ἢ τὰ κα-
ταχύσματά φησι κατάχεε· καὶ πάλιν ἑτέρωθι, τὴν ῥοδωνιὰν ἐ-
κτίλλειν· καὶ ἐν τῇ πρὸς εὐβουλίδην ἐφέσει τὸ λέγειν ὅτι ταινίας
ἐπίπρασκεν ἐν τῇ ἀγορᾷ ἡ μήτηρ. ὅλως τε πολλὰ τοιαῦτά ἐστιν
ἐν ἰδιωτικοῖς· παρὰ δὲ τῷ λυσίᾳ καὶ μᾶλλον· ἐν δὲ τοῖς δημο-
σίοις, σπάνιά γε τὰ τοιαῦτα, καὶ μετά τινος παραμυθίας εἰσά-
γεται· ὥσπερ τὸ, ἄνευ τοῦ προσωπείου κωμάζειν προσλαβὼν τὸ ἐν-
διάθετον, οἷον τοῦ καταράτου κυρηβίωνος· καὶ τὸ, ὡς ἐν ταῖς
πομπαῖς ἤρθη πως ἀπὸ τοῦ ἄγαν εὐτελοῦς· καὶ τοῦτο δὲ τὸ, ἀλ-
λ' ὡς ἡ μήτηρ σου τοῖς μεθημερινοῖς γάμοις ἐν τῷ κλισίῳ τῷ
πρὸς τῷ καλαμίτῃ ἥρωϊ χρωμένη, τὸν καλὸν ἀνδριάντα καὶ τρι-
ταγωνιστὴν ἄκρον ἐξέθρεψέ σε. καὶ τοῦτό ἐστι μὲν τοῦ αὐτοῦ τύπου
εἰ καὶ σφοδρῶς εἰσήχθη. εὐτελὲς γὰρ τὸ πρᾶγμα, ἀλλὰ καὶ τῷ
τοῖς μεθημερινοῖς εἰπεῖν γάμοις, καὶ αὐτῇ τῇ σφοδρότητι καὶ τῇ
εἰρωνείᾳ καὶ πᾶσι τοῖς λοιποῖς παραμύθιον ἔλαβε. καὶ μὴν καὶ τὸ,
τὰς ὀφρῦς τὰς παρείας θλίβων, καὶ τὰ ἑξῆς, μέχρι τοῦ, ὑπὸ τῶν γραϊ-
δίων οὕτω προσαγορευόμενος, τοιοῦτόν ἐστι· παραμεμύθηται δὲ
τῷ, καὶ αὐτὸν ὥσπερ καταγινώσκοντα τῶν εἰρημένων εἰπεῖν, ὅτι ὑπὸ
τῶν γραϊδίων οὕτω προσηγορεύετο. ἐκεῖνα μέντοι διὰ τὸ ἄγαν
εὐτελὲς καὶ ὠβέλισάν τινες καὶ ὑπεξείλοντο, ἴσως ὀρθῶς ποιοῦν-
τες· λέγω τὸ, κυάμους ἑφθοὺς βοῶσα· καὶ κατὰ πᾶν τὸ θέρος
ἐπλανᾶτο, καὶ τὰ ἑξῆς. ταῦτα γὰρ καὶ τὰ τοιαῦτα ἐν μὲν ἰδιω-
τικοῖς λόγοις ἴσως ἂν ἁρμόσειεν, ἐν δημοσίῳ δὲ καὶ τηλικοῦτον
ἔχοντι ἀξίωμα λόγῳ ἢ προσώπῳ ἢ πράγματι, πῶς ἂν ἁρμότ-
τοι; τοιοῦτόν ἐστι καὶ τὸ ἐν τῷ κατὰ νεαίρας ὠβελισμένον ὑπό τι-
νων, τὸ ἀπὸ τριῶν τρυπημάτων τὴν ἐργασίαν πεποιῆσθαι λέγειν.

λίαν

λίαν γὰρ εὐτελές ἐστι, καὶ εἰ σφοδρὸν εἶναι δοκεῖ. ἔτι ἀφελεῖς ἔννοιαι καὶ αἱ ἐν τοῖς παραχειρήμασιν ἀπὸ τῶν ἀλόγων ζώων λαμβανόμεναι· οἷον, ὁ βοῦς κέρατι παίει, ὁ ἵππος ὁπλῇ, ὁ κύων στόματι, ὁ κάπρος ὀδόντι. καὶ εἰ ἀπὸ τῶν φυτῶν δέ τις παραχειροίη, παραπλησίως ταυτὸν ποιήσει. ταῦτα δὲ καὶ πλέον ἔχει τι κατ' ἔννοιαν τοῦ ἀφελοῦς· ἐγγὺς γάρ ἐστι γλυκύτητος, διὸ καὶ πλεονάζει παρὰ τοῖς ποιηταῖς. εἰ δὲ ἔχει πως ἐκείνοις ταῦτα καὶ μέγεθος, οὐ δεῖ θαυμάζειν. μάλιστα μὲν γὰρ οὐ κατὰ πλῆθος ὥσπερ ἐνταῦθα, τοῖς τοιούτοις χρῶνται παραδείγμασιν, ἓν δέ τι ἀπολαβόντες λέγουσι. τοῦτο δὲ οὐκ ἔτι ἐστὶ γνησίως πάντη τὸν λόγον ἀφελῆ. ἔπειτα δὲ καὶ φύσει μέλει τοῖς ποιηταῖς ἀμφοτέρων, τοῦ τε μεγέθους καὶ τοῦ ἤθους· διὸ ἢ λέξεσιν ἢ σχήμασιν αὐτὸ διαιροῦσι, καί περ ἴσως ὂν κατ' ἰδίαν φύσιν ἀφελὲς καὶ ἡδύ. καὶ περὶ μὲν γλυκύτητος αὐτίκα λέξομεν, τὸ δὲ προειρημένον παράδειγμα καὶ μᾶλλον ἐγένετο ἀφελές, διὰ τὸ πλεονάσαι τοῖς κατὰ μέρος, ὡς καὶ μικρῷ πρότερον ἐλέγομεν. μέθοδος δέ τις αὕτη ἀφελείας, ἀλλ' οὐκ ἔννοια, τὸ πλεονάζειν τοῖς κατὰ μέρος ἐπεξιόντας. ἐπεὶ καὶ τὸ, εἰ μὴ καὶ τοὺς θεριστὰς καὶ τοὺς ἄλλο τι μισθοῦ πράττοντας, εἰ ἀφέλοι τις τὸ ἀόριστον, ὑπομεῖναι δὲ τοῖς κατὰ μέρος, ἀφελῆ ποιήσει τὸν λόγον· οἷον, εἰ οὕτω λέγοι. εἰ μὴ καὶ τοὺς θεριστὰς καὶ τοὺς σκαπανέας καὶ τοὺς ἀμαλοδέτας, καὶ τοὺς ποιμένας, καὶ τοὺς νομέας· εἰ γὰρ οὕτως ὑπομεῖναι τις τοῖς κατὰ μέρος, πάνυ ἂν ἐργάσαιτο ἀφελῆ τὸν λόγον. ἔτι ἀφελές τε καὶ ἠθικὸν κατ' ἔννοιαν, καὶ διόρκων πιστοῦσθαι ὁτιοῦν, ἀλλὰ μὴ διὰ τῶν πραγμάτων· οἷον, καλῶ δὲ τοὺς θεοὺς πάντας καὶ πάσας ὅσοι τὴν χώραν ἔχουσι τὴν ἀττικὴν, καὶ τὸν ἀπόλλω τὸν πύθιον, καὶ τὰ ἑξῆς· καὶ πάλιν, πρῶτον μὲν ὦ ἀθηναῖοι τοῖς θεοῖς

MMM εὔχομαι

εὔχομαι πᾶσι καὶ πάσαις· καὶ μυρία τοιαῦτα ἔχεις παρὰ τῷ ἀν-
δρί. πάντα δὲ ταῦτα ἠθικὰ καὶ ἀφελῆ τά γε τῶν ὅρκων, καὶ εἰ τοὺς
ἀκούοντας δὲ ὁρκίζοι, ἢ τὸν ἀντίδικον, ὡσαύτως. οὐ γὰρ ἀγωνι-
στικὰ ταῦτά γε· οἷον, πρὸς Διὸς καὶ θεῶν μὴ ἀποδέξησθε, καὶ ὅσα
τοιαῦτα, ἀλλὰ ἠθικὰ τῇ πίστει καὶ πιθανά. εἰ μέν τοι μεθοδεύ-
οις τινὰ πίστιν ἀγωνιστικὴν, ἢ καὶ ὁτιοῦν ἕτερον, ὥστε μεταπεσεῖν
εἰς ὅρκου σχῆμα τὸ τοιοῦτον, ἄλλο τι λέγω, καὶ οὐκ ἀφελὲς, οὐδὲ
ἠθικόν. οὐδὲ γὰρ ὅρκος ἔτι ἐκεῖνός γε ἂν εἴη, ἀλλὰ μεθοδευθὲ
μὲν πως ἄλλο τι ὄν, ὥστε εἰς τοῦτο ἀφικέσθαι, φυλάττον δὲ τὴν
οἰκείαν δύναμιν, προσλαμβάνει τι καὶ ἕτερον διὰ τῆς μεθόδου·
οἷον, οὐ μὰ τοὺς ἐν μαραθῶνι προκινδυνεύσαντας τῶν προγόνων,
καὶ τὰ ἑξῆς. τοῦτο καὶ ἔνδοξον ὂν παράδειγμα, καὶ πίστις τοῦ
ὅτι συνήθες τῇ πόλει ὑπὲρ τῆς τῶν ἑλλήνων ἐλευθερίας ἀγωνί-
ζεσθαι καὶ κινδυνεύειν, μεθοδευθὲν οὕτως, ὥστε μεταπεσεῖν εἰς
ὅρκον, πεποίηκε λαμπρότητα καὶ μέγεθος, ἀλλ' οὐκ ἀφέλειαν
οὐδὲ ἦθος. ταῦτα μὲν οὖν ταύτῃ· ἐπανιτέον δὲ ἐπὶ τὸ ἐξ ἀρ-
χῆς. ἔννοιαι μὲν γὰρ ἀφελεῖς αὗται, καὶ αἱ τοιαῦται, μέθοδοι δὲ
ἀφελείας, αἵπερ καὶ καθαρότητος· καὶ ὅσα γε ἐκεῖ εἰρήκαμεν,
ταῦτα ὁμοίως κἀνταῦθα δοκείτω λέγεσθαι, ὅτι δύναταί τις καὶ
μὴ ὄντα τινὰ, ὅσον γε τῶν ἐννοιῶν ἕνεκα, τὸν ἀφελῆ λόγον, ὁμοίως
καὶ διά γε τῶν ἄλλων ποιεῖν εἶναι δοκεῖν ἀφελῆ, οἷον σχημάτων
λέξεων, καὶ τῶν λοιπῶν· αὐτίκα ἡ ὀξύτης καὶ τὸ ὀξέως τι εἰπεῖν,
ἤτοι ἀπαντῶντα λόγῳ τινὶ ἢ ὁπωσοῦν, ὅπερ τινὲς εἶδος δρι-
μύτητος ὠνομάκασιν, οὐ μόνον οὐκ ἀφελὲς, ἀλλὰ καὶ ἐναν-
τίον ἐστὶ τῷ ἀφελεῖ. δριμύτητος γὰρ ἴδιον τὸ τοιοῦτον. οὐδὲν γὰρ
ἄλλο ἢ ἐπιπολεώς ἐστι βαθύτης ἡ ὀξύτης αὕτη, εἴτε καὶ δριμύ-
της. διαφέρει γὰρ ὀνόματος ἕνεκα ἡμῖν οὐδὲν, ἀλλὰ τὸ ψιλὸν, καὶ

ὥσπερ

ὥσπερ ἔφην, διὰ τὸ ἀπολύτως εἰσάγεσθαι τὸ νόημα καὶ περὶ βαθὺ ὄν, ἀφελὲς ἔδοξεν εἶναι. πολὺ δὲ τοῦτο παρὰ τῷ ξενοφῶντι. σαφέστερον δὲ περὶ αὐτῆς μικρὸν ὕστερον ἐν τῷ περὶ γλυκύτητος λέξομεν. λέξις γε μὴν ἀφελὴς τὸ μὲν πλεῖστον, ἡ αὐτὴ ἐστὶ τῇ καθαρᾷ, εἰσὶ δέ τινες, καὶ ὥσπερ ἴδιαι τῆς ἀφελείας, ὡς τὸ ἀδελφίζειν παρὰ τῷ ἰσοκράτει, καὶ ὁ κλαυσίγελως παρὰ τῷ ξενοφῶντι, καὶ ἄλλαι τινὲς τοιαῦται. ἠθικαὶ γὰρ αὗται, καὶ ἄγαν ἀφελεῖς. καὶ μὴν καὶ αἱ δριμεῖαι περὶ ὧν καὶ ἐν τῷ περὶ δριμύτητος αὐτίκα λέξομεν, ὡς ἔφην. αὗται δὲ ὡς ἐπὶ τὸ πλεῖστον, γλυκύτητα ποιοῦσιν ἐν ἀφελείᾳ· ἡ δὲ γλυκύτης, οἷον κάλλος τι τῆς ἀφελείας ἐστί, περὶ ἧς καὶ αὐτῆς μετ' οὐ πολὺ λέξομεν. καὶ πρῶτόν γε περὶ ταύτης, εἶθ' ὕστερον περὶ τῆς δριμύτητος εἴτε ὀξύτητος. ἀλλὰ πάλιν ἐπὶ τὸν περὶ ἀφελείας λόγον ἰτέον. λέξις μὲν γὰρ ἡ τοιαύτη ἰδία ἀφελείας, σχήματα δὲ ἀφελῆ καὶ κῶλα, ταυτὰ ἅπερ ἦν καὶ καθαρά, συνθῆκαί τε ὡσαύτως· ἀφελέστεραι δὲ αἱ μᾶλλον λελυμέναι· οἷον, ἀκούσατέ μου ἀπολογουμένου δικαίως· καὶ οἷαί εἰσιν αἱ πλεῖσται παρά τε τῷ ξενοφῶντι, καὶ τῷ σωκρατικῷ αἰσχίνῃ· καὶ μέντοι καὶ τῷ νικοστράτῳ. ἀπὸ δὲ τούτων δῆλος ὅπερ ὅς τίς ἐστι καὶ ὁ ῥυθμὸς ἐν ἀφελείᾳ. ἡ γὰρ τοιαύτη συνθήκη κἀνταῦθα τὸν ῥυθμὸν ποιεῖ. ἀνάπαυσις δὲ καὶ βάσις ἀφελής, ἡ βεβηκυῖα. καὶ γὰρ καὶ οὖσα σεμνὴ αὕτη ἡ ἀνάπαυσις, ὅμως μᾶλλον ἁρμόττει τῆς οἷον ἁρπαζομένης καὶ ἐκκρεμοῦς· κεκαλλωπισμένη γὰρ μᾶλλον ἐκείνη. ἀφελὴς οὖν ἡ ἑδραία μᾶλλον βάσις τοῦ εὐρύθμου, καὶ ἡ βεβηκυῖα ἀνάπαυσις. εἴρηται δὲ ἀκριβῶς περὶ τούτων ἡμῖν ἐν τῷ περὶ κάλλους. ἐπηγγειλάμην δὲ ἐρεῖν τι καὶ περὶ γλυκύτητος καὶ ὥρας, ἃ δὴ ὥσπερ ἐπίτασίν τινα τῆς ἀφελείας ἐλέγομεν εἶναι. λεκτέον οὖν ἂν εἴη τι περὶ αὐτῶν· ἐφεξῆς δὲ ταύτης, λέξομεν καὶ περὶ δριμύτητος εἴτε ὀξύτητος.

## ΠΕΡΙ ΓΛΥΚΥΤΗΤΟΣ.

Ἔννοιαι δὲ γλυκεῖαί τε καὶ ἡδονὴν ἔχουσαι, μάλιστα μὲν πᾶσαι αἱ μυθικαί· οἷον, ὅτε γὰρ ἐγένετο ἀφροδίτη, εἱστιῶντο οἵ τε ἄλλοι θεοί, καὶ ὁ τῆς μήτιδος υἱὸς πόρος, καὶ τὰ ἑξῆς. ἔστι δὲ ἀπὸ τοῦ συμποσίου ταῦτα πλάτωνος· καὶ πάλιν τὸ περὶ τῶν τεττίγων ῥηθὲν ἐν φαίδρῳ, ὥς ποτε οὗτοι ἦσαν ἄνθρωποι πρὶν μούσας γεγονέναι, καὶ τὰ ἑξῆς· καὶ παρὰ τῷ ῥήτορι τὰ ἐν τῷ κατὰ ἀριστοκράτους εἰρημένα· οἷον, ἐν τούτῳ μόνῳ τῷ δικαστηρίῳ θεοὶ δίκας δοῦναι καὶ λαβεῖν ἠξίωσαν παρ' ἀλλήλων, καὶ τὰ ἑξῆς, μέχρι τοῦ, δικάσαι δὲ εὐμενίσι καὶ ὀρέστῃ τοὺς δώδεκα θεούς. ἀλλ' ἐνταῦθα μὲν ἐπείπερ ἐν τῷ πολιτικῷ λόγῳ τὰ μυθικὰ ὑπτιότητα ποιεῖ, διὰ τὴν τῆς γοργότητος ἰδέαν, τὸ λίαν ὕπτιον ὁ ῥήτωρ περιεμυθήσατο, τεμνὼν τὰ πράγματα. ὅσαι δὲ καὶ ἄλλαι εἰσὶ μέθοδοι καθ' ἃς δεῖ χρῆσθαι τοῖς μυθικοῖς, ἀκριβέστερον ἐν τῷ περὶ δεινότητος ἡμῖν λελέξεται· ἀλλ' ἐκεῖσε ἐπάνειμι· πρῶτον μὲν γάρ, ὅπερ ἔφην, καὶ μάλιστα γλυκύτητα καὶ ἡδονὴν ἐν λόγῳ αἱ μυθικαὶ τῶν ἐννοιῶν ποιοῦσι, κατὰ δεύτερον δὲ λόγον, τὰ διηγήματα, ὅσα ἐγγὺς μύθων ἐστίν· οἷον τὰ περὶ τοῦ τρωϊκοῦ πολέμου εἰ διεξίοι τις, ἢ τι τοιουτότροπον. τρίτην δὲ ἔχει τάξιν τὰ κατ' ὀλίγον μέν πως τοῦ μυθικοῦ κοινωνοῦντα διηγήματα, μᾶλλον δὲ ἢ κατὰ τοὺς μύθους πιστευόμενα, οἷα σχεδὸν ἅπαντα τὰ ἡροδότου. μυθώδη γὰρ ὀλίγα ἔχει· οἷον τὰ περὶ τοῦ πανὸς ῥηθέντα καὶ τοῦ ἰάκχου, καὶ ἴσως ἄλλα ἄττα, σφόδρα γε ὀλίγα· τὰ μέντοι ἄλλα καὶ πιστεύεται γεγονέναι, καὶ ἀπήλλακται τοῦ μυθικοῦ· διόπερ οὐδὲ ὁμοίως τοῖς



Universitäts- und
Landesbibliothek Düsseldorf

φύσει μυθικοῖς, μετέχει τῆς γλυκύτητος. ἕτερον δὲ παρὰ ταῦτα εἶδός ἐστιν ἡδονὴν ἔχον καὶ γλυκύτητα ἐννοιῶν, ὅπερ ἄλλοτε ἄλλην ἔχει λαβεῖν. τοῦτο γὰρ πολλάκις μὲν καὶ τὰ μυθικὰ αὐτὰ ὑπερβάλλει τῇ ἡδονῇ, πολλάκις δὲ καὶ τὴν τρίτην ἐχόντων τάξιν ἐλαττοῦται. ἔστι δὲ τοῦτο τοιοῦτον, πάντα ὅσα ταῖς αἰσθήσεσιν ἡμῶν ἐστιν ἡδέα, λέγω δὲ τῇ ὄψει, ἢ ἁφῇ, ἢ γεύσει, ἢ τινι ἄλλῃ ἀπολαύσει, ταῦτα καὶ λεγόμενα ἡδονὴν ποιεῖ. ἀλλ᾽ αἱ μὲν εἰσὶν αἰσχραὶ τῶν κατὰ ἀπόλαυσιν ἡδονῶν, αἱ δὲ οὐ τοιαῦται. καὶ τὰς μὲν οὐκ αἰσχρὰς, ἔστιν ἁπλῶς ἐκφράζειν· οἷον, κάλλος χωρίου, καὶ φυτείας διαφόρους, καὶ ῥευμάτων ποικιλίας, καὶ ὅσα τοιαῦτα. ταῦτα γὰρ καὶ τῇ ὄψει προσβάλλει ἡδονὴν ὁρώμενα καὶ τῇ ἀκοῇ, ὅτε ἐξαγγέλλοι τις, ὥσπερ ἡ Σαπφώ· ἀμφὶ δὲ ὕδωρ ψυχρὸν κελαδεῖ δι᾽ ὕσδων μαλίνων· καὶ, αἰθυσσομένων δὲ φύλλων κῶμα καταρρεῖ, καὶ ὅσα πρὸ τούτων γε καὶ μετὰ ταῦτα εἴρηται. τοιοῦτόν ἐστι καὶ τὸ παρὰ τῷ Πλάτωνι ἐν Φαίδρῳ· οἷον, νὴ τὴν Ἥραν καλή γε ἡ καταγωγή· ἥ τε γὰρ πλάτανος αὕτη καὶ μάλα ἀμφιλαφής τε καὶ ὑψηλὴ, καὶ τὰ ἑξῆς. ταῦτα μὲν οὕτως ἄν τις ἐκφράζων ἡδονὴν ποιοίη καὶ γλυκύτητα. ὅσαι δέ εἰσιν αἰσχραὶ, τῶν κατὰ τὰς ἀπολαύσεις ἡδονῶν ἐοικυῖαν ἔχουσιν αὐταῖς καὶ τὴν διὰ τῆς ἀκοῆς τέρψιν καὶ γλυκύτητα· οἷς γὰρ ἕκαστος χαίρει πραττομένοις ἐκείνοις, οὗτος καὶ λεγομένοις ἡσθήσεται· ὁ μὲν ἀκόλαστος ἀκολάστοις, ὁ δὲ σωφρονῶν δηλαδὴ σώφροσι· καὶ ὁ ποιῶν δὲ ὡσαύτως ποιήσει. ἐπεὶ καὶ τὸ, ἦ ῥὰ καὶ ἀγκὰς ἔμαρπτε Κρόνου παῖς ἣν παράκοιτιν, ἡδονὴν μὲν ἔχει, καὶ οὐκ ὀλίγην γε, σώφρονα μὴν ταύτην καὶ μέχρι τοῦ μετρίου ἤκουσαν· τῇ δὲ λέξει καὶ πολὺ τῆς ἡδονῆς ἀφέστηκεν. οὐδὲ γὰρ τραχέως μόνον, ἀλλὰ καὶ σκληρῶς εἴρηται τὸ ἔμαρπτε, καὶ τὸ

ἀγκὰς δὲ αὐτῇ τῇ προφορᾷ καὶ τῷ φθόγγῳ οὐχ ἡδύ, καὶ εἰ τὸ τῆς ἐννοίας τις ἀφέλοι. ὁρᾷς, ὡς μεγέθους μᾶλλόν ἐστιν, ἀλλ' οὐχ ἡδονῆς; ὅ γε μὴν ἀκόλαστος πάντως τι καὶ πλέον ἀκοῦσαι βούλοιτ' ἂν ἢ καὶ εἰπεῖν, ὅ τι ποιοίη, ὡς ἐν κωμῳδίᾳ, οὐ μὴν ὅ γε σώφρων. τὸ μέν τοι, τοῖσι δ' ὑποχθὼν δῖα φύεν νεοθηλέα ποίην, καὶ τὰ ἑξῆς, μείζονα ἔχει τὴν ἡδονήν· διό τι καὶ μυθικὸν καὶ φύσει ἡδὺ τῇ ἄλλῃ ἀπολαύσει τὸ πρᾶγμα, καὶ οὐκ αἰσχρὸν ἦν ἐργάσασθαι τὰς τοιαύτας ἐννοίας τε καὶ ἡδονάς. τοιοῦτόν ἐστι καὶ τό, πορφύρεον δ' ἄρα κῦμα περιστάθη οὔρεϊ ἶσον κυρτωθέν, κρύψεν δὲ θεὸν θνητήν τε γυναῖκα, καὶ ὅλως μυρία τούτων παρὰ τοῖς ποιηταῖς ἐστὶ παραδείγματα· καθόλου τε πᾶσαι αἱ ἐρωτικαὶ ἔννοιαι γλυκεῖαί εἰσιν, ἐμπίπτουσι δὲ αὗται σχεδὸν ἐν ἅπασι τοῖς προειρημένοις κατ' ἔννοιαν γλυκύτητος εἴδεσι, καὶ εἰσὶν αὐτῶν ὥσπερ μέρη. διὸ οὐδὲ ἀπεδώκαμεν τάξιν ἰδίαν ταῖς τοιαύταις τῶν ἐννοιῶν, ἀλλ' ἐπὶ τοσοῦτον αὐτῶν ἐμνήσθημεν. καὶ οἷς ἐχαίρομεν δὲ λόγοις εἴ τις χρῷτο, οἷον ἐγκωμίοις τοῖς εἰς ἡμᾶς αὐτοὺς ἢ εἰς τοὺς προγόνους τοὺς ἡμετέρους, ἢ εἰς τὰ παιδικὰ τὰ ἡμέτερα, δῆλον ὡς ἡδονὴν ποιεῖ· πολιτικὴ δὲ ἡ τοιαύτη ἡδονή, καὶ διαχεῖ γε πολλάκις τοὺς ἀκούοντας μᾶλλον ταῦτα τῶν φύσει ἡδέων. ἔστι δὲ καὶ ταῦτα ἐκείνης τῆς δυνάμεως, ἧς ἦν καὶ τὰ ἐξαγγελλόμενα πάντα, ὅσα ταῖς αἰσθήσεσιν ἡμῶν τέρψιν φέρει. ἔτι ποιεῖ γλυκύτητα καὶ τὸ τοῖς ἀπροαιρέτοις προαιρετικόν τι περιτιθέναι· οἷον, τὰ μὲν οὖν χωρία καὶ τὰ δένδρα οὐδέν ἐθέλει με διδάσκειν, οἱ δὲ ἐν τῇ πόλει ἄνθρωποι. ἀμφισβητήσειε δ' ἄν τις πότερον κατὰ λέξιν ἢ κατὰ ἔννοιαν ἐνταῦθα γέγονεν ἡ γλυκύτης, καὶ ἴσως μᾶλλον κατ' ἔννοιαν. τροπὴ μὲν γάρ τις ἐστὶν ἐνταῦθα ἐν τῷ, οὐδέν με ἐθέλει· ἐκ

μετα

μεταφορᾶς δὲ γέγονεν ἡ περὶ τὴν λέξιν τροπή, καὶ οὐχ ὡς ἐν τῷ, μέλιτος γλυκίων ῥέεν αὐδή. ἐνταῦθα γὰρ τὸ ῥέε τέτραπται μᾶλλον ἢ ἐκεῖ τὸ θέλει, καὶ ἴδιόν τι σημαινόμενον ἔχει ἡ λέξις ἡ ἔθελε. τάχα οὖν εἴποι τις ἂν ἀλληγορεῖσθαι αὐτὸ, ἀντὶ τοῦ οὐδέν με δύναται διδάσκειν, τοῦ οὐδέν μ' ἐθέλει ῥηθέντος· ἡμεῖς μέν τοι τοῦτο ὅτι ποτ' ἂν ᾖ συγχωροῦντες εἶναι, τοσοῦτον διοριζόμεθα, ὅτι καθόλου τὸ περιτιθέναι τοῖς ἀπροαιρέτοις προαιρετικόν τι, γλυκύτητα ποιεῖ, ὥσπερ ἔν τε τῷ προειρημένῳ δηλοῦται, καὶ ὅταν τὴν λύραν ἐρωτᾷ ἡ σαπφώ, καὶ ὅταν αὐτὴ ἀποκρίνηται· οἷον, ἄγε χέλυ δῖά μοι λέγε φωνάεσσα δὲ γίνεο, καὶ τὰ ἑξῆς. ὁ δὲ ἡρόδοτος καὶ μᾶλλον τοῦτο συνίστησι τὸ παρ' ἡμῶν λεγόμενον. σχεδὸν γὰρ δι' ὅλου τοῦ λόγου ἡδονὰς ἐργαζόμενος ἐν τοῖς εἰς τὸν ἑλλήσποντον ὑπὸ ξέρξου πραχθεῖσιν, ὑπερεβάλλετο τῇ ἡδονῇ καὶ τῇ γλυκύτητι· οἷον, ἐνετέλλετο δὲ λέγειν ῥαπίζοντας τάδε βάρβαρά τε καὶ ἀτάσθαλα. ὦ πικρὸν ὕδωρ δεσπότης σοι δίκην ἐπιτιθεῖ τήνδε, ὅτι μιν ἠδίκησας οὐδὲν πρὸς ἐκείνου ἄδικον παθόν· καὶ βασιλεὺς μὲν ξέρξης διαβήσεταί σε, ἤν τε βούλῃ, ἤν τε μή· σοὶ δὲ κατὰ δίκην ἄρα οὐδεὶς ἀνθρώπων θύει, ὡς ὄντι θολερῷ καὶ ἁλμυρῷ ποταμῷ. ἐνταῦθα γὰρ πρὸς τὸ ὕδωρ, ὡς αἴσθησιν ἔχον καὶ προαίρεσιν, διαλεγόμενον ποιήσας τὸν ξέρξην, ὑπερέβαλεν ἡδονῇ, καθ' ὃ ἐλέγομεν θεώρημα. τὰ μέν τοι παρὰ τοῖς ποιηταῖς ἐξουσίᾳ λέγεται ποιητικῇ, ἀλλ' οὐχ ὥσπερ εἰρήκαμεν· οἷον, ἀμφὶ δὲ σάλπιγξε μέγας οὐρανός· καὶ, αὐτόμαται δὲ πύλαι μύκον οὐρανοῦ· καὶ, γηθοσύνῃ δὲ θάλασσα διΐστατο, καὶ ὅσα τοιαῦτα. οὐχ ὡς κατ' ἀπροαιρέτων γὰρ λέγεται, ἀλλ' ὡς καὶ δυναμένων τὸ πρακτέον εἰδέναι. δέδοται γοῦν καὶ τὰ τοιαῦτα τοῖς ποιηταῖς·

ἀπήλ

ἀπήλλακται μέν τοι γε οὐδ' οὕτω γλυκύτητος, ἀλλὰ ποιεῖ μὲν κἀνταῦθα οὐδὲν ἧττον τὴν ἡδονὴν τὰ τοιαῦτα νοήματα, μετριωτέραν δὲ ἢ ἐν τοῖς ἄλλοις. ταυτὸν δὲ συμβαίνει, καὶ εἴ τις τοῖς ἀλόγοις ζώοις τὰ ἀνθρώπου ἴδια περιθείη, ὥσπερ Ξενοφῶν, λέγων τὰς κύνας ἐπισκυθρωπάζειν· καὶ πάλιν, μειδιᾶν, καὶ ἀπιστεῖν τοῖς ἴχνεσιν ἢ μὴ πιστεύειν· καὶ ὅταν εἴπῃ, θρασεῖαι δὲ αἱ οὐκ ἐῶσαι τῶν συνεργῶν τὰς σοφὰς εἰς τὸ πρόσθεν ἰέναι, ἀλλὰ ἀνείργουσαι, θορυβοῦσαι· καὶ γὰρ τὸ τῶν συνεργῶν, καὶ τὰς σοφάς, καὶ σχεδὸν ἅπαντα τὰ εἰρημένα, ἀνθρώπων ἴδια, καὶ οὐ κυνῶν· καὶ ὅλως, πολλὰ τοιαῦτα λάβοις ἂν ἐκ τοῦ κυνηγετικοῦ παραδείγματα· ἐν ᾧ δὴ καὶ φύσει τὸ κατ' ἔννοιαν ἔχον τῆς ἡδονῆς, πολὺ καὶ κατ' ἄλλα μὲν γάρ, κατὰ δὲ τὴν ἔννοιαν καὶ μᾶλλον, ὅτι φύσει τὸ πρᾶγμα ἡδὺ τὸ περὶ θήρας καὶ τῆς ὄψεως, ὥς που καὶ τοῦτο αὐτὸς ἐπεσημήνατο ὁ Ξενοφῶν, εἰπών, ἥδιστον εἶναι θεαμάτων, ἰδεῖν τὸν λαγὼν ἐξανιστάμενον, φεύγοντα, μεταδιωκόμενον, ἁλισκόμενον. ἀλλὰ περὶ μὲν ἐννοιῶν γλυκύτητος καὶ ἡδονῆς, τοσαῦτα· μέθοδοι δὲ αὐτῆς ποιοῦσιν, αἵπερ καὶ τῆς καθαρότητος, καὶ τῆς ἀφελείας, περὶ ὧν εἴρηται. λέξις δὲ γλυκεῖα, ἥ τε τῆς ἀφελείας, ἰδία δὲ παρὰ τὴν καθαρὰν ῥηθεῖσαν εἶναι, καὶ ἔτι ἡ ποιητική. ταύτῃ τοι καὶ Ἡρόδοτος, τῆς γλυκύτητος μάλιστα πεφροντικώς, ἐχρήσατο μὲν καὶ μεθόδοις καὶ ἐννοίαις αἷς περ καὶ ἡμεῖς ἐχαρακτηρίζομεν τὴν γλυκύτητα, λέξει τε ἑκάστῃ ἰδίᾳ μὲν τῆς ἀφελείας πολλαχοῦ, ὥσπερ ἐλέγομεν, ἐκεῖθεν δὲ μάλιστα διαρκεῖ ἆις καὶ τὴν γλυκύτητα, ὅτι καὶ αὐτὴν εὐθὺς τὴν διάλεκτον ποιητικῶς προείλετο εἰπεῖν. ἡ γὰρ Ἰάς, οὖσα ποιητική, φύσει ἐστὶν ἡδεῖα. εἰ δὲ καὶ ἄλλων διαλέκτων ἐχρήσατό τισι λέξεσιν, οὐδὲν τοῦτο. ἐπεὶ καὶ Ὅμηρος καὶ Ἡσίοδος, καὶ ἄλλοι οὐκ

ὀλίγοι

ὀλίγοι τῶν ποιητῶν ἐχρήσαντο μὲν καὶ ἄλλαις τισὶ λέξεσιν ἑτέρων διαλέκτων, τὸ πλεῖστον μὴν ἰάζουσι. καὶ ἔστιν ἡ ἰάς, ὅπως ἔφην, ποιητική πως· διὰ τοῦτο δὲ καὶ ἡδεῖα. τὸ δ' ἂν τὸ αἴτιον οἶμαι τοῦ καὶ τὰς παραπλοκὰς τῶν ποιημάτων ἐν λόγῳ ἡδονὴν ἔχειν· οἷον, σύν τε δύ' ἐρχομένω βουλευσόμεθα ὅτι ἐροῦμεν· καὶ πάλιν ἐν πολιτείας πέμπτῳ, ἀλλὰ μὴν καὶ καθ' Ὅμηρον τοῖς τοιοῖσδε δίκαιον τιμᾶν τῶν νέων, ὅσοι ἀγαθοί, καὶ γὰρ Ὅμηρος τὸν εὐδοκιμήσαντα ἐν τῷ πολέμῳ, νώτοισιν ἔφη διηνεκέεσσι γεραίρεσθαι Αἴαντα· ὡς ταύτην οὖσαν οἰκείαν τιμὴν τῷ ἡβῶντί τε καὶ ἀνδρείῳ, ἐξ ἧς ἅμα τῷ τιμᾶσθαι, καὶ τὴν ἰσχὺν αὐξήσει. καὶ πάλιν τοῦτο, ἀλλ' οὐ πεισόμεθα Ἡσιόδῳ, ἐπειδάν τινες τοιούτου γένους τελευτήσωσιν, ὡς ἄρα οἱ μὲν δαίμονες ἁγνοὶ, ἐπιχθόνιοι τελέθουσιν, ἐσθλοί, ἀλεξίκακοι, φύλακες θνητῶν ἀνθρώπων; πεισόμεθα μὲν οὖν· ἔστι δὲ πολλὰ καὶ παρὰ τῷ Ξενοφῶντι τοιαῦτα, καὶ παρ' ἄλλοις συχνοῖς· καὶ ἀφθονία παραδειγμάτων ἐστίν, εἴ τις ἐκλέγειν παρ' ἑκάστου βούλοιτο. ὁ δὲ Πλάτων καὶ ἀφειδέστερον ἐν τῷ συμποσίῳ καταχρησάμενος τῷ τοῦ Ἀγάθωνος προσώπῳ ὡς ποιητοῦ, τῇ παραπλοκῇ ταύτῃ ἐχρήσατο. οὐ γὰρ ἀπ' ἀλλοτρίων ποιημάτων τινά, ἀλλ' αὐτὸς ποιήσας παρέπλεξε, προδιορθωσάμενος μέν τοι, ἵνα μὴ πάντῃ ἀντίξουν εἶναι δοκῇ τὸ λεγόμενον· οἷον, ἐπέρχεταί δέ μοι τι καὶ ἐμμέτρως εἰπεῖν, ὅτι οὗτός ἐστιν ὁ ποιῶν· εἶτα τὸ μέτρον ἐπήγαγεν, εἰρήνην μὲν ἐν ἀνθρώποις, πελάγει δὲ γαλήνην, νηνεμίαν δ' ἀνέμοις, κοίτην, ὕπνον τ' ἐνὶ κήδει. καὶ ἐν τῷ φαίδρῳ δὲ παραπλησίως, πρόσωπόν τι ὑποβαλὼν ἀόριστον δή, ἀλλ' οὖν ὡς ἑτέρου λέγοντος, ἐνθουσιῶν δὴ μέτρον ἐφθέγξατο· ὡς λύκοι ἄρνα φιλεῦσ', ὡς παῖδα φιλοῦσιν ἐρασταί· οὐ μὴν

τοι οὐδὲ τοῦτο εἴασεν ἀπαραμύθητον, ἀλλ' ἐπήγαγέ τι ὑποδιορθωτικὸν καὶ τούτῳ. εἰδέναι μέν τοι χρὴ ὅτι αὗται αἱ παραπλοκαί, εἴτε ἰδίων εἴτε ἀλλοτρίων εἶεν ποιημάτων, εἰ μὴ οὕτω παραπλέκοιντο, ὥστε ἓν δοκεῖν εἶναι σῶμα αὐτῶν τε καὶ τοῦ πεζοῦ λόγου, ἀλλ' ἐκ διαστάσεως λέγοιντο, ὥσπερ οἱ νόμοι καὶ τὰ ψηφίσματα ἐν τοῖς λόγοις ὅτε ἀναγινώσκοιντο, οὐ ποιοῦσιν ἀκριβῆ τὴν γλυκύτητα, ἀλλ' ἄλλο τι· οἷον, παρανάγνωθι δή μοι σὺ τὰς ῥήσεις ἃς ἐλυμήνω· καί, ἥκω νεκρῶν κευθμῶνα καὶ σκότου πύλας· καί, κακὴ ἀγγέλλειν μὲν ἴσθι μὴ θέλοντά με· καὶ πάλιν τὰ ἐξ Ἀντιγόνης Σοφοκλέους ἐν τῷ περὶ τῆς παραπρεσβείας εἰρημένα· οἷον, ἀμήχανον δὲ παντὸς ἀνδρὸς ἐκμαθεῖν, καὶ τὰ ἑξῆς. τάχα μὲν γὰρ φαίη τις ἂν καὶ ταῦτα ἔχειν, εἰ καὶ βραχύ, ἀλλ' οὖν ἔχειν γέ τι καὶ γλυκύτητος· δῆλον γε μήν, ὅπερ ἔφην, ὅτι ἤτοι πάντα τὰ τῆς ἡδονῆς διαφθείρεται τῷ λόγῳ, εἰ ἐκ διαστάσεως παραπλέκοιτο αὐτῷ τὰ ποιήματα, ἢ οὐκ ἀκριβῆ γε αὐτὴν ἴσχει, ἀλλ' ἐπανιτέον πάλιν ἐπὶ τὸν περὶ λέξεως γλυκείας λόγον. γλυκεῖα γὰρ λέξις καὶ ἡ διὰ τῶν ἐπιθέτων ὀνομάτων· οἷον, ἄγετε δὴ ὦ μοῦσαι λίγειαι· καὶ κατ' αὐτὴν δὲ τὴν ποίησιν, φύσει οὖσαν γλυκεῖαν παρὰ τὸν ἄλλον λόγον, ἐκφαίνεται τὰ ἐπίθετα καὶ γλυκύτερά πως ὄντα καὶ πλείονα ποιοῦντα τὴν ἡδονήν. ταῦτά τοι καὶ ὁ Στησίχορος σφόδρα ἡδὺς εἶναι δοκεῖ, διὰ τὸ πολλοῖς χρῆσθαι τοῖς ἐπιθέτοις. καὶ ἡ δριμεῖα δὲ λέξις, τῶν γλυκύτητα ποιουσῶν ἐστίν, περὶ ἧς αὐτίκα εἰρήσεται, σχήματα δὲ γλυκύτητος, ἅπερ καὶ ἀφελείας ἐλέγομεν εἶναι, καὶ ἔτι καθαρότητος· πρὸς δὲ τούτοις καὶ τὰ τοῦ κάλλους, καὶ τοῦ λόγου τοῦ κεκαλλωπισμένου· συνθήκη δὲ ἡδεῖα ἥπερ καὶ καλὴ δηλονότι, ἡ σφόδρα ἐγγὺς ἄγουσα τὸν λόγον τοῦ καὶ ἔμμετρον εἶναι. δεῖ δὲ κατὰ τὴν συνθή-

κην

κὴν προσβάλλειν τινὰ ἡδονὴν τῇ αἰσθήσει, τὴν γλυκύτητα. πόδες
μέντοι πλεονάζειν ἐν αὐτῇ ὀφείλουσιν, οἱ τῆς σεμνότητος οἰ-
κεῖοι· καὶ αἱ ἀναπαύσεις δὲ ὡσαύτως ἐν ἡδονὴν ἔχοντι λόγῳ, σε-
μναὶ ἔστωσαν καὶ βεβηκυῖαι. βεβηκέναι γὰρ δεῖ τὸν ῥυθμὸν ἐν-
ταῦθα, ὥσπερ ἐλέγομεν, καὶ ἐν ἀφελείᾳ.

## ΠΕΡΙ ΔΡΙΜΥΤΗΤΟΣ καὶ τοῦ ὀξέως λέγειν, ὡραίου τε καὶ ἁβροῦ, καὶ ἡδονὴν ἔχοντος λόγου.

Ἑφεξῆς ἐρεῖν καὶ περὶ δριμύτητος καὶ ὀξύτητος, ὡς προσηκού-
σης τῷ ἀφελεῖ τε καὶ ἡδονὴν ἔχοντι λόγῳ· ἧς ὁποῖαι μὲν
εἰσὶν αἱ ἔννοιαι, καὶ ὀλίγῳ πρότερον εἰρήκαμεν ἐν τῷ περὶ ἀφελείας,
ὅτι εἰσὶν αἱ ἐκ συμβολῆς, βαθεῖαι. ἴσως οὖν τοῦτο οὐδὲ ἔννοια,
μέθοδος δέ τις ἐστὶ τὸ μὴ περινενοημένως λέγειν, ἁπλῶς δὲ καὶ
ἀνειμένως τὰ περινενοημένα. διὸ καὶ ἴδιον τοῦτο ἀφελείας λέγω
τὸ τῆς τοιαύτης μεθόδου. καὶ πολλά γε ἔφην, τούτου τὰ παρα-
δείγματα εἶναι παρὰ τῷ Ξενοφῶντι, ἀναγκαίως, διὰ τὸ ἀφελὲς
τῆς συγγραφῆς. ἕτερον δὲ παρὰ ταύτην, δριμύτητα εἴτε καὶ ὀξύτη-
τα, δριμύτητός ἐστιν εἶδος, περὶ οὗ δυσχερὲς ἀποφήνασθαι ὅτι περὶ
λέξιν ἢ περὶ ἔννοιαν γίνεται. οὔτε γὰρ ὡς ἔστιν ἔννοια, οὔθ᾽ ὡς οὐκ ἔστιν,
ἀσφαλὲς εἰπεῖν· κατὰ λέξιν μὲν γὰρ θεωρεῖται, ἡ δὲ λέξις αὐτὴ καθ᾽ ἑαυ-
τὴν, ἡ ποιοῦσα τὴν δριμύτητα, οὐδὲν ἔχει δριμύτητος, εἰ τῆς ἐννοίας
αὐτὴν χωρίσειέ τις, περὶ ἣν γίνεται, ἢ τῶν πρὸ αὐτῆς ῥηθέντων. ἐν δὲ ταῖς
ἄλλαις ἰδέαις τοῦτο οὐκ ἔστιν, ἀλλὰ καὶ ἡ καθαρὰ λέξις, καθαρὰ δήπου-
θέν ἐστιν, εἰ καὶ σεμνήν τις ἔννοιαν δι᾽ αὐτῆς ἐξαγγέλλοι, καὶ εἰ μηδὲν
πρὸ αὐτῆς εἴη λελεγμένον· καὶ ἡ σεμνὴ λέξις, σεμνὴ, καὶ εἰ μὴ
σεμνήν τις ἔννοιαν δι᾽ αὐτῆς φράζοι, καὶ εἰ μηδὲν προειρήκοι,

καὶ αἱ τῶν ἄλλων ἰδεῶν ὡσαύτως· ἡ δὲ τῆς δριμύτητος λέξις οὐ τοιαύτη, ἀλλ' αὐτὴ μὲν καθ' ἑαυτὴν οὐδὲν ἔχει τοιοῦτον, ἔννοιαν δέ τινα σημαίνουσα, ἧς οὐκ ἔστι κυρία, ἢ τισὶν ἄλλοις ἐφεπομένη, κατά τινα οἱονεὶ χαριεντισμὸν γίνεται δριμεῖα, καὶ περὶ τῆς δριμύτητος. σαφέστερον δ' ἔσται τοῦτο διὰ τῶν παραδειγμάτων. κυρίως μὲν οὖν ἔννοιαν σημαίνει λέξις, οὐ κυρίως ἐκείνης οὖσα ἡ τοιαύτη· οἷον, ὁ Ξενοφῶν λέγων τὰς αἰτίας δι' ἃς πρὸ τοῦ δέοντος ἀναχωροῦσιν αἱ κύνες ἐκ τῶν διωγμῶν, φησὶν ὅτι αἱ μὲν διὰ μαλακίαν, αἱ δὲ διὰ ἀνιδρίαν, αἱ δὲ διὰ τὸ καὶ τό, αἱ δὲ διὰ φιλανθρωπίαν ἀναχωροῦσί φησι. τὴν γὰρ πρὸς τοὺς ἀνθρώπους συνήθειαν, καὶ τὸ συνεῖναι ἀνθρώποις ἀσπάζεσθαι, φιλανθρωπίαν ὠνόμασεν· οὐ κυρίως μὲν ὑπὲρ τούτου τοῦ πράγματος οὔσης τῆς λέξεως. ἐπ' ἄλλου γὰρ τάττειν εἰώθαμεν τὴν φιλανθρωπίαν κυρίως μέντοι πως σημαίνων τὸ πρᾶγμα. καὶ τάχα τούτου μᾶλλον ἂν εἴη κυριωτέρα ἡ λέξις, ἢ, ὑπὲρ τοῦ ἐλεεῖν καὶ οἰκτείρειν ἀπετίθετο, ἐφ' ὅπερ καὶ φύσει τάττομεν τὸ τῆς φιλανθρωπίας ὄνομα. καὶ ὁ Σοφοκλῆς δὲ φίλανδρόν που τὴν Ἀταλάντην εἶπε, διὰ τὸ ἀσπάζεσθαι σὺν ἀνδράσιν εἶναι, ἡμῶν πάλιν ἐπ' ἄλλου πράγματος ταττόντων τοὔνομα τοῦτο, ὥσπερ καὶ τὸ τῆς φιλανθρωπίας, καὶ τὸ παρὰ τῷ Εὐριπίδῃ δὲ τοιοῦτόν ἐστι, μὴ τὴν τεκοῦσαν τῇ φιλανδρίᾳ γύναι ὑπερβάλλῃς, φησί· σχεδὸν γὰρ τοὐναντίον νῦν ἡ λέξις αὕτη σημαίνει ἢ τῆς φιλανδρίας, ἢ ἧπερ ἡμεῖς εἰώθαμεν χρῆσθαι. τὴν γὰρ ἀκολασίαν βούλεται νῦν δήπου σημαίνειν καὶ τὸ μοιχεύεσθαι. καὶ λόγον μέντοι τινὰ εὔνουν λέγουσι τὸν εὐνόητον καὶ σαφῆ. καὶ ὁ Εὐφορίων, ἀτρέα δῆμον Ἀθηνῶν, ἀντὶ τοῦ ἄτρεστον καὶ ἄφοβον. ὅλως τε πολὺς ὁ κίνδυνος ἐν ταῖς τοιαύταις δριμύτησιν, ἐκπεσεῖν εἰς ψυχρότη-

τα,

τα. ἐπεὶ καὶ οἱ τὰ σπουδαῖα, γελοῖα ταυτὶ συντιθέντες, τοῦ γελοίου γε ἕνεκα, οὐδὲν ἀλλ' ἢ ταῖς τοιαύταις χρώμενοι δριμύτησι, εὐδοκιμοῦσι. εὐλαβεῖσθαι οὖν χρή. καὶ πρῶτον μὲν τοῦτο εἶδος δριμύτητος, παράδειγμα δὲ αὐτοῦ παρὰ τῷ ῥήτορι οὐκ ἔστιν· ἕτερα δὲ αὐτῆς εἴδη τρία, οἷς ὁ ῥήτωρ κέχρηται. ἃ δὴ πάντα κατ' ἀκολουθίαν τινῶν προειρηθέντων, ἀπό τινων λέξεων γίνεται. διαφέρει δέ πως ἀλλήλων. τὸ μὲν γὰρ καθ' ὁμοιότητα λέξεως ἐμφαίνει τινὰ δριμύτητα· οἷον, μέλλει πολιορκεῖν, τοὺς ἕλληνας ἐκδίδωσι. μέλει γάρ τινι τῶν τὴν ἀσίαν οἰκούντων ἑλλήνων; τοῦτο ἐγὼ μὲν σφόδρα εὐλαβῶς εἶχον θεῖναι ὡς παράδειγμα τινὸς δριμύτητος· ἐπεὶ δὲ τῶν σφόδρα εὐδοκιμησάντων τινὲς καὶ τοὺς πρὸ ἡμῶν ἀνθρώπους, καὶ νῦν δὲ εὐδοκιμούντων ἐπὶ θεωρίᾳ λόγων, ἐν οἷς ἀπολελοίπασι βιβλίοις, οὕτως τεθεωρήκασι καὶ τοῦτο, καὶ τεθείκασί γε ὡς παράδειγμα δριμύτητος τοιαύτης, εἰρήσθω καὶ ἡμῖν· καίτοι τάχα ἴσως οὐδὲ ἡ τοιαύτη δριμύτης, εἴπερ οὕτω γίνοιτο, ἐκφεύγοι τὴν ψυχρότητα· ἀλλ' οὖν εἰρήσθω. καὶ τοῦτο μὲν οὖν οὕτω καθ' ὁμοιότητα λέξεως γίνεται, ὡς προείρηται, ἕτερον δὲ εἶδος δριμύτητος τὸ ἐκ παρονομασίας, οὐκ ἐξ ὁμοιότητος, ὅταν κυρίῳ τινὶ ὀνόματι, ἢ ῥήματι χρησάμενοι, εἶτ' εὐθὺς ἑπόμενοι, τούτῳ χρησόμεθα, καὶ ἐφ' οὗ μὴ κύριόν ἐστι πράγματος· οἷον, εἰ μὴ καὶ τοὺς τὰ μηχανήματα ἐφιστάντας εἰρήνην ἄγειν φήσετε, ἕως ἂν αὐτὰ τοῖς τείχεσιν ἤδη προσαγάγωσιν· εἶτ' εἰπὼν, δι' ὧν ἡγεῖται Φίλιππος πολεμεῖν τῇ πόλει, καὶ, ὅτι πάνθ' ὅσα νῦν πράττει καὶ κατασκευάζεται, ἐπ' αὐτοὺς κατασκευάζεται, ἐπάγει δριμέως· εἶτα τὸν τοῦτο τὸ μηχάνημα ἐπὶ τὴν πόλιν ἱστάντα, εἰρήνην ἄγειν ἐγὼ φῶ πρὸς ὑμᾶς; πολλοῦ γε καὶ δεῖ· καὶ πάλιν, ἐγὼ δὲ οὐ τοῦτο δέδοικα.

εἰ Φίλιππος ζῇ ἢ τέθνηκεν, ἀλλ' εἰ τῆς πόλεως τέθνηκε τὸ τοὺς ἀδικοῦντας μισεῖν καὶ τιμωρεῖσθαι. τοῦτο δὲ καὶ ἐναργῆ ποιεῖ τὸν λόγον, οὐ μόνον δριμύν. τροπῆς γάρ ἐστιν ἐγγὺς, οὐ μὴν τροπή γε ἐστὶν ἄντικρυς διὰ τὸ παρονομάσθαι. ἐπεὶ καὶ καθ' ἑαυτὸ εἰ λέγοι τις, τὸ, τέθνηκε τῆς πόλεως τὸ, τοὺς ἀδικοῦντας μισεῖν, πάνυ ποιήσει σκληρὸν ἐπὶ τὴν ὑπερβολὴν τὸν λόγον· ἐκ παρονομασίας δὲ εἰσαχθὲν, ἅμα τῇ ἐναργείᾳ καὶ τὴν δριμύτητα ἔχει. λοιπὸν εἶδος δριμύτητος τρίτον ἐστὶν, ᾧ καὶ αὐτῷ ὁ ῥήτωρ κέχρηται. γίνεται δὲ, ὅταν τροπῇ τινὶ χρησάμενοι, μὴ σφόδρα αὐστηρᾷ μηδὲ σκληρᾷ, κατ' ἀκολουθίαν ἐκείνης ἑτέραν ἐπενέγκωμεν τροπὴν, σκληροτέραν μὲν, οὐ μὴν δοκοῦσάν γε εἶναι τοιαύτην, διὰ τὸ ἀκόλουθον τοῦ προειρημένου· οἷον, ἀλλὰ τὰ τοιαῦτα εἰς μὲν ἅπαξ καὶ βραχὺν χρόνον, ἀντέχει, καὶ σφόδρα γε ἤνθησεν ἐπὶ ταῖς ἐλπίσιν ἂν τύχῃ· τῷ χρόνῳ δὲ φωρᾶται, καὶ περὶ αὑτὰ καταρρεῖ· τὸ γὰρ ἤνθησε, τροπικὸν μὲν, οὐ μὴν αὐστηρὸν, οὐδὲ σκληρόν· τὸ δὲ καταρρεῖ, σκληρὸν ἰσχυρῶς, οὐ μὴν τοιοῦτον ἐφάνη, διὰ τὸ ἐξ ἀκολουθίας εἰρῆσθαι. ἐπὶ γὰρ τῶν ἀνθέων τῶν μαραινομένων τὸ καταρρεῖν σχεδὸν κυρίως λέγεται· ἤδη δὲ αὐτοῦ τὴν ἄγαν σκληρότητα καὶ τὸ παρακείμενον αὐτῷ ἀφεῖλε· λέγω τὸ, τῷ χρόνῳ δὲ φωρᾶται. ὅμοιον τούτῳ καὶ τὸ Εὐριπίδου ἐν Πολυΐδῳ, εἰ μὲν γὰρ ἐκ γῆς εἰς θάλασσαν ἵπτατο ὁ κυματ' οἰκῶν ὄρνις, ἡρμήνευσεν ἂν τὸν παῖδα ἐν ὑγροῖς κύμασι τεθνηκέναι. τὸ γὰρ οἰκῶν παράκειται τὸ ἡρμήνευσεν ἄν· καθ' αὑτὸ δὲ ἂν ἦν σκληρόν πως. τοσαῦτα καὶ περὶ τῆς δριμύτητός τε καὶ ὀξύτητος, ὡς προσηκουσῶν τῇ τε ἀφελείᾳ, καὶ τῇ γλυκύτητι· ὁ δὲ περὶ ἡδονῆς καὶ γλυκύτητος ἡμῖν ῥηθεὶς λόγος ἅπας, ὁ αὐτὸς ἂν εἴη δήπου τῷ περὶ ἁβρότητος, καὶ περὶ τοῦ ὡραίου λεγομένου, λόγου,

καὶ

καὶ εἴ τι τοιουτότροπον. ταῦτα γὰρ οἶμαι πάντα καὶ τὰ τοιαῦτα, ὀνόματι διαλλάττει μόνῳ, ἔστι δὲ τὰ αὐτά. ὅταν γὰρ ἤτοι ἐρωτικὸν ἢ συνώνυμα λέγωμεν, ἢ καὶ τῶν ἄλλων ἢ τῶν ἰδίων γλυκύτητος, μεθοδεύωμέν τε οὕτως καὶ ἑρμηνεύωμεν δι' ἐπιθέτων καὶ ποιητικῶν ὀνομάτων, περισῶμέν τε τοῖς σχήμασιν ἢ τοῖς κώλοις, ἢ καὶ ἄλλῳ τινὶ, κάλλους ἰδίῳ σχήματι ἐξαγγέλλωμεν, συντιθῶμέν τε οὕτως· καὶ τοὺς μὲν ῥυθμοὺς ποιῶμεν σεμνοὺς ἅμα καὶ καλοὺς, τὰς δὲ ἀναπαύσεις, σεμνὰς ὁμοῦ καὶ ἀφελεῖς, ὡραῖος καὶ ἁβρὸς κατ' ἀνάγκην ἡμῖν ὁ λόγος γίνεται. ὥστε οὐκ οἶδα, εἴ τι διαλλάττοι ἡδονὴ καὶ ὥρα ἡ ἐν λόγῳ, ἁβρότητος, ἢ γλυκύτητος, ἤ τινος ἄλλου τοιούτου τρόπου. ἀλλὰ περὶ μὲν ἀφελείας καὶ γλυκύτητος τοσαῦτα, ἑξῆς δὲ λέγειν εἴη περὶ ἐπιεικείας.

## ΠΕΡΙ ΕΠΙΕΙΚΕΙΑΣ.

Ἐπιεικὴς καὶ ἠθικὸς λόγος γίνεται κατ' ἔννοιαν μὲν, ἤτοι ὅταν ἑκόντα τις αὑτὸν μειονεκτοῦντα δεικνύῃ· ὡς ἐν τῷ κατὰ κόνωνος, ὅτι παρὸν αὐτῷ καὶ λωποδυσίου καὶ ὕβρεως δίκας λαβεῖν, ὅμως αἰκίας δικάζεται· ἢ ὅταν εἰς ἴσον ἑαυτόν τις ἄγῃ τοῖς πολλοῖς, καί περ οὐκ ὢν τῶν πολλῶν εἷς. σχεδὸν δὲ καὶ τοῦτο ταυτόν ἐστι τῷ προειρημένῳ. καθόλου γὰρ ἡ ἐπιείκεια παρατεθραυσμένον ἔχει τὸ δίκαιον, διὰ φιλανθρωπίαν, ὡς ἔφη πλάτων· καὶ τὸ μὴ ὄντα οὖν τῶν πολλῶν ἕνα, ἑαυτὸν ἐν τοῖς πολλοῖς ἀριθμεῖν, οὐδὲν ἄλλ' ἢ ἑκόντα μειονεκτεῖν ἐστίν. ὅμως δὲ κείσθω καὶ κατ' εἶδος ἕκαστον. Δεύτερον οὖν εἶδος τῆς ἐπιεικείας, τὸ τοῖς πολλοῖς ἑαυτὸν συναριθμεῖν. πολὺ τὸ τοιοῦτον ἐν. τῷ κατὰ μειδίου, καὶ πρῶτόν γε τό, ἐγὼ δὲ ὅπερ ἂν καὶ ὑμῶν ἕκαστος

ἕκαστος ὑβρισθεὶς προείλετο πρᾶξαι, τοῦτο καὶ αὐτὸς ἐποίησα. εἰ δὲ καὶ δεινῶς ἐνταῦθα, ἑτέρου λόγου. τοῦτο γὰρ φύσει δεινότητος ἴδιον, τὸ εἰς δέον εἰδέναι χρῆσθαι τοῖς τε ἄλλοις καὶ τοῖς εἴδεσι τοῦ λόγου, ὥσπερ ἐνταῦθα εἰς δέον κέχρηται τῇ ἐπιεικείᾳ καὶ τῷ ἤθει. ἐπεὶ καὶ τὸ διδόναι τι πλέον τῶν ἐχθρῶν ἑκόντα, ἐπιεικές. ἀλλ᾽ ὅρα μεθ᾽ ὅσης δεινότητος ὁ ῥήτωρ τοῦτο ποιεῖ. τῷ γοῦν χαριδήμῳ δίδωσι τό, ὡς πολίτῃ ἐξετάζεται, ἵνα μᾶλλον οὕτω παράνομον ἐξελέγξῃ τὸ ψήφισμα. τὰ γὰρ κατὰ τοὺς νόμους τοῖς πολίταις διώρισαι. καὶ σκόπει πῶς ἐπισημαίνεται τὸ περὶ ἐπιεικείας ἐν τῷ, καὶ θεάσασθε ὦ ἀθηναῖοι ὡς ἐπιεικῶς καὶ ἁπλῶς χρήσομαι τῷ λόγῳ, ὅς εἰς μὲν ταύτην τίθεμαι τὴν τάξιν αὐτόν, ἐν ᾗ πλείστης ἂν τυγχάνοι τιμῆς, καὶ τὰ ἑξῆς. ἔτι ἐπιεικοῦς λόγου καὶ τὸ λέγειν ὡς παρὰ γνώμην δικάζεται, καὶ ὡς ἀναγκάσαντος τοῦ ἐχθροῦ εἰς δικαστήριον ἥκει, δέον ὑπὸ τῶν φίλων καὶ τῶν ἐπιτηδείων διακεκρίσθαι· οἷον, εἰ μὲν ἐβούλετο ἄφοβος τὰ δίκαια ποιεῖν, καὶ τὰ ἑξῆς, ἐπιεικείας συστατικά· καὶ τό, οὐδένα πώποτε τῶν πολιτῶν οὔτε γραφὴν γραψάμενος, οὔτ᾽ ἐν εὐθύναις λυπήσας, καὶ τὰ ἑξῆς· καὶ τό, ἐπειδὴ γὰρ οὐχὶ τῶν πολιτευομένων οὐδὲ τῶν ἐνοχλούντων ὑμᾶς ὤν, πρᾶγμα τηλικοῦτον φημὶ δείξειν πεπραγμένον, καὶ τὰ ἑξῆς· καὶ τὸ φάσκειν δὲ ἀπείρως ἔχοντα λόγων, εἰς δικαστήριον εἰσιέναι δύναται μέν τι καὶ ἄλλο ἐμφαίνειν, καὶ μὴ καὶ τὸ ἐπιεικές, ἢ ὅλως τό γε ἠθικόν, τὸ ἠναγκάσθαι λέγειν. τὸ γὰρ μὴ βουλόμενον ἥκειν ἅμα συνεμφαίνεται· καθόλου τε, ὅπερ ἔφην ἀρχόμενος τοῦ περὶ ἐπιεικείας λόγου, πάντα ὅσα ἐστὶ προσώπου συστατικά, ὡς ἑκόντος μειονεκτοῦντος, ἠθικὸν ποιεῖ τὸν λόγον καὶ ἐπιεικῆ κατὰ τὴν ἔννοιαν. τούτοις δὲ ἅπασι τοῖς προειρημένοις, καὶ

ὅτι φεύγοι τις, δύναται χρῆσθαι ἀναστρέψας· οἷον ὡς, παρὸν αὐτῷ διώκειν, οὐδὲ φεύγει· ἢ ὅτι διὰ τοῦτο καταφρονηθείη, ὅτι χρηστὸς εἴη ἢ τῶν πολλῶν εἷς· καὶ ὡς οὐδένα μέντοι πώποτε ἐδίωξεν αὐτός, καὶ ὡς ἄκων ἥκοι· καὶ ὅλως, ὅπερ ἔφην, ἅπασι τοῖς προειρημένοις, καὶ εἰ φεύγοι τις, χρῆσθαι δύναται. πολλὰ τῶν τοιούτων ἐν ἰδιωτικοῖς τὰ παραδείγματα, καὶ πλείονά γε παρὰ τῷ Λυσίᾳ καὶ τῷ Ὑπερίδῃ. φύσει γὰρ οἱ ἄνδρες ἠθικώτεροι· ταῖς δὲ μεθόδοις καὶ μᾶλλον. μέθοδος δὲ ἐπιεικείας, πρῶτον μὲν ἡ σφόδρα ἐοικυῖα ταῖς ἐννοίαις ταῖς ἐπιεικέσι· τὸ ἑκόντα ἐλαττοῦν τὰ ἑαυτοῦ χρηστά, ἢ ὅσα ἔχει κατὰ τοῦ ἐχθροῦ σφοδρά, ταῦτα ἑκόντα μειοῦν, καὶ μὴ λέγειν σφοδρῶς. καὶ τὰ μὲν ἑαυτοῦ ἐλαττοῖ ὁ Δημοσθένης κατὰ μέθοδον οὕτως· εἰ, παρὸν αὐτῷ λέγειν ἀξιωματικῶς· οἷον, μετὰ ταῦτα δὲ τοὺς ἀποστόλους ἀπέστειλα ἅπαντας, καθ' οὓς Χερρόνησος ἐσώθη καὶ τὸ Βυζάντιον, καὶ πάντες οἱ σύμμαχοι· ὁ δὲ εἶπεν ὡς ἑτέρως· οἷον, τῶν μέντοι διακονίας τῶν ἐφ' ἑκάστῳ τῶν πεπραγμένων, καὶ ἐμαυτῷ μετεῖναι φημί. ὁρᾷς ὡς ἐν ἀμφοτέροις μὲν ταυτόν ἐστι πρᾶγμα δηλούμενον, ὅτι ἐγὼ συμβεβούλευκα, καὶ ἐγὼ ἔγραψα· ὅσον δὲ τοῦτο ἐκείνου ἐπιεικέστερον εἴρηται, καὶ ταπεινότερον. ἀλλ' οὐδέτερον μὲν εἰς δέον ἑκατέρῳ χρῆται, οὐ κατ' ἐπιείκειαν, ἀλλὰ δεινότητα. ἐκεῖνο μὲν ἐλαττώσας, τουτὶ δὲ αὐξήσας. βουλόμενος μέντοι τις ἐπιεικῆ ποιεῖν τὸν λόγον καὶ ἠθικόν, οὕτως ἂν οἶμαι μεθοδεύσειε. σπάνια δὲ τῆς τοιᾶσδε μεθόδου τὰ παραδείγματα· οὔκουν ἔγωγε ἠδυνήθην ἐκ τοῦ παραχρῆμα λαβεῖν τι παρὰ τοῦ ῥήτορος ἢ ἄλλου του, τοιαύτης μεθόδου παράδειγμα. αἱ γὰρ εἰρωνεῖαι, οὐκ εἰσὶν ἐπιείκειαι, ἀλλ' ἠθικὸς μὲν ὁ λόγος, βαρὺς δέ, καὶ οὐκ ἐπιεικής· οἷον, μανία γὰρ ἴσως ἐστίν,

τὸ ὑπὲρ δύναμιν τι περὶ ἐμέ. καὶ πάλιν, ἔβαλλει ἐμαυτὸν μετὰ, ὃν ἂν σὺ λοιδορούμενος καὶ διασύρων καλέσαις Βάταλον· καὶ πολλά ἐστι τοιαῦτα. ταῦτα δὲ καὶ τὰ τοιαῦτα, βαρέα μὲν, καὶ διὰ τὸ τὸ ἠθικὰ, οὐ μὴν πολιτικά γε, οὐδὲ ὡς πολιτικὸς τὸ ἦθος ἔχει. σπάνια οὖν, ὥσπερ ἔφην, τῆς τοιαύτης μεθόδου τὰ παραδείγματα, καὶ παραχέασθαι μέν τοι τοιοῦτον ἐγώ σοι νῦν, ὥσπερ ἔφην, οὐ δεδύνημαι· ἐπεὶ πόνου ἄλλου ἠπείγεν ὡς ἀληθῶς, ἐνδείξασθαι μέν τοι σαφῶς τὴν φύσιν αὐτοῦ δεδυνῆσθαι νομίζω. ὥστε τάχα οὐ χαλεπῶς καὶ παραδείγματα ἴδια τοῦ εἴδους εὕροι τις ἂν ζητῶν, εἰ φροντίσειεν· εἴη δὲ ἂν οὐκ ὀλίγα παρὰ τῷ Πλάτωνι, ἔνθα ἂν ὁ Σωκράτης ἔχῃ τι λέγειν περὶ αὐτοῦ. καὶ οἶμαί γε εἶναί τι τοιοῦτον ἐν τῷ Χαρμίδῃ καὶ ἐν τῷ Συμποσίῳ μετὰ τοὺς Ἀλκιβιάδου λόγους, καὶ πολλαχοῦ μέν τοι· ἀλλὰ τὰ μὲν καθ᾽ ἑαυτὸν, οὕτως ἄν τις ἐλάττω ποιοίη τῷ πολιτικῷ κατὰ μέθοδον λόγῳ· τῶν δὲ δεόντων ἐκθλῶσαι κατὰ τοῦ ἐχθροῦ σφοδρῶς ἐλάττωσις ἐκ μεθόδου, κατὰ δύο γίνεται τρόπους. ἢ γὰρ ἐνδείκνυται ὁ ποιῶν τοῦτο, ὅτι ἑκὼν ἐπιεικέστερον λέγει, ἢ ἄνευ ἐνδείξεως αὐτὸ ποιεῖ. καὶ ὅτε μὲν ἐνδείκνυται, ἔχει τι τῆς σφοδρότητος, εἰ καὶ βραχὺ, ἀλλ᾽ οὖν ἔχει γε ὁ λόγος· οἷον, καί μοι μηδὲν ὀργισθῇς, οὐδὲν γὰρ ἐρῶ σε φλαῦρον· καὶ πάλιν τόδε, τοῦ τεθέντος νόμον τὰ μὲν ἄλλα ἔγωγε οὐκ οἶδα, οὐδὲ λέγω φλαῦρον οὐδὲν, οὐδὲ συνοῖδα· ἐκ δὲ τοῦ νόμου σκοπῶν εὑρίσκω τοῦτο πολὺ κεχωρισμένον, καὶ τὰ ἑξῆς· ὅτε δὲ μηδὲν ἐνδείκνυται, παντάπασιν πολιτικὸς κατά γε τοῦτο ὁ λόγος δείκνυται· οἷον, τίνος οὖν ἕνεκα εἰ τὰ μάλιστα μή τινες, ἀλλὰ πάντες ἦσαν ἀνάξιοι, τὸν αὐτῶν ἠξίωσεν ἡμᾶς τε κἀκείνους· ὁρᾷς πῶς ἔχων, εἴπερ ἐβούλετο, εἰπεῖν σφοδρῶς· οἷον, τίνος ἕνεκα, εἰ τὰ μάλιστα μή τινες, ἀλλὰ πάντες ἦσαν ἀνάξιοι, τῆς

αὐτῶν

αὐτὴν ἀτιμίαν ὑμῶν τε κἀκείνων κατέγνω. ὁμοίως γὰρ ἀμφοῖν ἀφαιρεῖται, τὴν μὲν ἀτέλειαν ἐκείνων, ὑμῶν δὲ τὴν ἐξουσίαν τοῦ διδόναι ὅτῳ ἂν βούλοισθε. ὁ δὲ περιττῶς σφόδρα καὶ ἠθικῶς ἔφη, τῶν αὐτῶν ἠξίωσεν ἡμᾶς τε κἀκείνους. τοιοῦτο δ' ἐστὶ καὶ τὸ, ἐν συμβουλευτικοῖς· δοκοῦσι δέ μοι λακεδαιμόνιοι δεινῶν ἔργον ἀνθρώπων ποιεῖν. τό τε γὰρ ἐνδοιάσαι καὶ μὴ ἀποφήνασθαι ὅτι δεινοὶ λακεδαιμόνιοι, ἀλλὰ δοκοῦσί μοι εἰπεῖν, τό τε μὴ καθάπαξ δοκεῖν αὐτοὺς εἶναι δεινοὺς εἰπεῖν αὐτὸν, ἀλλὰ δεινοῖς ἐοικότας ἁπλῶς, ἔργον δέ τι δεινῶν ἀνθρώπων διαπεπρᾶχθαι, σφόδρα ὑφιέντος ἦν τὸ περιφορικὸν καὶ σφοδρὸν, ἠθικὸν δὲ καὶ περιττὸν λόγον παρεχομένου. δῆλον δὲ ἐστὶ τοῦτο ἐκ τῶν κατὰ φιλίππου ῥηθέντων, ἐναντίως τῇ ἰδέᾳ ταύτῃ λεγόντος ἐκεῖ τοῦ ῥήτορος, οἷον, μὴ πανοῦργος ὢν καὶ δεινὸς ἄνθρωπος. πρῶτον μὲν γὰρ πανοῦργός φησιν ἀλλ' οὐχ ἁπλῶς δεινός· σφοδρότερον δὲ τὸ πανοῦργος ὄνομα τοῦ δεινὸς δήπουθεν· ἔπειτα οὐδὲ δοκεῖν αὐτῷ πανοῦργον τὸν φίλιππον εἶναι ἔφη, οὐδὲ ἐνεδοίασεν, ὥσπερ ἐκεῖ, ἀλλ' ἀπεφήνατο· ἔπειτα οὐκ ἐοικέναι πανούργοις ἢ δεινοῖς, ὥσπερ τοὺς λακεδαιμονίους, ἔλεγεν, ἀλλ' αὐτὸν εἶναι τὸν φίλιππον καὶ δεινὸν καὶ πανοῦργον. οὐκοῦν ταῦτα μὲν καὶ σφοδρὰ καὶ τραχέα, ἐκεῖνα δὲ, ἠθικὰ καὶ περιττὰ, καὶ σαφῶς ὑφιέντος τὴν σφοδρότητα τοῦ ῥήτορος. εὕροις δὲ ἂν οὐκ ὀλίγα παραδείγματα τῆς τοιαύτης μεθόδου· καθ' ἣν καὶ τὰ τῶν ὑποκειμένων προσώπων ῥηθέντα ἂν ἐλαττώσειέ τις· οὐ γὰρ τῆς ἑτέρας λέγω καθ' ἣν τὰ ἴδιά τις ἀγαθὰ μειώσειεν, ὡς ἔν τε συμβουλευτικοῖς, καὶ ἐν τῷ πρὸς λεπτίνην· καί περ γὰρ ὢν ἀγωνιστικὸς ὄντος ὁ λόγος, ὅμως πολὺ τὸ ἦθος ἐν τοῖς περὶ τὸ πρόσωπον ἔχει καὶ κατὰ τὴν μέθοδον, καὶ ἴσως καὶ τὰ λοιπά, ὥσπερ καὶ οἱ συμβουλευτικοί.

ἀλλ' ἐκεῖσε ἐπανιτέον. μέθοδος γὰρ ἐπιεικείας, πρώτη μὲν ἡ προειρημένη· μετὰ ταύτην ἡ ἐκ παραλείψεως. δοκεῖ γάρ πως ἐπιεικὲς εἶναι τὸ, ἑκόντα παραλείπειν ὅσα τις εἰπεῖν ἔχοι κατὰ τοῦ ἐχθροῦ, ἢ καὶ ὑπὲρ αὐτοῦ. καὶ πολύ γε τὸ ἀξιόπιστον διὰ τὴν ἐμφαινομένην ἐπιείκειαν αἱ παραλείψεις ἔχουσι· γίνονται δὲ, ὡς ἔφην, ἐπ' ἀμφοῖν, καὶ ἐν τοῖς καθ' ἡμῶν, καὶ ἐν τοῖς ὑπὲρ ἡμῶν· καὶ γίνονταί γε διχῶς, καθάπερ καὶ τὴν μείωσιν τὴν κατὰ τοῦ ἐχθροῦ ἐλέγομεν γίνεσθαι διχῶς. ἢ γὰρ ἄντικρυς παραλείπει, ἢ εἰπὼν, οὐδὲν προστίθησιν· ἐνδείκνυται δὲ μόνον, καὶ ὥσπερ τινὰ πρόσληψιν ἀορίστου ποιεῖται· οἷον, καὶ περὶ ὧν μὲν ἐστί τις ἀμφισβήτησις, ὡς ἄρα ὑπὲρ τῆς πόλεως εἴρηκεν, ἐάσω· καὶ πάλιν, παραλείπω τὰ πολλὰ διὰ τόδε (φησὶ) καὶ τόδε. ἤτοι οὖν οὕτως, ἢ τῇ μεθόδῳ χρῆται παραλειπτικῇ· τὰ πράγματα δὲ οὐδὲν ἧττον λέγει· οἷον, καὶ οὐδὲν ἂν εἴποιμι τούτων, οὔτε εἴ τινας ἐκ τῶν πολεμίων ἐλυσάμην, οὔτε εἴ τισι πενομένοις θυγατέρας συνεξέδωκα· καὶ πάλιν, καὶ Ὄλυνθον μὲν δὴ καὶ Μεθώνην καὶ Ἀπολλωνίαν, καὶ δύο καὶ τριάκοντα πόλεις τὰς ἐπὶ Θρᾴκης, ἐῶ, καὶ τὰ ἑξῆς· τούτων τοίνυν ἡ μὲν λέγουσα τὰ πράγματα παράλειψις· οἷον, Ὄλυνθον μὲν δὴ, καὶ τὰ ἑξῆς, ἀξιοπιστίαν μόνον μετὰ τοῦ ἤθους ποιεῖ· ἡ δὲ οὐδὲν ἔχουσα τοιοῦτον· οἷον, καὶ περὶ ὧν μὲν ἐστί τις ἀμφισβήτησις, ὡς ἄρα ὑπὲρ τῆς πόλεως εἴρηκεν, ἐάσω, μετὰ τῆς ἀξιοπιστίας καὶ τοῦ ἤθους, ἔτι καὶ περιβολὴν ποιεῖ διὰ τὴν τοῦ ἀορίστου πρόσληψιν. τὰ γὰρ τοιαῦτα, οὐδὲν ἀλλ' ἢ ἀορίστου, ἤ τινος τοιούτου προσλήψεις εἰσὶ, κατὰ παράλειψιν μεθοδευθεῖσαι. τρίτη δὲ ἐπιεικείας μέθοδος, ἡ τὸν καθαρὸν ποιοῦσα λόγον, διότι ἡ αὐτὴ καὶ τὸν ἀφελῆ. ὅτι γὰρ τὸν ἐπιεικῆ δόξαντα ἂν εἶναι λόγον, πολὺ τὸ ἀφελὲς ἐμφαινόμενον)

μένον ἔχειν δεῖ, καὶ ὁ κατὰ μικρὸν λόγων θεωρίας ἐπαΐων, συναισθοιτ' ἄν. καὶ μὴν καὶ ἡ λέξις τοῦ ἐπιεικοῦς λόγου, ἡ καθαρὰ καὶ ἀφελής, σχήματά τε καὶ κῶλα καὶ συνθήκη, κατὰ ταυτά· αἵ τε ἀναπαύσεις καὶ οἱ ῥυθμοί, ὡσαύτως· εἰ δή τι καὶ ταῦτα δύναται συλλαμβάνειν πρὸς ἐπιεικοῦς λόγου ἔμφασιν.

## ΠΕΡΙ ΑΛΗΘΙΝΟΥ ΛΟΓΟΥ.

Ο ἐνδιάθετος καὶ ἀληθής, καὶ οἷον ἔμψυχος λόγος, τὸ μὲν πλεῖστον ἔχει περὶ τὴν μέθοδον καὶ τὰ σχήματα, τήν τε λέξιν καὶ ὅσα τούτοις ἕπεται· γίνεται μὴν καὶ κατ' ἔννοιαν. αἱ γὰρ ἀφελεῖς πᾶσαι, πάντως εἶεν ἂν τοῦ ἐνδιαθέτου· ἤ, πῶς ἂν ἔτι τὸ ἦθος ἔχειν δύναιντ' ἂν ἀκριβῶς; τάχα δὲ ἂν καὶ αἱ ἐπιεικεῖς, τούτου τοῦ εἴδους εἶεν. ἴδιαί γε μήν εἰσιν ἔννοιαι παρὰ τὰς προειρημένας, τοῦ οἷον ἐμψύχου λόγου, αἱ σχετλιαστικαί· οἷον, αὐτὸς ὢν οἶμαι θαυμάσιος στρατιώτης, ὦ Ζεῦ. μετὰ γὰρ τὴν γενομένην κατὰ τὴν εἰρωνείαν βαρύτητα, ἐπήγαγε τό, ὦ Ζεῦ· ἑτέρα δέ τις αὕτη δήπουθεν παρὰ τὰς προειρημένας ἐστὶν ἔννοια, τό, ὦ Ζεῦ, σχετλιαστική. τοιοῦτόν ἐστι καὶ τό, ἀλλ' ἀνδροτίων ἡμῖν πομπείων ἐπισκευαστής, ἀνδροτίων ὦ γῆ καὶ θεοί. ἀλλ' ἴσως τοῦτο κατὰ τὴν μέθοδον, οὐ κατὰ τὴν ἔννοιαν· τὸ μέντοι, καὶ Χαρίδημον, εἰ χρὴ φθέγγεσθαι, βουλεύειν Χαρίδημον, οἴμοι, ἔχει τινὰ καὶ ἰδίαν σὺν τούτῳ, οἶμαι, ἔννοιαν· καὶ μυρία τούτου παρὰ Δημοσθένους λάβοις ἂν παραδείγματα. ἀλλ' ἔννοιαι μὲν αὗται λόγου, γνώριμοί τινες οἶμαι καὶ σαφεῖς ὀφθῆναι· εἰ δὲ καὶ μέθοδος εἴη τις, ὁ σχετλιασμὸς περὶ ἔννοιαν οὐ τοιαύτην, οἷον οὐ φύσει σχετλιαστικήν, ὡς τό, ἀλλ' ἀνδροτίων ἡμῖν πομπείων ἐπισκευαστής, ἀνδροτίων ὦ γῆ καὶ θεοί. σαφὴς

δήπου ἡ μέθοδος, καὶ οὐδὲν ἔχουσα δυσχερὲς πρὸς καταμάθησιν· αἱ μὲν τοι λοιπαὶ μέθοδοι τοῦ ἀληθινοῦ λόγου, σχεδὸν ἄρρητοί εἰσιν. εἴ τε γὰρ εὐχὰς ποιοίη τις, εἴ τε ἄλλο τι τοιοῦτον, οὐχ ἁπλῶς διὰ τῶν εὐχῶν, ἢ διὰ τῶν ὁμοίων ταύταις, ἐνδιάθετος ὁ λόγος γίνεται, ἀλλ' ἔστι ταῦτα μὲν ἁπλῶς κατὰ ἀφέλειαν ἠθικά, ἕτερα δὲ παρὰ ταῦτά ἐστιν οἶμαι τὰ τοιαῦτα οἷον ἔμψυχον εἶναι δοκεῖν τὸν λόγον· αὐτίκα τὸ, πρῶτον μὲν ὦ ἄνδρες ἀθηναῖοι τοῖς θεοῖς εὔχομαι πᾶσι καὶ πάσαις. εὐχὴ μὲν ἐστὶ δήπουθεν, ἀλλά τι παραπλήσιον ἔχει τοῦ, ἀλλὰ γὰρ ἐνταῦθα τῶν φόβων εἴημεν, ἐν σικελικοῖς ὑπὲρ ἀριστείδου εἰρημένων. λέγω δὲ οὐχ ὡς τοῦ τοῦ βελτίονος ὄντος, ὧν ὁ δημοσθένης εἶπε (μαινοίμην γὰρ ἂν εἰ τοῦτο λέγοιμι) ἀλλ' ὅτι τοῦτο ἐκείνου ἀληθέστερόν ἐστιν. οὐ γὰρ ἀπήτει τὸν δημοσθένην ὁ καιρὸς εὐθὺς κατ' ἀρχὰς ἀληθινόν πως, ἀλλ' ἄλλως ἠθικόν πως τὸν λόγον παρασχέσθαι. καὶ ἐδείκνυμεν τοῦτο, καὶ ἕτερα πλείονα ἑπόμενα τούτοις, ὅτε τὸν λόγον ἐθεωροῦμεν. εὕροις δ' ἂν οὐκ ὀλίγα τοιαῦτα, οὕτως ἀληθινῶς εἰρημένα καὶ παρὰ τοῖς ῥήτορσι, καὶ μὴν καὶ τὸ, καλῶ δὲ τοὺς θεοὺς πάντας καὶ πάσας, ὅσοι τὴν χώραν ἔχουσι τὴν ἀττικὴν, καὶ τὸν ἀπόλλω τὸν πύθιον, καὶ τὰ ἑξῆς, ὅρκος ἐστὶ δήπουθεν. ἀλλὰ σκόπει εἰ μὴ ὅμοιον τοῦτο ἐκείνῳ τῷ, ἐπεὶ εἰ μὴ διὰ τὸ τούτους βούλεσθαι σῶσαι, ἐξώλης ἀπολοίμην καὶ προώλης, εἰ προσλαβὼν ἀργύριον πάνυ πολὺ, μετὰ τούτων ἐπρέσβευσα. ἐνταῦθα μέν τοι καὶ ἡ ἐπιμονὴ τῆς ἀφελείας, πεποίηκε πλέον τὸ ἐνδιάθετον, τὸ, πάνυ πολύ. ἀλλ' ἐπὶ τὸ ἐξ ἀρχῆς ἐπανιτέον, ὅτι αἱ μέθοδοι τοῦ ἐνδιαθέτου λόγου σχεδὸν μὲν ἄρρητοί εἰσιν, ὅμως δὲ ἡμῖν τι τολμητέον εἰπεῖν καὶ περὶ τούτων, εἴπως αὐτὰς ἐνδείξασθαι δυνηθείημεν. λέγω τοίνυν, ὅτι σχεδὸν μία μέθοδός ἐστιν ἅπαντος

ἐνδια

ἐνδιαθέτου λόγου τὸ μὴ προλέγειν μήτε ὡς ὄμνυσί τις, ἀλλ᾽ ἁ-
πλῶς οἷον ἐμπίπτειν εἰς τὸν ὅρκον, μήτε ὡς εὔχεταί τις, ἀλλ᾽
ἁπλῶς παραπεσὸν εὔχεσθαι· οἷόν ἐστι καὶ τὸ, ὡς μηδὲ νῦν ὤφελον·
οἷον, ἡνίκα τὰς δίκας τοῖς ἐπιτρόποις ἐλάγχανον, μειράκιον
ὢν κομιδῇ, καὶ τοῦτον οὐδ᾽ εἰ γέγονεν εἰδὼς, οὐδὲ γινώσκων, ὡς
μηδὲ νῦν ὤφελον. καὶ μὴν καὶ τὸ θαυμάζειν τι πρᾶγμα, ἠθικὸν
ποιεῖ τὸν λόγον καὶ ἐνδιάθετον· ἀλλ᾽ ἐὰν μὲν προείπῃς ὅτι θαυ-
μάζεις, οὐκ ἔτι ὁμοίως τὸ ἐνδιάθετον τοῦ λόγου σώζεται, ἀλ-
λ᾽ ἁπλῶς μέν τοι ἠθικὸς καὶ οἷον ἀφελὴς οὕτως ὁ λόγος γέ-
νοιτ᾽ ἂν, καὶ κατὰ τοῦτο μόνον ἔχων τι τοῦ ἀληθοῦς, οὐ μὴν ἀκριβές
γε τοῦτο· ἂν δὲ ἀφελὼν μὲν τὸ λέγειν ὅτι θαυμάζεις, ψιλὰ δὲ καὶ
καθ᾽ ἑαυτὰ λέγῃς ἃ θαυμάζεις πράγματα, ἐνδεικνύμενος
τοῦτο αὐτὸ τὸ θαυμάζειν, πλεῖον ποιήσεις τὸ ἐνδιάθετον, καὶ ὡς
ἀληθῶς ἔμψυχον· οἷον, καὶ τοιαῦτα συνειδὼς βεβιωμένα ἑαυτῷ
ὁ ἀκάθαρτος οὑτοσὶ, τολμήσει βλέπειν εἰς ὑμᾶς, καὶ τὸν βεβιω-
μένον αὐτῷ βίον αὐτίκα δὴ μάλα ἐρεῖ μακρᾷ τῇ φωνῇ· ἐφ᾽ οἷς ἔ-
γωγε ἀποπνίγομαι; οὐκ ἴσασιν οὗτοί σε· καὶ τὰ ἑξῆς. τὸ γὰρ
ἐφ᾽ οἷς ἔγωγε ἀποπνίγομαι; οὐκ ἴσασιν οὗτοί σε, σφόδρα πολὺ
τὸ ἐνδιάθετον ἔχει, ὡς δὴ θαυμάζοντος τὸν λέγειν τολμῶν-
τα τὰ τοιαῦτα· καὶ πάλιν, βουλεύεσθε ὦ Ἀθηναῖοι Θηβαίους ἔ-
χοντες ἐν νήσῳ, τί χρὴ ποιεῖν; οὐκ ἀναστήσεσθε; καὶ τὰ ἑξῆς· ἁπλῶς
τε, ὅπερ ἔφην, κἂν τοῖς προειρημένοις, αὕτη μία μέθοδος λόγου τοῦ
μέλλοντος ὡς ἀληθῶς ἐμψύχου φανεῖσθαι, τὸ μὴ προλέγειν μὲν,
ὡς ἔχοι τι πάθος ἐν τῇ ψυχῇ, οἷον θαῦμα, ἢ λύπην, ἢ φόβον, ἢ
ὀργὴν, ἢ ἔλεον, ἢ πεποίθησιν, ἢ ἀπιστίαν, ἢ ἀγανάκτησιν, ἢ τι τῶν
τοιούτων· πεποιθότως γε μὴν προάγειν τὸν λόγον, ὡς ἂν ὁ καιρὸς ἀ-
παιτῇ, οἷον μετ᾽ ὀργῆς, ἢ θαυμασμοῦ, ἢ τινος τῶν προειρημένων.

μετ᾽

μετ' ὀργῆς μὲν, ὡς ἐν τῷ, ἔπειτα ὦ καθάρματε καὶ γραμματοκύφων· καὶ πάλιν, καὶ τὰ τοιαῦτα συνειδὼς ἑαυτῷ ὁ ἀκάθαρτος οὑτοσί, καὶ τὰ τοιαῦτα· ἐλέου δὲ, ὅταν λέγῃ, τοὺς ταλαιπώρους φωκέας· καὶ πάλιν, ἀλλ' ὁ μὲν ἄθλιος ἄνθρωπος ἠτίμωταί τε καὶ ὕβρισται. θαυμασμοῦ δὲ παράδειγμα· οἷον, ἐγώ σοι ξενίαν ἀλεξάνδρου; καὶ τὰ ἑξῆς· καὶ τὸ προειρημένον δὲ τοιοῦτόν ἐστιν· οἷον, βουλεύεσθε ὦ ἀθηναῖοι τί χρὴ ποιεῖν, θηβαίους ἔχοντες ἐν νήσῳ· τὸ δέ; σὺν φόβῳ λόγου προϊόντος, παρὰ μὲν τοῖς ῥήτορσιν οὐκ ἂν ἴσως εἴη παράδειγμα· αἱ μέντοι κωμῳδίαι καὶ αἱ τραγῳδίαι μυρία ἔχουσιν τοιαῦτα. ἀγανάκτησιν δὲ ἐμφαίνει τὰ τοιαῦτα, χαρίδημον οἴμοι· καὶ πάλιν, ἀνδροτίων ὦ γῆ καὶ θεοί. πεποιθότως δὲ ἐρεῖς, ὅταν λέγῃς, ἐγὼ συμπλέων ἐθελοντὴς, πάσχειν ὁτιοῦν ἕτοιμος, ἐὰν μὴ ταῦτα οὕτως ἔχῃ. τὸ δ' αὖ κατὰ πεποίθησιν ἐνδιαθέτου λόγου, τὸ καὶ ταῖς ἀπαντήσεσι ταῖς πρὸς τὰς ἀντιθέσεις, ἢ καὶ ἄλλως χωρὶς καταστάσεως ταχείαις χρῆσθαι· οἷον, πῇ δὴ προσορμιούμεθα; εἴρετό τις· εἶτα ἡ ἀπάντησις χωρὶς καταστάσεως, εὑρήσει τὰ σαθρὰ ὦ ἀθηναῖοι, καὶ τὰ ἑξῆς· καὶ πάλιν, κακοδαιμονοῦσι βυζάντιοι, σφόδρα γε, ἀλλ' ὅμως αὐτοὺς δεῖ σώους εἶναι, συμφέρει γὰρ τῇ πόλει. αὕτη μέντοι ἡ μέθοδος, καὶ γοργότητός ἐστιν ἰδία, περὶ δὲ συνδρομῆς, εἴτε συγχωρήσεως ὡς δεῖ λέγειν, κἂν τῷ περὶ γοργότητος ἔφθην ἐρεῖν ἀκριβέστερον, ὅτι περὶ μεθόδου δεινότητος λέγοιμι· ἐκείνης γὰρ ἴδια ταῦτα. ἐπανιτέον δὲ ἐφ' ὅπερ ἐλέγομεν. καθόλου γὰρ τὸ χωρὶς καταστάσεως εἰς ἀρχὴν ἀσυνδέτως ἀνάγειν τὸν λόγον, ἐνδιάθετον καὶ ἀληθινόν· οἷον, νὴ δία, ἔδει γὰρ τὸ καὶ τὸ γενέσθαι, καὶ τὸ μὴ γενέσθαι· εἶτα δὲ ἐπεμβολῆς οὐ καταστήσας, ἐπήγαγεν ἀσυνδέτως, καὶ σφόδρα ἐνδιαθέτως

θέτως· πολλὰ ἂν ἔχοιεν εἰπεῖν ὁλώσιοι νῦν, ἃ τότε εἰ προΐδοιν-το, οὐκ ἂν ἀπώλοντο, πολλὰ φωκεῖς, πολλὰ τῶν ἀπολωλότων ἕκασοι· καὶ τὸ ἐφεξῆς δὲ τοιοῦτόν ἐστιν· οἷον, ἀλλὰ τί τούτων ὄφελος; εἶτ' ἐπήγαγεν ὁμοίως ἐξ ἀσυνδέτου, μὴ καταστήσας, σφόδρα συνδιαθέτως, ἕως ἂν σώζηται τὸ σκάφος, τότε χρὴ καὶ ναύτην καὶ κυβερνήτην, καὶ πάντα ἄνδρα ἑξῆς, πρόθυμον εἶναι· ἐπειδὰν δ' ἡ θάλαττα ὑπέρσχῃ, μάταιος ἡ σπουδή. τοῦτο δ' ἂν οἰηθείη τις ἴσως σχῆμα καὶ οὐ μέθοδον εἶναι, ἔστι δὲ οὐ τοιοῦτον, ἀλλὰ καθαρῶς μέθοδος. οὐ γὰρ ἁπλῶς τὰ ἀσύνδετα λέγω ποιεῖν τὸν συνδιάθετον λόγον, ἀλλὰ τὰ χωρίς τε καταστάσεως καὶ τὰ ὡς ἀπαντήσεις· αἱ δὲ ἀπαντήσεις οὐ σχήματα, ἀλλὰ μέθοδοί τινές εἰσι δήπουθεν, ἢ πάντως γε ἔννοιαι. ἔστι δὲ παρὰ τὰς προειρημένας ἑτέρα τις μέθοδος συνδιαθέτου λόγου, καὶ μάλιστα τοῦ δοκοῦντος σὺν ὀργῇ προϊέναι, τὸ μηδὲ τὰς ἀκολουθίας σώζειν τῶν τοῦ λόγου σχημάτων, ἀλλ' οἷον διεστάσθαι δοκεῖν ὑπὸ τοῦ πάθους· οἷόν ἐστι καὶ τό, ἐπειδὴ τοίνυν ἡ μὲν εὐσεβὴς καὶ δικαία ψῆφος ἅπασι δέδεικται. δεῖ δέ με (ὡς ἔοικε) (καὶ περὶ οὗ φιλολοίδορον ὄντα) καὶ τὰ ἑξῆς πάντα, μέχρι τοῦ, οὐκ ἀπορῶν δ' ὅτι χρὴ περὶ σοῦ καὶ τῶν σῶν εἰπεῖν, ἀπορῶ, τοῦ πρώτου μνησθῶ. οὐδαμοῦ γὰρ ἀποδέδεικται τῷ σχήματι τὸ ἀκόλουθον, ἀλλ' ἐπιπολὺ τὸ οἷον ἀκρόχολον· διὸ καὶ μᾶλλον ἔμψυχος καὶ ἀληθὴς ὁ λόγος εἶναι δοκεῖ. δῆλον δὲ ἐκ τοῦ αὐτοῦ παραδείγματος, ὅτι ἐστὶ τὸ ταῖς λοιδορίαις ἄνευ τοῦ ὑποσημαίνεσθαι χρῆσθαι, λόγου ἀληθοῦς καὶ συνδιαθέτου· οἷον, εἰ γὰρ αἰακὸς ἢ ῥαδάμανθυς ἢ μίνως ἦν ὁ κατηγορῶν, ἀλλὰ μὴ σπερμολόγος, περίτριμμα ἀγορᾶς, ὄλεθρος, γραμματεύς. μέθοδος δέ τις οἶμαι ἐστὶν αὕτη δι' ἣν οὔτ' ἐπαχθὴς εἶναι δοκεῖ ὁ λοιδορούμενος, σαφῶς συνδεικνυ-

μένος αὐτῷ τοῦ μὴ ὑποσημαίνεσθαι ὡς ὑπ' ὀργῆς προήχθη, καὶ οὐκ ἐσκεμμένος ἥκει πρὸς τὰς λοιδορίας, ἀλλ' αὐτόθεν ἐπελθὸν αὐτῷ, δι' ὀργὴν ταῦτα εἴρηκεν, ὅτε λόγος τὸ πιθανὸν πλεῖ ἐκ τῶν τοιούτων μεθόδων ἴσχει, διὰ τὴν διάθεσιν καὶ τὸ ἐμψύχως προήχθαι. ἐὰν δὲ ὑποσημήνῃ, ὥσπερ ὁ Αἰσχίνης, οἷον, δότε μοι εἰπεῖν κίναιδον αὐτόν, οὔτε ὁμοίως ἔσται πιθανός, δόξει τε ὡς ἀληθῶς εἶναι φιλολοίδορος. οὐ γὰρ πεπονθότος ἐστὶ τὴν ψυχήν, οὐδ' ἐμπαθῶς ἔχοντος, τὸ ὑποσημαίνεσθαι, οὐδὲ οἷον ἐξεστηκότος ὑπὸ τοῦ πάθους, οὐδὲ ἀγνοοῦντος ἃ λέγει, ἀλλὰ νήφοντος καὶ γινώσκοντος ταῦτα, καὶ ἐπεσκεμμένου, καὶ τοῦτο ἐσπουδακότος λοιδορήσασθαι τοῦ ἐχθροῦ· καὶ οὐκ ἔτι, οὐδὲ πιθανός ἐστι τοῦ μηδὲ ἐνδιαθέτως, μηδὲ ἐμψύχως λέγειν. ὁ γὰρ ἐνδιακειμένως τι λέγων, σφόδρα γε αὐτὸν γοῦν πεπεικέναι δοκεῖ, διὸ καὶ πιθανός ἐστιν, ὁ δ' ὡς ἑτέρως, οὐκ ἔχει τὴν πιθανότητα ὁμοίαν. ἔτι μέθοδος, ἀληθινοῦ καὶ οἷον ἐμψύχου λόγου, σχεδὸν μὲν ἡ αὐτὴ οὖσα τῇ προειρημένῃ, ἔχουσα μέντοι διαφοράν τινα. ἔστι δὲ τὸ κἂν τοῖς ἄλλοις καὶ μὴ μόνον ἐν ταῖς λοιδορίαις, δοκεῖν αὐτόθεν πως κινούμενον λέγειν, ἀλλὰ μὴ ἐσκεμμένον· οἷον, ἀλλὰ γὰρ μικροῦ με παρῆλθε· καὶ πάλιν, ἀλλὰ δ' ἐμπέπτωκα εἰς λόγους, οὓς αὐτίκα μάλα ὕστερον ἁρμόσει λέγειν· πολλὰ καὶ τῆς τοιαύτης μεθόδου τὰ παραδείγματα παρὰ τοῦ ῥήτορος· ἀλλὰ περὶ μὲν ἐννοιῶν καὶ μεθόδου τοῦ ἐνδιαθέτου λόγου, τοσαῦτα· λέξις δὲ πᾶσα μὲν ἡ τραχεῖα καὶ σφοδρὰ καὶ πεποιημένη, διάθεσιν ἔχει τὴν μετ' ὀργῆς· καὶ μάλιστα ἐν ταῖς ἐπιφοραῖς, ἐν αἷς καὶ αἱ μὴ συνήθεις, αὐτόθεν δὲ ποιηθεῖσαι, καιρὸν ἔχουσιν, ὥσπερ καὶ τὸ, ἰαμβειοφάγος· καὶ τὸ, ἔπειτ' ὦ κατάρατε καὶ γραμματοκύφων, καὶ πᾶσαι αἱ τοιαῦται καιρὸν ἔχουν, αὐτόθεν δόξασαι ἀπό τινος

διαθέσεως λέγεται· ἀλλ' ἐπὶ μὲν τῶν ἐπιφορῶν ἰσχύουσιν, ὅπερ
ἔφην, αἱ βραχεῖαι καὶ σφοδραί, καὶ ποιοῦσί γε τὸν ἀληθῆ ἢ οἷον
ἔμψυχον λόγον· οὐ μὴν ἔνθα ἄλλο τι πάθος ψυχῆς παραδηλοῦ-
μεν, ὁμοίως ἔτι χρήσιμον ἂν εἴη τὸ τοιοῦτον· ἐν δέ γε ἐλεεινολο-
γίᾳ, καὶ παντάπασιν ἥκιστα ἐπιτήδειον. ἐνταῦθα γάρ, ἐν τοῖς
πάθεσι λέγω, καθαρότητος μᾶλλον δεῖ καὶ ἀφελείας, καὶ γλυ-
κύτητός τε καὶ ἡδονῆς· παράκειται δὲ τὰ πάθη ταῦτα· ὥσπερ ὁ Ξε-
νοφῶν πεποίηκεν ἐν τοῖς περὶ Ἀβραδάτην πάθεσι καὶ τὴν Πάνθειαν,
ἔνθα ἔφη πρὸς τοῖς ἄλλοις καὶ τό, ἡ χεὶρ τοῦ νεκροῦ ἐπηκολούθη-
σεν. ἀπροαιρέτῳ γὰρ προαιρετικὸν προσθεὶς τῇ ἡδονῇ, τὸ πάθος ηὔ-
ξησε. ποῦ δὲ καὶ τίσι πράγμασι, τίνα ἁρμόττει λόγων εἴδη, πολ-
λάκις διαμαρτυράμενος ὅτι ἐν τοῖς περὶ δεινότητος μεθόδου λέ-
γειν χρή, καὶ ὅτι ἀκριβέστερον ἐκεῖ λέξομεν. σχήματά γε μὴν ἐν-
διαθέτου κατ' ἐπιφορὰν λόγου, ἅπερ ἦν καὶ τοῦ σφοδροῦ, αἵ τε ἀ-
ποστροφαί· οἷον, παρὰ σοὶ κατέλυον Αἰσχίνη, καὶ σὺ προυξένεις αὐ-
τόν. καὶ αἱ μετ' ἐρωτήσεως ἀποστροφαί, τά τε ἄλλα, καὶ διὰ
τὸ ἐλεγκτικόν, ἔχουσαι πλέον τὸ ἐνδιάθετον· οἷον, τί γὰρ δή ποτ'
ἐξέβαλε Ἡγησίλεω μὲν κρινομένῳ, ὃς ἀνεψιός ἐστί σοι, ἢ πάλιν
Θρασυβούλῳ πρώην τῷ τοῦ νικηράτου θείῳ, καὶ τὰ ἑξῆς· καὶ μυ-
ρία δὲ τοῦ σχήματος τούτου παραδείγματα· τὸ μέν τοι, καὶ σὺ δὲ
ὅμοιος Αἰσχίνῃ· ὁ γὰρ ἀδελφὸς ὁ σός· ἄλλος δέ τις τῶν νῦν ῥητόρων;
καὶ τὰ ἑξῆς, μετὰ βραχύτητος διὰ τὴν εἰρωνείαν εἰσαχθέν, ἔχει μὲν
οὐκ ὀλίγον τοῦ ἐνδιαθέτου κατὰ τὸ τῆς λέξεως σχῆμα, τὸ δὲ ὅλον ἐστὶν
ἠθικόν, βαρύτητος τοῦ ἐνδιαθέτου μιχθείσης κατὰ τὴν μέθο-
δον τὴν περὶ τὴν ἔννοιαν. καὶ ἐνδιάθετον μέν τοι σχῆμα τὸ δει-
κτικόν, διότι ἢ σφοδρόν· οἷον, οὗτός ἐστιν ὁ τὰ Θηβαίων νῦν ὀδυ-
ρόμενος πάθη. ἔτι ἐνδιάθετον ἔχει σχῆμα καὶ ἡ τοιαύτη διαπόρησις·

οἷον, εἶτα, ὦ, τί ἂν εἴπων σέ τις, ὀρθῶς προσείπει. γέγονε δὲ τοιοῦ-
τον διὰ τό, ὡς κἂν τοῖς περὶ μεθόδου τῆς ἰδέας ταύτης εἰρήκα-
μεν, λέγω τὸ μὴ προσημῆναι μὲν ὡς ἀπορεῖ, ἐνδείξασθαι δὲ
ὃ ἔχει πάθος, αὐτῷ τῷ λόγῳ. τοῦτο δὲ εἴτε σχῆμα, εἴτε μέ-
θοδός ἐστιν, ὡς ἐλέγομεν. ἀλλ' οὖν ἐν τοῖς περὶ τῶν ἐνδιαθέτων
σχημάτων κείσθω· καὶ ἡ ἀποσιώπησις δὲ, ἐνδιαθέτου λόγου, καὶ
ὡς ἀληθῶς, οἷον ἐμψύχου· παράδειγμα ταύτης· ἀλλ' ἐμοὶ μὲν
(οὐ βούλομαι δὲ δυσχερὲς οὐδὲν εἰπεῖν, ἀρχόμενος τοῦ λόγου) καὶ
ἐν τοῖς ὑπὲρ μεγαλοπολιτῶν, οὐ γὰρ περὶ τούτων. ἀλλ' ἐάσω τό
γ' ἐπελθὸν εἰπεῖν μοι. καὶ μὴν καὶ αἱ ἐπικρίσεις, τοιαῦται. οἷον,
πόθεν; πολλοῦ γε καὶ δεῖ· καὶ πάλιν σχετλιάσας, εἶτα ηὔξησε
τὸ ἐνδιάθετον τῇ ἐπικρίσει· οἷον, Δεινὸν μὲν ὦ γῆ καὶ θεοί.
πῶς γὰρ οὔ; κατὰ τῆς πατρίδος. αἱ δὲ ἐνδοιαστικαὶ ἐπικρίσεις,
ἧττον ἔχουσι τὸ ἐνδιάθετον, ἠθικαὶ μέν τοι οὐδὲν ἧττόν εἰσι, καὶ
μᾶλλον προσήκουσι τῇ βαρύτητι· οἷον μέλλων δὲ τοῦ τε ἰδίου βίου
παντὸς, ὡς ἔοικε, λόγον διδόναι τήμερον, καὶ τὰ ἑξῆς. ὃ δὲ λέγω,
αὐτίκα ἔσται φανερὸν ἐν τοῖς περὶ βαρύτητος, τὴν δὲ ἐπίκρισιν
ἴσως οὐδὲ σχῆμα, ἀλλ' ἔννοιάν τινα θετέον· ὃ μέν τοι πέφυκε ποι-
εῖν, εἰρήκαμεν. ἔτι ἐνδιάθετον σχῆμα, καὶ ἡ τοιαύτη ὑποδιόρθω-
σις ἡ αὐξήσεως ἕνεκα παραλαμβανομένη· οἷον, ὀψὲ γάρ ποτε, ὀψὲ
λέγω, χθὲς μὲν οὖν καὶ πρώην· καὶ πάλιν, ὡς ἔστι τῶν αἰσχρῶν,
μᾶλλον δὲ τῶν αἰσχίστων. πολὺ καὶ τοῦτο παρὰ τοῖς ῥήτορσι ἐνδιαθέτου
λόγου σχῆμα· καὶ ὁ ἀπόλυτος καλούμενος μερισμός· ἔστι δὲ
σχεδὸν ταυτὸν τῇ ἐπικρίσει· οἷον, εἰ δὲ δὴ καὶ ἐν αὐτοῖς οἷς ἐξε-
μάθετε ἠδίκηκέ τις ὑμῶν, καὶ τότε, ταῦτα, τοιαῦτα, πόσῳ μᾶλ-
λον μισοῖσθ' ἂν διὰ ταῦτα δικαίως ἢ σώζοισθε; εἶτά ἐστιν ὁ ἀ-
πόλυτος μερισμὸς, οὐδὲν ἄλλ' ἢ ἐπίκρισις ὤν· οἷον, ἐγὼ μὲν

οἶμαι

οἶμαι πολλῶ. μὴ λύσας γὰρ τὸν μὲν σύνδεσμον, ἐπήγαγεν εὐθὺς, βιάσονται τοίνυν μεγαλόφωνοι καὶ ἀναιδεῖς ὄντες, καὶ τὰ ἑξῆς. καὶ πολλὰ αὐτῷ παρὰ τῷ ῥήτορί ἐστι τὰ παραδείγματα· λαμβάνεται μὲν τοι τῶν τῇ φύσει ὁμολογουμένων πραγμάτων, ἢ ἀποδεδειγμένων, ἢ ἔμφασίν γε τοῦ ὁμολογεῖσθαι, ἢ ἀποδεδεῖχθαι ἐχόντων, καὶ πρία ἅμα τῷ ἐνδιαθέτῳ, πλέον τὸ ἦθος διὰ τὴν ἔμφασιν. τοιοῦτον δ' ἂν εἴη καὶ τὸ ἐν τῷ κατὰ Τιμοκράτους προοίμιον, τὸ, τὸν μὲν ἀγῶνα ὦ ἄνδρες δικασταὶ τὸν παρόντος, οὐδὲ ἂν αὐτὸν οἶμαι Τιμοκράτην εἰπεῖν· καὶ τὰ ἑξῆς σύμπαντα τοῦ προοιμίου· οὐδαμοῦ γὰρ ὁ σύνδεσμος οὗτος ἐλύθη· καὶ παρέχει μυρία τοιαῦτα, πράγματα, ζητοῦσι περὶ αὐτοῦ τοῖς ἰαλέμοις τούτοις, οἵ φασι, ἐξηγεῖσθαι τὸν ῥήτορα. καὶ δὴ καὶ βιβλία καταλιπεῖν ἐτόλμησαν τῶν εἰς αὐτὸν ἐξηγήσεων, ἃ καὶ νῦν ἐξελίποντες οἱ πολλοὶ τῶν διδασκάλων, οἴονται τινὲς εἶναι, καὶ τοὺς συνόντας πείθουσιν, ὅμοιοι (φασιν) ὁμοίους. ποῦ γὰρ αὐτοῖς ἰδεῖν τι τοιοῦτον, ὅτι ἔλαβεν ὡς ὁμολογούμενον ὁ ῥήτωρ, βουλόμενος τοῦτο ἐνδείξασθαι, τὸ, αὐτὸν αὐτῷ Τιμοκράτην αἴτιον εἶναι τοῦ ἀγῶνος, καὶ μὴ δι' ἔχθραν ἰδίαν εἰσιέναι τὸν εἰσάγοντα αὐτὸν Διόδωρον; ὅπερ γὰρ εἴωθεν ὡς τὰ πολλὰ ποιεῖν ἐν προοιμίοις, τὸ, τὰ ζητούμενα, ὡς ὁμολογούμενα εἰσάγειν, τοῦτο κἀνταῦθα πεποίηκε διὰ τοῦ ἀπολύτου μορισμοῦ. ἔστι γὰρ τοῦ σχήματος ἡ χρῆσις αὕτη, πολλὴ καὶ ἐν τῇ κοινῇ καλουμένῃ καὶ ἀνὰ χεῖρα ὁμιλίᾳ· διὰ δὲ τοῦτο καὶ πολιτικὸν τὸ σχῆμα· οἷον, τούτου μὲν χάριν οὐδ' ἂν αὐτὸς ἀντείποι. ἀλλὰ σχήματα μὲν ταῦτα, τὰ ἐνδιαθέτου λόγου· κῶλα δὲ καὶ συνθήκη, ἀνάπαυσίς τε, καὶ τὸ ἐκ τούτων, οἱ ῥυθμοὶ· καὶ πάντα ταῦτα, παραπλήσια τοῖς ἐν σφοδρότητι, πλὴν ὅτε οἶκτον κινοίη τις, ἐλεεινολογούμενος. τότε γὰρ ἀφελεστέρων

δεῖ τούτων ἁπάντων. καὶ χρή γε τοῖς περὶ ἀφελείας ῥηθεῖσιν ἕπεσθαι ἐν τοῖς τοιούτοις. ἀκριβέστερον δὲ καὶ περὶ τούτων, ὅπερ ἐπηγγειλάμην πολλάκις, ἐν τῷ περὶ μεθόδου δεινότητος, ἡμῖν λελέξεται.

## ΠΕΡΙ ΒΑΡΥΤΗΤΟΣ.

Βαρύτης, ἐννοίας μὲν ἔχει τὰς ὀνειδιστικὰς ἁπάσας, ὅταν εὐεργεσίας τὶς ἑαυτοῦ λέγων, τὸ μηδενὸς ἢ ἐλαττόνων ἠξιῶσθαι· ἢ καὶ τοὐναντίον, ὅτι καὶ τιμωρίας ἀντὶ τιμῆς ἠξίωται, ὀνειδίζῃ. οὕτω γὰρ καὶ μάλιστα βαρὺς ὁ λόγος γίνεται, εἰ παραδεικνύοι τις τοὺς οὐδὲν ἢ μικρὰ εὐεργετήσαντας, ἢ καὶ τοὐναντίον, ἠδικηκότας, εἶτα τυχόντας ὧν αὐτὸς οὐκ ἠξιώθη. ταυτὸν δὲ συμβαίνει κἂν εἰ λέγοι τις, ὅτι τὸν δεῖνα μὲν φαῦλον ὄντα, τούτων ἠξιώσατε· ἐμὲ δὲ, ὡς ἑτέρως προαιρούμενον, τῶν ἐναντίων. παραδείγματα δὲ τῶν ἐννοιῶν τούτων πολλὰ ἔν τε τῇ ὑπὲρ τῶν λυκούργου παίδων ἐπιστολῇ, καὶ ἐν τῇ ὑπὲρ τῆς ἑαυτοῦ καθόδου· ἐν μέντοι ταύτῃ καὶ τὸ προοίμιον εὐθὺς τοιοῦτόν ἐστιν ἅπαν· οἷον, ἐνόμιζον μὲν ἀφ᾽ ὧν ἐπολιτευόμην, οὐχ ὅπως μηδὲν ὑμᾶς ἀδικῶν, τοιαῦτα πείσεσθαι, καὶ τὰ ἑξῆς. γίνονται μέντοι βαρύτητες κἀκ τῶν ἐπιεικῶν πως εἶναι δοκουσῶν ἐννοιῶν, μεθοδευθεῖσαί πως· ὅταν δῆθεν μειονεκτῇ τις ἑκὼν, ἢ συγχωρῇ πλεονεκτεῖν τῷ ἐχθρῷ, ἢ καὶ τῶν ἐναντίων ἀπὸ τοῦ λόγου φαίνηται, ἢ ἑαυτὸν, ἢ τὸν ἐχθρὸν ἀξιῶν, καὶ ὀνομάτων καὶ πραγμάτων. τοιαῦται δὲ αἱ εἰρωνεῖαι, μέθοδοί τινες οὖσαι δήπουθεν· οἷον, ἐμοὶ δὲ ὡς εἴ τε τις ὦ ἀθηναῖοι βούλεται νομίσαι μανίαν· μανία γὰρ ἴσως ἐστὶ τὸ ὑπὲρ δύναμιν τὶ ποιεῖν. πάνυ γὰρ βαρέως ἐνταῦθα τὴν φιλοτιμίαν ἑαυτοῦ, μανίαν ὠνόμασε. κἀκεῖνο δὲ τὸ, πῶς ὑμῖν ὑπὲρ τῆς χρήσεως τούτων τὰ πράγματα ἔχει; τοιοῦτόν

ἐστι· καὶ πολλὰ ἔχομεν τοιαῦτα παραδείγματα· τὸ δὲ τοιοῦ-
τον ἅπαν εἶδος, ὥς ἔφην, μεθόδου μᾶλλόν ἐστιν. αἱ γὰρ εἰρω-
νεῖαι μέθοδοί τινές εἰσιν δηλαδή, αἳ δὴ ποιοῦσιν ἐνταῦθα τὴν
βαρύτητα, ἀλλ' οὐκ αὐτὴ καθ' ἑαυτὴν ἔχει τι βαρὺ ἡ ἔννοια. καὶ
ποιοῦσί γε τὴν βαρύτητα, ὡς ἔφην, ἐν τῷ τοὐναντίον αὐτῷ ἢ λέ
γει ὁ τῇ εἰρωνείᾳ χρώμενος, ἐνδείκνυσθαι διὰ τῆς μεθόδου· οἷον,
τότε τοίνυν ὁ παιανιεὺς ἐγὼ βάταλος, οἰνομάου τοῦ κοθωκίδου,
σοῦ πλείονος ἄξιος ὢν ἐφάνην τῇ πόλει. διὰ γὰρ ἀμφοτέρων
τῶν ὀνομάτων, τοῦ τε βατάλου καὶ τοῦ οἰνομάου, τὰ ἐναντία τοῖς
ὀνόμασιν αὐτοῖς δηλοῦνται. τό τε γὰρ βάταλος, ὄνομα ὂν ἐπὶ μα
λακίᾳ λεγόμενον, ἐφ' οἷς ἀνδρείως προὔστη τῶν κοινῶν, τέθεικε·
διὸ ὢν τοῦ μηδὲ βάταλος, ἀλλ' εἴ τι τούτῳ ἐναντιώτατόν ἐστιν ὄ-
νομα, καλεῖσθαι ἂν δικαίως αὐτὸν οἶμαι δείκνυσι· τό τε οἰνόμαος,
ἔχον τι μέγα καὶ τραγικόν, ἐφ' οἷς ταπεινὸς ἦν ἄνανδρος ὁ αἰ-
σχίνης ὤφθη, τέθεικε, σαφῶς τῶν ἐναντίων αὐτὸν ὀνομάτων ἄξιον
ἀποφαίνει. εἰ δέ τι τοῦτο ἦν σκώμματος ἔχει, ἑτέρου λόγου. ἀλ-
λὰ μέθοδος μέντοι βαρύτητος αὕτη, ἰδία τῆς εἰρωνείας· εἰδέναι
μέντοι χρή, ὅτι πᾶσα εἰρωνεία ὁμοίαν ἔχει τὴν βαρύτητα. δῆ-
λον δὲ τοῦτο κἀκ τῶν προειρημένων γεγενῆσθαι νομίζω. ὅτε μὲν
γὰρ ἐφ' ἑαυτοῦ τις χρῷτο τῇ εἰρωνείᾳ· καὶ μάλιστα, εἰ πρὸς τοὺς
δικαστάς, ἀλλὰ μὴ πρὸς τὸν ἐχθρὸν λέγει, καθαρὰν ποιεῖ τὴν βαρύ-
τητα· οἷόν ἐστι καὶ τό, ἐμοὶ δὲ ὡς, εἴ τε τις ὦ ἀθηναῖοι βούλεται νο-
μίσαι μανίαν· μανία γὰρ ἴσως ἐστὶ τὸ ὑπὲρ δύναμιν τὶ πειρώμ-
εν ταύτῃ γὰρ ἐκπρεπὴς βαρύτης· ὅτε μέντοι κατὰ τῶν ἐ-
χθρῶν τις χρῷτο τῇ εἰρωνείᾳ, τὸ μὲν ἦθος ἴσχει πάντως ὁ λό-
γος, σφόδρα δὲ ὀλίγον τι, τοῦ τῆς βαρύτητος, καὶ ἀμαυρὸν ὑποφαί-
νεται· οἷον, πῶς ὑμῖν ὑπὸ τῶν χρηστῶν τούτων τὰ πράγματα ἔχει;

ἐν

ἐν μὲν τοι τοῖς ἐσχηματισμένοις τῶν βαρύτητι φύσει ζητήμασι, δύναται καὶ τῆς τοιαύτης μεθόδου ἐπ' ἀμφοῖν ἐκπρεπὴς εἶναι ἡ βαρύτης, ἐάν τε ἐφ' ἑαυτοῦ, ἐάν τε ὑπὲρ τοῦ ἐχθροῦ τις ἐνδέληται χρῆσθαι τῇ εἰρωνείᾳ· οἷον, ὁ Θεμιστοκλῆς δόξαν τοῖς Ἀθηναίοις, εἰς τὸν συνοικισμὸν πιπράσκειν τὰς ναῦς, ἐπείπερ ἥττητο ἀντιλέγων, ἑαυτὸν προσαγγέλλει. αὐτός τε γὰρ πάντα ἐφ' οἷς θαυμάζεται, φήσει θανάτου ἄξια ἑαυτῷ πεπρᾶχθαι. καὶ γὰρ ὅτι τὸ χρησθὲν μόνος οἶδεν, οὐ τιμῆς, ἀλλὰ ἀτιμίας ἄξιον εἶναι, διότι μηδὲν ὄντι τῶν νεῶν ὄφελος· καὶ ὅτι κράτιστος ἐν ταῖς ναυμαχίαις ὤφθη, καὶ τοῦτο ὁμοίως, τά τε ἄλλα παραπλησίως· τούς τε πεπεικότας νυνὶ πιπράσκειν τὰς ναῦς, θαυμαστοὺς εἶναι πολίτας καὶ μόνους τὸ συμφέρον εἰδέναι, ἡμαρτηκέναι μέν τοι φήσει καὶ τῇ τύχῃ, τὸ μὴ ἐξ ἀρχῆς αὐτοῦ κεκρατηκέναι ἀντιλέγοντος ὅτε ἔπειθεν ἐκεῖνα, ἐφ' οἷς νῦν θάνατον αὐτοῦ καταγινώσκει. οὔτε γὰρ ἐκλιπεῖν ἔδει τὴν πόλιν, οὔτε ὅσα ἄλλα εἰπεῖν ἔχει. προσθήσει δὲ βαρύτητα, καὶ τὸν Κυψέλον ὅτι στεφανοῦσι, ἀλλ' οὐ καταλιθοῦσιν ἔδει· καὶ ὡς ἀσφαλέστερον νῦν οἰκήσουσιν, ἀποδόμενοι τὰς ναῦς. οὐ γὰρ ἐπιβουλεύσειν αὐτοῖς διὰ τοῦτό γε αὐτό, διότι τῶν νεῶν στέρονται, οὔτε βασιλέα, οὔτε ἄλλον οὐδένα. διὰ γὰρ τοῦ πεζοῦ σεσῶσθαι τὴν Ἑλλάδα, καὶ τὸ μηδὲν ὦφθαι τὰς ναῦς παρὰ τὴν χρείαν· καὶ ὅλως τὰ ἐναντία διὰ τῶν ἐναντίων ἐνδείξεται πανταχοῦ· ὅπερ ἴδιον μὲν τῆς εἰρωνείας, ἐργαστικὸν δὲ τῆς βαρύτητος. καὶ μὴν καὶ τὸ περὶ τῶν ὁμολογουμένων ὡς ἀμφισβητουμένων εἰς ἐρώτησιν ἐκ διαιρέσεως καθίστασθαι, βαρύτητος ἴδιον, οὐκ ἀπήλλακται δὲ οὐδὲ τοῦτο εἰρωνείας· οἷον, ἆρα μικρὰ βοηθῆσαι τοῖς πένησιν ὑμῶν δοκῶ; καὶ τὰ ἑξῆς. καὶ ὁ Θουκυδίδης, ἆρα ἄξιοι δοκοῦμεν ὑμῖν ὦ Λακεδαιμόνιοι; τοιοῦτόν ἐστι καὶ τὸ ἐνδοιάζειν

διστάζειν περὶ τῶν ὁμολογουμένων, ὃ δὴ καὶ τοῦ ἐνδιαθέτου ἔφαμέν πως εἶναι λόγου. εἰ δὲ καὶ ἐν αὐτοῖς οἷς ἐτιμᾶσθε, ἠδίκηκέ τις ὑμῶν, πόσῳ μᾶλλον μισοῖσθ' ἂν ἢ σώζοισθε δικαίως; εἶτα ἡ ἐνδοίασις μετ' ἐπικρίσεως, ἐγὼ μὲν οἶμαι πολλῷ. καὶ ἔστι τοῦτ', εἰρωνεία τις, τὸ ἐνδοιάσαι περὶ τοῦ ὁμολογουμένου. παραπλήσιον δὲ τούτῳ καὶ τὸ ἐπικρίνειν τι ὡς δέον γενέσθαι, ὃ βούλεται ἐνδείκνυσθαι ὅτι οὐ δέον· οἷον, μέλλων δὲ τοῦ τε ἰδίου βίου παντὸς, ὡς ἔοικε, λόγον διδόναι τήμερον καὶ τῶν κοινῇ πεπολιτευμένων. διὰ τοῦτο δὲ καὶ τῇ ἐπικρίσει ἐνδοιαστικῇ κέχρηται, τῇ, ὡς ἔοικεν, ἵνα τὸ, ἄκων αὐτὸ ποιεῖν ἐνδείξηται, καὶ ὡς ἀναγκάσαντος τοῦ αἰσχίνου. εἰ δὲ καὶ δεινῶς μεθοδεύεται τὸ νόημα, ὅπερ ἐβούλετο ποιῆσαι, ἐνδεξαμένου τοῦ ῥήτορος οἱονεὶ κατ' ἀνάγκην καὶ τοῦ ἐχθροῦ βιασαμένου οὕτω ποιεῖν, μὴ θαυμάσῃς. σχεδὸν γὰρ οὐδὲν τῶν τοῦ ῥήτορος, ὃ δὴ πολλάκις εἴπομεν, ἀπήλλακται δεινότητος. ἀλλὰ νῦν, εἴπερ βαρὺ ἐστὶ τὸ εἰρημένον, ἐπισκεπτέον· περὶ γὰρ ταύτης νῦν ἡμῖν πρόκειται λέγειν τῆς ἰδέας. περὶ δὲ δεινότητος ὡς πολλάκις ἐπηγγειλάμεθα, ἐροῦμεν αὐτίκα. καὶ γὰρ τὴν τάξιν ἔχει μετὰ πάσας τὰς προειρημένας ἰδέας, εἰ καὶ τῇ δυνάμει πρῶτον ἁπασῶν ἡμῖν αὐτὴν κατατακτέον. ἀλλ' ἔννοιαι μὲν αὗται, καὶ μέθοδοι βαρύτητος. λέξις δέ τις ἢ τι ἕτερον τῶν ἑπομένων ταύτῃ, ὡς εἶναι βαρύτητος ἴδιον, οὐδέν ἐστι. φαίην δ' ἄν, ὅτι καὶ μᾶλλον ἑτέρων ἁρμόττοι ἂν αὐτῇ καὶ ὅσα ταῖς ἠθικαῖς ἰδέαις ἥρμοσε· λέγω δὲ τῇ ἀφελείᾳ καὶ τῇ ἐπιεικείᾳ, καὶ ἔτι τῷ ἐνδιαθέτῳ καὶ οἷον ἐμψύχῳ λόγῳ.

## ΠΕΡΙ ΔΕΙΝΟΤΗΤΟΣ.

Ἡ δεινότης ἡ περὶ τὸν λόγον, ἐστὶ μὲν κατ' ἐμὴν γνώμην οὐδὲν ἄλλ' ἢ χρῆσις ὀρθὴ πάντων τῶν τε προειρημένων εἰδῶν τοῦ λόγου καὶ τῶν ἐναντίων αὐτοῖς· καὶ ἔτι δι' ὧν ἑτέρων σῶμα λόγου γίνεσθαι πέφυκε. τὸ γὰρ εἰς δέον καὶ ἐπὶ καιρόν, καὶ τὸ οὕτως ἢ ἐκείνως εἰδέναι τε καὶ δύνασθαι χρῆσθαι πᾶσί τε λόγων εἴδεσι καὶ πάσαις ἀντιθέσεσι καὶ πίστεσιν, ἐννοίαις τε προκαταρκτικαῖς ἢ κατασκευαστικαῖς ἢ καὶ ἐπιλογικαῖς, ἁπλῶς τε, ὅπερ ἔφην, τὸ πᾶσι τοῖς πεφυκόσι σῶμα λόγου ποιεῖν, χρῆσθαι δύνασθαι δεόντως καὶ ἐπὶ καιρόν, ἡ ὄντως οὖσα δεινότης ἔμοιγε εἶναι δοκεῖ. ὥσπερ γὰρ δεινῶς χρῆσθαι πράγμασι λέγεται δήπουθεν, ὁ εἰς δέον τοῖς παραπίπτουσι πράγμασι χρώμενος, οἷον ὕλῃ τινὶ οὔσῃ τῆς ὥσπερ τέχνης αὐτοῦ, καὶ δεινὸς στρατηγὸς ὁ περὶ τὴν στρατηγίαν πράγμασιν εἰδὼς εἰς δέον χρήσασθαι, ὕλη δὲ δήπουθεν καὶ ταῦτα τοῦ στρατηγοῦ πάντως, οὕτω καὶ ῥήτωρ ἂν εἴη δεινός, ὁ τοῖς περὶ ῥητορικῆς πράγμασι καὶ ταῖς ὕλαις αὐτῆς εἰς δέον χρώμενος. πράγματα δὲ ἂν εἴη καὶ ὕλη δήπουθεν ταύτης τὰ προειρημένα, λέγω τά τε εἴδη τοῦ λόγου καὶ τὰ λοιπά. τούτων γὰρ ἕκαστον εἰ εἰδείη, πότε μὲν δεῖ, πότε δὲ μὴ δεῖ λέγειν, καὶ ποῦ καὶ μέχρι πόσου, καὶ πρὸς ὅν τινα, καὶ πῶς, καὶ διότι· καί, εἰ μὴ εἰδείη μόνον, ἀλλὰ καὶ δύναιτο, πάντως ἂν εἴη δεινότατος ῥητόρων, καὶ οἷος ἅπαντας παρεληλυθέναι, ὥσπερ καὶ ὁ Δημοσθένης παρελήλυθεν. ἐπεὶ καὶ δεινὸν εἴποι τις ποιητήν, ὥσπερ ὁ Θεόκριτος εἶπεν ἐν Χάρισιν, ἢ Ἱέρωνι τὸν Σιμωνίδην, εἰ μὴ δεινὸς ἀοιδὸς ὁ Κήϊος αἰόλα φωνέων βάρβιτον ἐς πολύχορδον, ἐν ἀνδράσιν οὐκ ὀνομασθῇ· οὐδὲν ἄλλ' ἢ τοῦτο δήπουθεν λέγει, ὅτι τοῖς τῆς ποιητικῆς ἰδίοις εἴδε-

σι

σε οἷόν τε ἐπὶ δυνατὸν χρῆσθαι. οὐ γὰρ δεινὸν ἀοιδὸν οὕτω λέγοι ἄν τις τὸν σιμωνίδην, ὥσπερ οἱ πολλοὶ λέγουσι δεινὸν ῥήτορα, τὸν ταῖς βαθείαις ἢ περινενοημέναις ἐννοίαις ἢ μεθόδοις χρώμενον, ἢ καὶ λέξεσι μέγεθος ἐχούσαις, ἢ ὅτι τοιοῦτον ποιοῦντα. εἰ δέ τις ἡμῖν περὶ τοῦ ὀνόματος διοίσεται, δεινὸν εἶναι ῥήτορα λέγων τὸν φοβερὸν ἢ μέγαν ἢ ἰσχυρὸν, ἢ πάντα ταῦτα (τοὔνομα γὰρ τὸ τῆς δεινότητος οἴδαμεν τάττειν τοὺς ἀρχαίους ἐπὶ τούτων· ἐπὶ μὲν τοῦ φοβεροῦ· οἷον, αἰδοῖός τέ μοί ἐσσι φίλε ἑκυρὲ δεινός τε, καὶ δεινή τε καὶ ἐμβριθής τε· ἐπὶ τοῦ μεγάλου, καὶ ἰσχυροῦ, αἰνῶς ἀθανάτοισι θεοῖς εἰς ὦπα ἔοικε) προστεθείη δὲ ἐπὶ τὰ περὶ τοῦ ὀδυσσέως ῥηθέντα, τεκμαιρόμενος ὅτι δεινὸν αὐτὸν ῥήτορα βουλόμενος δεῖξαι ὁ ποιητὴς, φοβερόν τε καὶ μέγαν κατὰ τοὺς λόγους πεποίηκεν· οἷον τὸ, νιφάδεσσιν ἐοικότα χειμερίοισιν ἔπεα φθέγγεσθαι· εἰ ταῦτά τις ἡμῖν λέγων, περὶ τοῦ ὀνόματος τῆς δεινότητος διοίσεται, πρῶτον μὲν ἀγνοεῖ, ὅτι τὸν ὥς ἐγὼ λέγω, δεινὸν ῥήτορα ὁ ποιητὴς ἐνδείκνυσιν (εἰς δέον γὰρ ἐπὶ κατὰ καιρὸν τῷ μεγέθει καὶ τῇ τραχύτητι ἐπὶ τῇ σφοδρότητι κέχρηται ὁ ὀδυσσεὺς αὐτῷ, ἅτε τοῦ λόγου κατά τε ἀλεξάνδρου καὶ κατὰ τῶν τρώων, ὑποφορᾶς δεομένου (ἔπειτα, τί φήσει περὶ τοῦ, αἰδοῖ μειλιχίῃ ἀγορεύοντος; καὶ τοῦδε, θεὸς μορφὴν ἔπεσι στέφει; εἰ γὰρ μὴ δεινότητος εἶναί τινος ἐρεῖ τοῦτο, ἀλλ' ἄλλου τινὸς, τί φήσει περί τε τοῦ ἐν φαίαξιν ὀδυσσέως, καὶ ὧν αὐτόθι δημηγορεῖ; ὁ γὰρ αὐτὸς δήπουθεν ὢν κἀνταῦθα κἀκεῖ· ἀλλ' οὐχ ὡσαύτως τῷ λόγῳ χρῆται, δεινὸς ὢν ὡς ἀληθῶς, καὶ ταῖς ἰδέαις τοῦ λόγου εἰς δέον τε ἐπὶ κατὰ καιρὸν χρῆσθαι δυνάμενος. ἂν μὲν γὰρ κατηγορῇ βίας, ἁρπαγῆς, μοιχείας, παρανομίας, ἀσεβείας, τῆς εἰς τὸν ξένιον Δία, τῶν ἄλλων, ἃ ἄν τις εἴποι κατὰ τοῦ ἀλεξάνδρου

καὶ τῶν τριῶν εἰκότως, τότε ὅπα τε μεγάλην ἐκ στήθεος ἵησι, καὶ ἔπεα νιφάδεσσιν ἐοικότα χειμερίῃσι, καὶ ὅλως ἐστὶ μέγας τοῦ λόγου καὶ σφοδρὸς καὶ διηρμένος· ἐὰν δὲ ἐπᾶραι καὶ διαχέαι τρυφῶντας ἀνθρώπους, ἕνεκα τοῦ εἰς αὐτὴν φιλανθρωπίας βούληται, οὐκ ἔτι ὡσαύτως· ἀλλ' οὐ γὰρ ἔγωγέ τί φημι τέλος χαριέστερον εἶναι, ἢ ὅταν εὐφροσύνην μὲν ἔχῃ κατὰ δῆμον ἅπαντα, καὶ τὰ ἑξῆς. οὕτω καὶ ὁ τοῖς προσώποις τὸ δέον ἀποδιδοὺς (οἶμαι) ποιήσει ῥήτωρ· ἄλλον μειλιχίοις, ἄλλον στερεοῖς ἐπέεσσι προσζώων. τί οὖν ὁ περὶ τοῦ τῆς δεινότητος ὀνόματος ἡμῖν διαφερόμενος, φήσει περὶ τούτων, εἰ ὁ αὐτὸς νῦν μὲν δεινός, νῦν δὲ οὐ δεινὸς ἦν; ἐγὼ μὲν γὰρ κἀνταῦθα κἀκεῖ τὸν αὐτὸν εἶναί φημι, καὶ τῇ αὐτῇ χρῆσθαι δεινότητι καὶ τέχνῃ, τοῖς εἴδεσι τοῦ λόγου γινώσκοντά τε ὡς δεῖ χρῆσθαι καὶ δυνάμενον. καὶ τί δεῖ παραδειγμάτων ἄλλων, ἐξὸν ἀπ' αὐτοῦ γε τούτου ἰδεῖν τοῦ ῥήτορος; καὶ γὰρ οὗτος δεινὸς μέν ἐστι, καὶ ὁ αὐτὸς πανταχοῦ μιᾷ χρώμενος ἐπιστήμῃ καὶ δυνάμει ἐν πᾶσιν, εἰς δέον δὲ καὶ ἑκάστῃ χρώμενος ἐννοίᾳ, καὶ ταῖς ὑποθέσεσι, καὶ τοῖς καιροῖς καὶ τοῖς προσώποις τὸ δέον ἀποδιδούς. ἄλλος μέν ἐστιν ἐν ἰδιωτικοῖς, ἄλλος δὲ ἐν δημοσίοις· καὶ τῶν δημοσίων δὲ αὖ, ἕτερος μὲν ἐν φιλιππικοῖς, ἕτερος δὲ ἐν συμβουλευτικοῖς, δεινός γε μὴν ἁπανταχοῦ. εἰ δὲ νῦν μὲν καὶ εἶναι δοκεῖ δεινός, νῦν δὲ οὐ δοκεῖ, καὶ τοῦτο αὐτὸ κομιδῇ δεινόν ἐστι· καὶ τῆς οὔσης δεινότητος ὡς ἀληθῶς, τὸ δύνασθαι σὺν ἐπιστήμῃ, τούτων ἕκαστα ποιεῖν ἐν δέοντι. ἀλλ' ἤδη γε περὶ αὐτῶν τούτων λεκτέον. δεινὸς τοίνυν λόγος, ὁ μὲν καὶ ἔστι καὶ εἶναι δοκεῖ, ὅνπερ καὶ μόνον οἱ πολλοί, καὶ τάχ' ἂν ἡμῖν ἀμφισβητήσαντες περὶ τοῦ ὀνόματος τῆς δεινότητος λέγουσιν εἶναι δεινόν· φανερὸν δὲ ἔσται τοῦτο

αὐτίκα ἐκ τῶν ῥηθησομένων. ἀλλ', ὅπερ ἐλέγομεν, δεινὸς λόγος, ὁ μὲν καὶ ἔστι καὶ εἶναι δοκεῖ· ὁ δέ, ἔστι μέν, οὐ μὴν δοκεῖ· ὁ δὲ οὐκ ἔστι μέν, δοκεῖ δὲ εἶναι. περὶ δὲ τοῦ μήτε ὄντος μήτε δοκοῦντος εἶναι τοιούτου, περιττὸν διαλαβεῖν. γίνεται δὲ ὁ μὲν εἶναί τε δοκῶν καὶ ὢν ὄντως δεινός, κατά τε ἔννοιαν, καὶ κατὰ τὰ ἄλλα πάντα, καθ' ἃ καὶ τὰ λοιπὰ εἴδη τοῦ λόγου· ὁ δὲ ὢν μὲν δεινός, οὐχὶ δοκῶν δὲ εἶναι, τὸ πλεῖστον ἔχει περὶ τὴν μέθοδον· ὁ δ' αὖ, δοκῶν μὲν εἶναι δεινός, οὐ μὴν τοιοῦτός γε ὢν ὡς ἀληθῶς, διὰ τῆς λέξεως τὸ πλεῖστον γίνεται. τούτων δέ, τοῦ μὲν καὶ ὄντος δεινοῦ καὶ δοκοῦντος εἶναι τοιούτου παραδείγματα, οἵ τε κατὰ Φιλίππου λόγοι, καὶ σχεδὸν ἅπαντες οἱ Φιλιππικοί, καὶ τῶν δημοσίων οἱ πολλοί. καὶ γὰρ βούλεται δοκεῖν δεινὸς εἶναι λέγειν ἐνταῦθα, ὅς γε καὶ ὁμολογεῖ ζηλοῦν τὸν περιφανῶς δεινότατον γεγονότα λέγειν τὸν Περικλέα· καὶ οὐ μόνον φαίνεται τοιοῦτος ἐνταῦθα, ἀλλὰ καὶ ἔστι. καὶ ἔστι μὲν ὄντως ἐνταῦθα δεινός, ὥσπερ καὶ ἐν ἅπασιν αὐτοῦ τοῖς λόγοις, εἰς δέον καὶ κατὰ καιρὸν εἴδεσι τοῦ λόγου χρησάμενος. κέχρηται μὲν γὰρ ἐνταῦθα τῇ φανερᾷ δεινότητι, τοῦτο αὐτὸν ἀπαιτοῦντος τοῦ λόγου· διότι δέ, οὐχὶ νῦν καιρὸς εἰπεῖν· ἀλλ' ἐκεῖσε ἐπανιτέον. ἔστι μὲν γὰρ ὄντως ἐνταῦθα δεινός, δοκεῖ δὲ εἶναι καὶ φαίνεται δεινὸς, τῷ λέγειν οὕτως καὶ τὰ τοιαῦτα οἷα πάντας αἰσθάνεσθαι, ὡς οὐ κατὰ τοὺς πολλούς ἐστι τὰ λεγόμενα, οὔτε ταῖς ἐννοίαις οὔτε τοῖς λοιποῖς. τοιγαροῦν ἔννοιαι μὲν τῆς τοιαύτης δεινότητος αἱ παράδοξοι καὶ βαθεῖαι καὶ βίαιοι, καὶ ὅλως αἱ περινενοημέναι· οἷον, οὐ μὴν ἀλλ' ἐπιεικῶς ὦ Ἀθηναῖοι τοῦθ' ὃ δυσμαχώτατόν ἐστι τῶν Φιλίππου πραγμάτων, καὶ βέλτιστον ὑμῖν· καὶ πάλιν, ὃ γάρ ἐστι χείριστον ἐκ τοῦ παρεληλυθότος χρόνου, τοῦτο πρὸς τὰ μέλ-

λοντα βέλτιστον ὑπάρχει· καὶ πάλιν, ὃ δὴ καὶ βίαιόν ἐστι δια-
φερόντως, ἐν τῷ περὶ τῆς παραπρεσβείας· οἷον, ἐγὼ δὲ οὐδὲ συμ-
πεπρεσβευκέναι φημί σοι· πρεσβεύειν μέν τοι, σὲ μὲν πολλὰ καὶ
δεινά, ἐμαυτὸν δὲ ὑπὲρ τούτων τὰ βέλτιστα. καὶ πάλιν τὸ ἐν τῷ
περὶ στεφάνου περινενοημένως εἰρημένον· οἷον, οἷς γὰρ οὐκ ἔγραψα
τοῦ προβουλεύματος, τούτοις ἃ διώκει συκοφαντῶν φανήσεται, καὶ
τὰ ἑξῆς· οἷον, οὐκοῦν ἃ μὲν ἐπέδωκα ταῦτά ἐστιν, ὧν οὐδὲν σὺ
γέγραψαι, ἃ δέ φησιν ἡ βουλὴ δεῖν ἀντὶ τούτων μὴ γενέσθαι, ταῦ-
τ' ἔσθ' ἃ διώκεις. καὶ τὸ ἐνθύμημα δὲ τοιοῦτον, τὸ ἐφεξῆς· οἷον,
τὸ λαβεῖν οὖν τὰ διδόμενα ὁμολογοῦ ἔννομον εἶναι, τὸ χάριν τού-
των ἀποδοῦναι, παρανόμων γράφῃ; πάνυ γὰρ περινενοημένως διό-
λου ἐνταῦθα τῷ λόγῳ κέχρηται· ἐπειδὴ οὐκ ᾐτιάσω, φησί, τὸ ἀπο-
δοῦναι ὁμολογεῖς, καὶ τὸ ἐπ' αὐτῷ τι ἀντιλαβεῖν, ἔννομον εἶναι.
εἰ γὰρ μὴ ἐκεῖνο παράνομον, οὐδὲ τοῦτο. ἀλλ' ἡ μὲν ἔννοια τοιαύ-
τη, οὐ μὴν οὔτε μέθοδος, οὔτε ἡ ἐξαγγελία δοκεῖ πως φαίνε-
σθαι δεινή, εἰ καὶ ἔστι τοιαύτη ἑκατέρα· ἀληθινὴ δὲ μᾶλλον καὶ ἠ-
θικὴ μετὰ κάλλους καὶ σφοδρότητος φαίνεται. δῆλον δὲ τοῦτο καὶ
ἐκ τῶν ἐφεξῆς εἰρημένων ἐστίν, ὅτι σφοδρὰ ταῦτα καὶ ἠθικὰ ἦν, ἐν
δέοντι δὲ οὕτως εἰσήχθη. οὐκοῦν ἔννοιαι μὲν αὗται καὶ αἱ τοιαῦται,
λόγου τοῦ καὶ ὄντος ἀληθῶς δεινοῦ καὶ δοκοῦντος εἶναι· καὶ ἔτι
πρὸς ταύταις αἱ τὸ μέγεθος ποιοῦσαι, σχεδὸν ἅπασαι, οἷον ἀ-
κμή, σεμνότης, αἱ λοιπαί· μέθοδοί τε ὡσαύτως, ὁπόσαι τε ἐ-
οίκασι ταῖς προειρημέναις ἐννοίαις, λέγω ταῖς περινενοημέναις καὶ
βαθείαις, καὶ ἔτι πᾶσαι αἱ ἴδιαι τῶν τὸ μέγεθος ποιουσῶν ἰδεῶν,
ὅθεν καὶ νομίζουσιν οἱ πολλοί, ταῦτ' εἶναι μόνον δεινότητα· καὶ γὰρ
καὶ ἡ λέξις τούτων τῶν ἰδεῶν, ἁρμόττει τῇ οὔσῃ καὶ φαινομένῃ δει-
νότητι. αἱ γὰρ σεμναὶ καὶ τραχεῖαι καὶ σφοδραί, καὶ ὅλως αἵ τε

πραγμ

πραγμένα, δεινά τέ εἰσιν ὡς ὄντως διὰ τὴν ἐνάργειαν, ὅτε τι πρᾶγμα δι' ἐναργείας σημαίνοιεν, εἰς δέον παραλαμβανόμενα, καὶ φαίνονται τοιαῦται διὰ τὸ αὐτό. σχήματα δὲ καὶ συνθήκη τά τε λοιπὰ ἐφεξῆς ἅπαντα, οὐχ ὅσα δὴ πασῶν ἦν τῶν ποιουσῶν τὸ μέγεθος ἰδεῶν, ταῦτά ἐστι καὶ τῆς δεινότητος, ἀλλ' ἅπερ τῆς σεμνότητος ἦν καὶ ἀκμῆς, λαμπρότητός τε καὶ περιβολῆς· μάλιστα δὲ τῆς ἰδέας ταύτης καὶ τὸ κατὰ συστροφὴν σχῆμα, οἰκεῖον. δυνάμει γὰρ μεγάλῃ, φύσει τε κέχρηται, καὶ φαίνεται χρώμενον· οἷον, ὁ γὰρ Μεσσήνην Λακεδαιμονίοις ἀφιέναι κελεύων, πῶς Ὀρχομενὸν καὶ Κορώνειαν τότε Θηβαίοις παραδοὺς, τὰ δίκαια νομίζειν ταῦτ' εἶναι πεποιηκέναι σκήψαιτο; καὶ πάλιν, ὁ γὰρ οἷς ἂν ἐγὼ ληφθείην, ταῦτα πράττων καὶ κατασκευαζόμενος, καὶ τὰ ἑξῆς· καὶ τὸ, εἰ γὰρ ὅτε ἥκομεν Εὐβοεῦσι βεβοηθηκότες, καὶ τὰ τοιαῦτα. ἀλλ' ὁ μὲν καὶ ὢν καὶ δοκῶν εἶναι δεινὸς λόγος, οὕτω γίνεται· τοῦ δ' ἂν μὴ δοκοῦντος μὲν εἶναι δεινοῦ, ὄντος δὲ ὡς ἀληθῶς τοιούτου, παραδείγματά εἰσι σχεδὸν ἅπαντες οἱ ἰδιωτικοὶ τοῦ Δημοσθένους λόγοι, καὶ τῶν δημοσίων δὲ οὐκ ὀλίγα μέρη. τά γε μὴν τοῦ Λυσίου, θαρρῶν ἴσως εἴποι τις ἂν ὅτι πάντα. γίνεται δὲ κατ' ἔννοιαν μὲν οὐδαμῶς, ἐν δὲ τῇ μεθόδῳ, καθάπερ ἔφην εἰπὼν, τὴν πλείστην, μᾶλλον δὲ τὴν πᾶσαν ἔχει δύναμιν ἡ τοιαύτη δεινότης· καὶ τοῦτο δῆλον ἐξ αὐτῶν τῶν παραδειγμάτων. τὸ γὰρ σφόδρα ἠθικαῖς καὶ ἀνειμέναις καὶ ταῖς ἐννοίαις καὶ τῇ λέξει καὶ πᾶσι τοῖς ἑπομένοις τῇ λέξει, οἷον, σχήμασι, κώλοις, συνθήκαις, ἀναπαύσεσι, ῥυθμοῖς, τὸ πᾶσι δὴ τούτοις ἠθικῶς καὶ ἀφελῶς, καὶ ἀνειμένως δοκοῦντα λέγειν, ὑπορύττει που καὶ κατασκευάζει ἃ βούλεταί τις μᾶλλον, ἢ εἰ μὴ ἀνειμένως μηδὲ ἀφελῶς ἐδόκει λέγειν·

καὶ

ἢ τοῦτο καὶ ἐν προοιμίοις καὶ ἐν καταστάσεσι καὶ ἐν τοῖς ἄλλοις ἅπασι ποιεῖν, σφόδρα (οἶμαι) δεινοῦ λόγου, οὐ μὴν δοκοῦντός γε εἶναι τοιούτου. τοῦτο δὲ οὖν καὶ τῆς ὄντως δεινότητος ἐστὶ, τὸ δοκεῖν ἀφελῆ τινὰ ἢ ἁπλοϊκὸν παρέχεσθαι λόγον, ἢ αὐτόν πως εἶναι δοκεῖν τοιοῦτον, πᾶν τοὐναντίον ὄντα τε καὶ ποιοῦντα κατὰ τὸν λόγον· οὐ μὴν δίαρμά τι, οὐδὲ ἀξίωμά τι δύναιτ᾿ ἂν ἔχειν ὁ τοιοῦτος λόγος, οὐδὲ τοῖς ὅλοις εἶναι δεινός, εἰ δι᾿ ὅλου τοιοῦτον ἐργάζοιτό τις αὐτὸν τὸν τρόπον. ἐπεὶ καὶ βίας πολλάκις καὶ βαθύτητος δεῖ καὶ μεγέθους τινός, οἷς ὁ μὲν ῥήτωρ χρῆται, κἀνταῦθα λέγω καὶ ἐν ἰδιωτικοῖς· λυσίας δὲ καὶ οἱ κατὰ λυσίαν, ἧττον, ἵν᾿ ἀσφαλῶς ἀποφαίνηταί τις. ἐπεὶ τάχ᾿ ἂν περὶ τούτων εἰ δοῖ λέγειν, ἢ βραχέα, ἢ οὐδὲ ὅλως τούτοις ἐκεῖνοί γε χρησάμενοι φαίνονται. δύο μὲν δὴ ταῦτα, δεινότητος εἴδη, φαίνεται δὲ λόγος δεινὸς, οὐκ ὢν τοιοῦτος, ὃ δὴ καὶ τρίτον ἔφην δεινότητος εἶδος εἶναι, ὁ τῶν σοφιστῶν λέγω, τῶν περὶ πῶλον καὶ γοργίαν, καὶ μένωνα, καὶ τῶν καθ᾿ ἡμᾶς οὐκ ὀλίγων, ἵνα μὴ πάντων λέγω. γίνεται γὰρ τὸ πλεῖστον περὶ τὴν λέξιν, ὅταν τραχείας καὶ σφοδράς τις ἢ καὶ σεμνὰς συμφορήσας, εἶτ᾿ ἐξαγγέλλῃ ταύταις ἐννοίας ἐπιπολαίους καὶ κενάς· καὶ μάλιστα, εἰ ἢ σχήμασι χρῷτο, κώλοις τε καὶ τοῖς ἄλλοις πᾶσιν, ἅ ἐστι κεκαλλωπισμένοις, ἀκμαίοις τε καὶ σεμνοῖς. καὶ μὴν καὶ τὸ πρὸ τῶν ἀποδείξεων, λοιδορίαις ἢ σφοδρότησιν εἰκῇ κεχρῆσθαι, ἢ ἔνθα ὅλως μηδενὸς τοιούτου δεῖ, καθάπερ εἰώθεν ἀριστογείτων ποιεῖν, φαινομένη τίς ἐστιν, οὐ μὴν οὖσα δεινότης. ὑπόκενον γὰρ καὶ ψυχρὸν μᾶλλον τὸ τοιοῦτον· ἐπεὶ κἂν ἐννοίαις χρήσαιτό τις ἢ καὶ μεθόδοις, ἐχούσαις μέγεθος, οἷον σεμναῖς ἢ σφοδραῖς ἢ τραχείαις ἢ λαμπραῖς ἢ ἀκμαίαις, ἢ καὶ ταῖς περιβαλλούσαις τὸν

λόγον, μὴ ἐπὶ καιρὸν δὲ ποιῇ τοῦτο, μηδὲ ἔνθα δεῖ, φανείη μὲν δεινός, οὐ μὴν ὡς ἀληθῶς γε ἔσται τοιοῦτος. τὸ μὲν οὖν δή, τῇ λέξει χρῆσθαι μεγάλῃ ποτὲ ἐπὶ σμικρᾶς τινὸς καὶ λιτῆς ἐννοίας, χρήσιμον εἶναι, καὶ μὴ μόνον τῇ λέξει, ἀλλὰ καὶ τοῖς ἑπομένοις αὐτῇ, συγχωρῶ (ἐπειδὴ καὶ Ἰσοκράτης φησὶ, ῥήτορος εἶναι, τό, τὰ σμικρὰ μεγάλως εἰπεῖν δύνασθαι, καὶ τὰ μεγάλα σμικρῶς) οὐ μὴν ἁπλῶς ἐστὶ χρήσιμον, ὥσπερ σχεδὸν οὐδὲ ἄλλο οὐδὲν εἶδος λόγου, ἀλλ' ὅτε εἰς δέον παραλαμβάνοιτο. ἔστι δὲ τοῦτο μεγάλης καὶ τελεωτάτης ἐπιστήμης (οἶμαι) τὸ χρῆσθαι τοῖς καιροῖς εἰδέναι τε καὶ δύνασθαι. ἡ δὲ ὡς ὄντως δεινότης, αὕτη ἐστί, καθάπερ ἔλεγον εὐθὺς ἐν ἀρχῇ τοῦ περὶ δεινότητος λόγου, τὸ, τοῖς εἴδεσιν ἅπασι τοῦ λόγου καὶ πάσαις ἐννοίαις εἰδέναι πότε δεῖ, καὶ ποῦ, καὶ πρὸς ὅν τινα, καὶ πῶς, καὶ ἐφ' οἷς, χρῆσθαι· τὸ μὴ μόνον εἰδέναι, ἀλλὰ καὶ δύνασθαι. τοῦτο δὲ ἰδίας ἐστὶ πραγματείας, ἑπομένης μὲν τῷ περὶ ἰδεῶν λόγῳ, καθάπερ ὁ περὶ τῶν ἰδεῶν τῷ περὶ εὑρέσεως, χωρὶς δὲ ταττομένης τῆς καθ' ἑαυτήν. ἀγαπητὸν δέ, εἰ καὶ μὴ πάρεργον, ἑτέρας ὡς τὸ τοιοῦτον πραγματείας ποιησάμενος, μηδὲ ἐν προσθήκης ἀποδοὺς μέρει, καθάπερ νῦν ἂν γένοιτο, ἰδίαν δὲ ἀποδοὺς σπουδὴν ἣν προσήκει τῷ τοιούτῳ, μὴ πάντη σφαλείη τοῦ λόγου τοῦ περὶ αὐτῆς. ἐπεὶ καὶ ὅτε τὸν περὶ τῶν ἰδεῶν γράφοντες λόγον, τοῦτον αὐτὸν ἐν ἐνίαις αὐτῶν ἐπηγγειλάμεθα ἐν τῷ περὶ δεινότητος ἐρεῖν, ταύτης ἐστὶ τῆς πραγματείας· καὶ ὁποῖόν γε τοῦτο καὶ ὁπόσον ἔργον, ὁ πειραθεὶς γνώσεται. σχεδὸν γὰρ οὐδὲ ἀνθρωπίνης ἐστὶ δυνάμεως, θείας δέ τινος ἰσχύος, τέχνῃ πάντα ὑπολαβεῖν ταῦτα, καιρούς, πρόσωπα, τόπους, αἰτίας, τρόπους, τἄλλα ὅσα τοιαῦτα. καὶ δεῖξαι περὶ πάντων μὲν προβλημάτων, πάντων δὲ τῶν ἐν

τούτοις εἰδῶν καὶ τρόπων, πάντων δὲ ἂν τῶν κατὰ μέρος νοημάτων, εἴτ᾽ οὖν εἴη προκαταρκτικὰ, εἴτε πιστωτικά τε καὶ συστατικὰ, εἴτε ἀντιθέσεων λυτικὰ, εἴτε ἐπιλογικά· πασῶν τε ἰδεῶν λόγου, ποῖον μέν τοι προσήκει τὸ ὅλον εἶδος εἶναι τοῦ λόγου κατὰ τόδε τὸ ζήτημα, ἐπὶ τῶνδε τῶν ἀνδρῶν, κατὰ τοῦδε τοῦ προσώπου λεγόντων, κατὰ τόνδε τὸν καιρόν· ποῖα δὲ αὐτῶν τὰ κατὰ μέρος νοήματα, καὶ τίνα μὲν εἰπεῖν τῶν εὑρεθέντων, τίνα δὲ ἄρρητα ἐᾶν ἐνταῦθα βέλτιον (ἑτέρωθι γὰρ, ἂν οὕτω τύχῃ, καὶ τοὐναντίον ἔσται) καὶ τίς τοῖς κριθεῖσι ῥηθῆναι, τάξις ἀρίστη νῦν καὶ ἐπὶ τῶνδε (πάλιν γὰρ καὶ τοῦτο ἐφ᾽ ἑτέρων, καὶ κατ᾽ ἄλλον καιρὸν τάχα ἴσως ἑτέρως ἔσται) καὶ πῶς μὲν τοῦτο, πῶς δ᾽ ἐκεῖνο εἰσακτέον· καὶ τίσι μὲν πλεονάσαι τῶν ἐννοιῶν, καὶ τίνα τρόπον βέλτιον, τίνων δὲ τὴν ταχίστην ἀπαλλάττεσθαι καὶ δι᾽ ἐλαχίστου πως αὐτῶν ἐπιμνησθέντα, ταῦτα δὴ γὰρ πάντα καὶ τὰ τοιαῦτα, τέχνῃ διαλαβεῖν, καὶ ταῦτα μὴ διὰ σφόδρα μακρῶν, θεῖον (οἶμαι) τι πρᾶγμά ἐστι, καὶ οὐκ ἀνθρωπίνης δυνάμεως· οὐ μὴν ἀλλ᾽, ὅσον γε ἀνθρώπου φύσις ἐξαρκεῖν τοῖς τοιούτοις ἱκανὴ, καὶ ἡμᾶς ἐξαρκέσειν οἴομαι, καὶ διαλήψεσθαί γε περὶ τούτων ἁπάντων ἐν τῷ περὶ μεθόδου δεινότητος ἱκανῶς, εὐθὺς μετὰ ταῦτα. πρότερον δὲ εἰπεῖν ἀνάγκη περί τε πολιτικοῦ λόγου, καὶ τῶν κατ᾽ ἄνδρα εὐδοκιμούντων ἐπὶ λόγοις· οὐχ ἁπάντων, ἀλλὰ τῶν γε κρατίστων, καὶ ἀφ᾽ ὧν οὐ χαλεπὸν ἂν γένοιτο τοῖς τε τὰ προειρημένα πάντα καὶ τὰς γενικὰς ἰδέας ἐπεγνωκόσι τοῦ λόγου, καὶ περὶ τῶν ἄλλων ἑκάστου γινώσκειν ἃ δεῖ, καὶ νέων ἤδη καὶ παλαιῶν. ἀλλὰ λεκτέον γε ἤδη περὶ τοῦ λόγου τοῦ πολιτικοῦ.

## ΠΕΡΙ ΤΟΥ ΠΟΛΙΤΙΚΟΥ ΛΟΓΟΥ.

Ὁ πολιτικὸς τοίνυν καλούμενος λόγος γίνεται μὲν διὰ πασῶν τῶν προειρημένων ἰδεῶν· οὐ μὴν ἁπλῶς γε, κραθεισῶν δέ πως πρὸς ἀλλήλας, ὡς ἐλέγομεν. καὶ ὁ μὲν τῇ ἀρίστῃ μίξει χρησάμενος τούτων, τὸν ἄριστον δηλαδὴ τῶν πολιτικῶν λόγων ἐργάσεται· ὁ δὲ μετ' ἐκεῖνον, τὸν κατὰ δεύτερον λόγον γινόμενον τῶν πολιτικῶν ἄριστον· ὁ δὲ καὶ μετὰ τοῦτον, τὸν κατὰ τρίτον δηλαδὴ λόγον τοιοῦτον, καὶ περὶ τῶν ἄλλων δὲ ὡσαύτως εἰρήσθω. ἥτις δὲ ἀρίστη μίξις αὐτῶν, καὶ τίς ὁ κράτιστος τῶν λόγων τῶν πολιτικῶν, ὅτι μὲν ὁ δημοσθενικός, οὐδεὶς ἀμφιβάλλει δήπουθεν· οὐ μὴν ἁπλῶς γε ἡμῖν περὶ Δημοσθένους νῦν πρόκειται λέγειν, ἀλλὰ περὶ τοῦ καλλίστου τῶν πολιτικῶν, ἵνα ἀπὸ τούτου καὶ περὶ τῶν ἄλλων τῶν κατ' ἄνδρα εὐδοκιμούντων ἐν τοῖς πολιτικοῖς λόγοις, χαρακτηρίζειν ἡμῖν μὴ ᾖ χαλεπόν. συμβαίνει γε μὴν ἀναγκαίως περὶ τούτου λέγουσι, καὶ περὶ Δημοσθένους λέγειν δοκεῖν· ἐπεὶ καὶ ἀντιστρέφει. ἄριστός τε γὰρ ὁ πολιτικῶν λόγων ὁ δημοσθενικός· ὅ, τε ἂν δημοσθενικὸς λόγος, τῶν πολιτικῶν ἄριστος. φημὶ τοίνυν δεῖν ἐν τῷ τοιούτῳ λόγῳ πλεονάζειν μὲν ἀεὶ τόν τε τὴν σαφήνειαν ποιοῦντα τύπον, καὶ τὸν ἠθικόν τε καὶ ἀληθῆ, καὶ μετὰ τούτους, τὸν γοργόν· τῶν δὲ ἂν τὸ μέγεθος ποιουσῶν ἰδεῶν, τὴν μὲν περιβολὴν διόλου πλεονάζειν, καὶ οὐχ ἧττόν γε ἢ τὴν καθαρότητά τε καὶ εὐκρίνειαν· τὴν μέν τοι τραχύτητά τε καὶ σφοδρότητα παρισοῦσθαι μέν πως τοῖς εἰρημένοις, κατὰ δεύτερον δὲ καὶ τρίτον λόγον.

ἀκμὴ δὲ καὶ σεμνότης ἀπ' αὐτῶν, καὶ ἔτι λαμπρότης εἶναι μὲν ὀφείλει, οὐ μὴν οὕτως, οὐδὲ ἐπὶ τοσοῦτον ἐφ' ὅσον καὶ αἱ προειρημέναι τῶν ἰδεῶν, ἀλλ' ἐπ' ἔλαττον· ὅπου γε τὴν σεμνότητα καὶ διακόπτειν ἐν τῷ πολιτικῷ χρὴ λόγῳ, καὶ καθαιρεῖν ἀπὸ τοῦ μεγέθους· οἷον, ἅπας ὁ τῶν ἀνθρώπων βίος, κἂν μεγάλην πόλιν οἰκῶσι κἂν μικρὰν, φύσει καὶ νόμοις διοικεῖται. παρεντεθὲν γὰρ τὸ, κἂν μεγάλην πόλιν οἰκῶσι, κἂν μικρὰν, καὶ διακόψαν τὸν λόγον, καθεῖλεν ἀπὸ τοῦ μεγέθους, καὶ ἧττον ἐποίησε φανῆναι σεμνόν. ἤδη δέ που καὶ ἡ λαμπρότης ταυτὸ πέπονθε τοῦτο, ὡς καὶ παρὰ τῷ δημοσθένει, οἷον, αὕτη τῶν περὶ θήβας ἐγένετο πραγμάτων ἀρχὴ, καὶ κατάστασις πρώτη· εἶτα πρὶν ἐπαγαγεῖν, ὃ σφόδρα ἂν ἐποίησεν αὐτῷ τὸν λόγον λαμπρὸν καὶ σοφιστικὸν, λέγω τὸ, τοῦτο τὸ ψήφισμα τὸν τότε περιστάντα τῇ πόλει κίνδυνον παρελθεῖν ἐποίησεν ὥσπερ νέφος, διέκοψε καὶ ἧττον ἐποίησεν αὐτὸν φανῆναι λαμπρὸν, παρενθεὶς τὸ, τὰ πρὸ τούτων εἰς ἔχθραν καὶ μῖσος καὶ ἀπιστίαν τῶν πόλεων ὑπηγμένων ὑπὸ τούτων. μεγέθους μὲν οὖν μέχρι τοσούτου καὶ τοῦτον τὸν τρόπον προσεῖναι δεῖ τῷ λόγῳ τῷ ἀρίστῳ τῶν πολιτικῶν, δεινότητος δὲ τῆς μὲν καὶ οὔσης καὶ φαινομένης, ὡς ἐλάχιστον· τῆς δὲ ἐν μεθόδῳ κειμένης, πάμπολυ· περὶ ταύτης δὲ ἐν ἰδίᾳ πραγματευσόμεθα. τῆς δὲ φαινομένης μὲν δεινότητος, οὐ μὴν οὔσης, οὐδὲν, πλὴν εἰ τὰ λαμπρὰ καὶ ἀκμαῖα εἰς τοῦτο ἀναφέροι τις. τούτων δὲ ὁπόσων δεῖ μετεῖναι τῷ πολιτικῷ λόγῳ, προείρηται. κάλλος δὲ, ὅπερ ἔφαμεν εἶναι καθάπερ κομμωτικὸν, διόλου μὲν ἔχειν ὁ πολιτικὸς ὀφείλει, ἧττον δὲ ἐμφαινόμενον· οἷον ὅσα καὶ παρὰ δημοσθένει, καθάπερ ἐδείξαμεν ἐν τῷ περὶ κάλλους· ἔνθα μέντοι λογισμῶν δεῖ καὶ λεπτότητος, ἐνταῦθα καὶ πλεονάζειν προσήκει τοῖς τοῦ κάλλους

ῥυθμοῖς

ῥυθμοῖς καὶ ταῖς συνθήκαις καὶ ἀναπαύσεσιν. αἱ γὰρ ἐπιμέλειαι τῆς λέξεως, ταῖς πυκνότησι τῶν ἐννοιῶν ἐπιτήδειοι· καὶ τὸ καθαρὸν αὐτὸ τῆς συνθήκης τε καὶ ἀναπαύσεως ἀφαιρεῖται τῶν τοιούτων νοημάτων ἢ καὶ ζητημάτων τὸ ἄγαν αὐστηρόν, χάριν τινὰ προσβάλλον ἀφ' ἑαυτοῦ, καὶ διεγεῖρον τὸν ἀκροατήν, καὶ οὐκ ἐῶν ἄχθεσθαι τῇ πυκνότητι τῶν νοημάτων καὶ τῇ συνεχείᾳ· τοιαῦτα δέ τινα ἐν τοῖς λογισμοῖς κείμενα καὶ δυνάμεως λόγου δεόμενα. ἐπεὶ γάρ ἐστιν ἡ τοῦ λόγου δύναμις, τό, τὰ πολλὰ ἢ τὰ δυσχερῆ καὶ σκολιὰ τῶν νοημάτων, ἢ τὸ συναμφότερον δι' ἐλαχίστων σαφῶς εἰπεῖν, ἄνευ τοῦ προσπεσεῖν εἴς τινα κακίαν λόγου, οἷον εὐτέλειαν ἢ σκληρότητα, δεῖ τινὸς κάλλους τῇ βραχύτητι, ὃ δὴ ποιεῖ ἐπιμέλεια· πρὸς δὲ τούτοις μάχεσθαί πως τοῖς εὐπλεῖ τὸ ἐπιμελὲς καὶ μὴ διῃρημένον. ὥστε εἰ καὶ συμβαίνει διὰ λεπτότητα νοημάτων (ὃ δὴ πολλάκις πέφυκεν ἐν τοῖς τοιούτοις γίνεσθαι) καταφέρεσθαι τὸν λόγον εἰς εὐτέλειαν, ὀρθώσειας ἂν οὕτως αὐτὸν τοῖς τοῦ κάλλους σχήμασι καὶ τοῖς ῥυθμοῖς, ταῖς τε συνθήκαις καὶ ταῖς ἀναπαύσεσιν. ἀλλὰ ταυτὶ μὲν ἀκριβῶς ἐν τοῖς περὶ μεθόδου δεινότητος ἡμῖν λελέξεται, τό, πότε καὶ πῶς δεῖ πλεονάζειν ἔν τισι τῶν ἰδεῶν· νυνὶ δὲ ἁπλῶς περὶ πολιτικοῦ λεγομένου λόγου καὶ δημοσθενικοῦ ἐν τοῖς καθόλου, καὶ οὐ περί τινος δημοσθενικοῦ ἢ πολιτικοῦ. διαφέρει δὲ ἢ καθόλου τι λέγειν ἢ ἐπὶ μέρους· ἐπεὶ καὶ οἱ δημόσιοι λόγοι τοῦ ῥήτορος καὶ οἱ ἰδιωτικοί, καὶ πάλιν τῶν δημοσίων ὁ πρὸς Λεπτίνην, καὶ ὁ κατὰ Αἰσχίνου, δημοσθενικοὶ δήπουθέν εἰσιν ἅπαντες, διαφέρουσι δὲ ἀλλήλων πάμπολυ, τῷ, μὴ περὶ ταυτὸν εἶδος πλεονάσαι. εἰ δὲ καὶ ἄλλοις τισὶ πολλάκις εἴδεσιν· οἷον τραχύτητι ἢ ἐπιεικείᾳ ἢ ὅλως ἤθει ἢ τινι τῶν λοιπῶν, δι' αἰτίας τινὰς

ἐπὶ πλεῖον δεῖ χρῆσθαι, ἀλλ' ὅ γε ἁπλῶς δημοσθενικός καὶ πολιτικῶν κάλλιστος λόγος ἐκείνως, καὶ δι' ὧν ἐλέγομεν κράσεώς τε καὶ μίξεως γίνεται· πλεονάζοντος μὲν κατὰ ταυτὸν τύπου τοῦ τὴν σαφήνειαν ποιοῦντος, καὶ τοῦ ἠθικοῦ τε καὶ ἀληθινοῦ, καὶ μετὰ τούτους τοῦ γοργοῦ, τῆς τε περιβολῆς παραπλησίως τούτοις, τραχύτητός τε καὶ σφοδρότητος οὐ παραπλησίως τῇ περιβολῇ, κατὰ δεύτερον δὲ καὶ τρίτον λόγον· σεμνότητος δὲ καὶ λαμπρότητος, καὶ ἀκμῆς, ἔτι ἐνδεέστερον ἢ κατ' ἐκείνας· δεινότητος δὲ τῆς μὲν ἐν μεθόδῳ, μάλιστα· τῆς δὲ ἄλλης, ἥκιστα, ἢ ὡς ἐλάχιστα· κάλλους δὲ τοῦ κομμωτικοῦ, πλεονάζοντος μὲν ὁμοίως τοῖς πρώτοις, καὶ μάλιστα ὅτε δυνατῶς ἐξαγγεῖλαί τι δέοι, ἀνεμφάτως δὲ καὶ ἧττον ἔχοντος φανερὰν τὴν ἐπιτήδευσιν (διὰ γὰρ τούτων ἁπάντων οὕτω μιγνυμένων, ὁ κάλλιστός τε πολιτικὸς καὶ δημοσθενικὸς γίνεται) τούτου δὲ τοῦ λόγου τοῦ πολιτικοῦ ὁ μέν ἐστι συμβουλευτικός, ὁ δὲ δικανικός, ὁ δὲ πανηγυρικός. καὶ ὁ μὲν συμβουλευτικός, δῆλον ὡς ἐν τοῖς μέγεθος ποιοῦσι μᾶλλον πλεονάζει τύποις μετὰ τῆς καὶ οὔσης καὶ φαινομένης δεινότητος (δεῖ γὰρ καὶ φαίνεσθαι τοιοῦτον τὸ συμβουλευτικὸν διὰ τὸ ἀξιωματικὸν ὀφείλειν εἶναι, ἅμα ἔχοντα δηλαδὴ καὶ τὰ ἄλλα πάντα, ἃ τὸν κάλλιστον τῶν πολιτικῶν δεῖν ἔφαμεν ἔχειν λόγον) ἤθους δέ, πλὴν ὅσον ἐπὶ βαρύτητι καὶ τοῦ κατ' εἰρωνείαν σφοδροῦ, μετρίως μεθέξει. εἰ δέ τινες τῶν συμβουλευτικῶν, οἷον οἱ φύσει τοῦ ῥήτορος οὕτως ἐπιγραφόμενοι συμβουλευτικοί, πολὺ τὸ ἠθικὸν ἔχουσι καὶ τὸ ἐπιεικές, οὐ δεῖ θαυμάζειν τὸ εἰρημένον. νυνὶ γὰρ οὐ περὶ τῶν κατὰ μέρος λόγων χαρακτηρίζομεν (ὃ δὴ πολλάκις διεμαρτυράμεθα) ἀλλὰ περὶ τοῦ καθόλου διαφέροντος εἴδους ἐν λόγῳ συμβουλευτικῷ, ὁποῖόν ἐστι τὸ ἐν Φιλιππικοῖς. ὥστε

ἐν προσώπῳ τις ἰδιώτης, ἢ τι τοιοῦτον ἕτερον ἠνάγκασε κατελ-
θεῖν ἀπὸ τοῦ οἰκείου ἀξιώματος τὸν συμβουλευτικὸν λόγον εἰς
τὸ ἠθικώτερον, ὡς ἐν τῷ ὑπὲρ μεγαλοπολιτῶν, ἢ καί τῳ ἄλ-
λῳ, μηδὲν τοῦτο ἐμπόδιον εἶναι νομίζομεν πρὸς τὸ δεῖν τοιοῦτον
εἶναι τὸν ἄριστον τῶν συμβουλευτικῶν, ὁποῖον ἐχαρακτηρίζομεν,
ἀξιωματικὸν λέγω, καὶ οἷς εἴπομεν πλεονάζοντα (ἐκεῖνος γὰρ
οὐκ ἔτ' ἂν ἄριστος εἴη τῶν συμβουλευτικῶν, ὅ γε τῇ οἰκείᾳ φύσει
διά τι χρήσασθαι ἐμποδισθείς) εἰ δέ τις καὶ τῆς φιλιππικῆς φή-
σειε, διὰ τὸ τοῦ Φιλίππου πρόσωπον, μέγεθος λαβεῖν, ὅτι ἐ-
κεῖνος τὴν διαφορὰν ἐνεδέχετο καὶ σφοδρότητα, ἐννοείτω ὅσην καὶ
χωρὶς ἐκείνου τραχύτητα, καὶ ἄλλως ἀκμὴν κατὰ τῶν ἀθηναίων ἔ-
χουσιν οἱ λόγοι οὗτοι, καὶ παῤῥησίαν καὶ μέγεθος· πρὸς ἅπερ συλ-
λαμβάνειν μὲν καὶ τὸ τοῦ Φιλίππου πρόσωπον ἀνάγκη συγχωρεῖν,
οὐ μὴν τοσοῦτόν γε ὅσον αὐτὸ τὸ τῆς συμβουλῆς ἴδιον. περὶ δὲ
προσώπων καὶ καιρῶν, ὁ περὶ μεθόδου δεινότητος ἀκριβέστερον
ὑποδείξει λόγος. ἀλλ' ὁ μὲν κάλλιστος συμβουλευτικῶν, ὅπερ
ἔφαμεν, λόγων, τοιοῦτος· ὁ μέντοι δικανικῶν κάλλιστος, ἀνά-
παλιν ἔχει τούτῳ, εἰ μὴ περὶ δημοσίων εἴη καὶ μεγάλων πραγμά-
των, καὶ συμβουλῆς ἐγγύς· ὡς ὁ κατὰ ἀριστοκράτους ἔχει, καὶ ὁ ὑπὲρ
τοῦ στεφάνου, καὶ ὅσοι τοιοῦτοι. οὗτοι γὰρ σχεδὸν ὡσαύτως τῷ
συμβουλευτικῷ τύπῳ χαρακτηρίζονται. τάχα δ' ἂν οὐδὲ εἶναι
τούτους δικανικοὺς φύσει, νομίσειέ τις· ὁ μέντοι μὴ τοιοῦτος, ἀλλ'
αὐτὸ τοῦτο δικανικός, ὅπερ ἔφην, ἐναντίως ἔχει τῷ προειρημένῳ.
ἤθους τε γὰρ καὶ τοῦ κατ' ἐπιείκειαν καὶ ἀφέλειαν, πλεῖστον αὐ-
τῷ μετεῖναι δεῖ. βραχύτητος δὲ, ἢ τινος τῶν τοιούτων ἥκι-
στα μετέχει, ἢ ὅτι βραχύτητα. μέγεθος δὲ τὸ μὲν κατὰ τὴν πε-
ριβολὴν ἀπὸ ἐννοιῶν δέχεται (οὐ γὰρ ἀπό γε τῆς λέξεως ἢ τῆς

περὶ τὴν λέξιν ἢ καὶ τὴν μέθοδον τῆς ἐννοίας, πλὴν ὅσον ἐπ' ἐλάχιστον· τὰ δὲ κατὰ τὰς ἄλλας τοῦ μεγέθους ἰδέας, οὐκ ἔτι, πλὴν εἰ μή που τὴν κατὰ ἔννοιαν σφοδρότητα, ἤ που καὶ τὴν κατὰ λέξιν μετὰ σχημάτων τῶν περὶ αὐτήν· τοῖς δὲ λοιποῖς μέρεσι τοῦ πολιτικοῦ χρῆται καθάπερ καὶ ὁ συμβουλευτικός. καὶ τοιοῦτοί γε οἱ δημοσθενικοὶ δικανικοί, τουτέστιν οἱ ἰδιωτικοί· ὁ δὲ πανηγυρικῶν λόγων κάλλιστος, ἐν λέξει πεζῇ, οὐχ ὡς ἐν ζητήμασι πολιτικοῖς. ἀλλ' αὐτὸ τοῦτο πανηγυρικός, ὃς οὐδὲ πολιτικὸς ἴσως ἂν κληθείη, πάντων ἂν εἴη δήπουθεν ὁ πλατωνικός, ὥστε πάλιν, ὃ περὶ τοῦ καλλίστου πολιτικῶν λόγων λέγοντες ἔφαμεν, τὸν αὐτὸν τὸν δημοσθενικὸν τοῦτον ἀποφαίνοντες, τοῦτο καὶ νῦν περὶ τοῦ καλλίστου πανηγυρικῶν λόγων φαίημεν ἄν, τὸν αὐτὸν καὶ τοῦτον εἶναι τὸν πλατωνικόν, καὶ γὰρ ἐνταῦθα ὁμοίως ἀναστρέφει καθάπερ κἀκεῖ. ὅ τε γὰρ κάλλιστος πανηγυρικῶν λόγων ἐστὶν ὁ πλατωνικός, ὅ τε αὖ πλατωνικὸς λόγος, τῶν πανηγυρικῶν ἐστὶν ὁ κάλλιστος, ὡς ἐν λέξει πεζῇ, περὶ οὗ λεκτέον. περὶ γὰρ τοῦ πολιτικοῦ πανηγυρικοῦ, περὶ οὗ μετὰ τὸν περὶ συμβουλευτικοῦ καὶ δικανικοῦ λόγον φαίη τις ἂν εἰπεῖν προσήκειν, μικρὸν ὕστερον λέξομεν· οὐ γὰρ ἄλλως ἐγχωρεῖ. ὁ τοίνυν κάλλιστος πανηγυρικός, καὶ (ὅπερ ἔφαμεν) ὁ πλατωνικός, ταῖς μὲν τὸ μέγεθος ποιούσαις ἰδέαις πλὴν τραχύτητος καὶ σφοδρότητος γίνεται πάσαις· διήκειν δέ πως χρὴ διὰ τούτων τὴν ἀφέλειαν, μὴ ἐλαττουμένην αὐτῶν, ποσότητος ἕνεκα, πλὴν ὅπου καθαρῶς ἐξαίρειν τὸν λόγον εἰς σεμνότητα δεῖ. αἱ δὲ γλυκύτητες, εἴπερ ἄλλοθί που, καιρὸν ἐνταῦθα ἔχουσι μάλιστα, καὶ αἱ ὑπὸ μέλος, αἱ τὸν ἁβρὸν καὶ ὡραῖον ποιοῦσαι λόγον· δεινότητος δὲ ἡ μὲν κατὰ μέθοδον, ἥπερ ἥκιστά ἐστι φανερά, πάντως ὕπεστι καὶ τῷ πανηγυρικῷ· ἡ δὲ ἄλλη, ἐν

τούτῳ

τούτῳ γε, οὐδαμῶς, πλὴν ὅπου τὸ γε αὐτὸ ἐνδείξασθαι βού-
λεται πρόσωπόν τι τῶν παρ' αὐτῷ ποιούντων τὸν λόγον πανη-
γυρικόν· ὥσπερ τῷ πλάτωνι πεποίηται ὁ σωκράτης, ἐνδείξασθαι
δεινότητα λόγων τῷ φαίδρῳ βουλόμενος· καθὸ ἀντιπαρατίθη-
σι τὸν αὐτὸν τῷ λυσίου. ἤδη δὲ καὶ ἐν ἄλλοις πρὸς ἄλλους κατὰ
τὸ μιμητικὸν εἶδος τοῦ πανηγυρικοῦ λόγου φαίνεται τοῦτο πε-
ποιηκώς. ὁ γοργός γε μήν, ὡς ἐλάχιστον ἐν πανηγυρικῷ λόγῳ
ὁ λόγος εἶναι ὀφείλει· ἀφήγησις γάρ ἐστι σχεδὸν ἅπας· τοῖς δὲ
ἄλλοις εἴδεσιν ἢ καὶ μέρεσι τοῦ πολιτικοῦ, παραπλησίως χρῆται ὁ
πανηγυρικὸς λόγος, καθάπερ ὅ τε συμβουλευτικὸς καὶ ὁ δικα-
νικός. ἐν δὲ τοῖς ἀμοιβαίοις τῶν πανηγυρικῶν, ὃ δὴ καὶ αὐτὸ πο-
λὺ παρὰ τῷ πλάτωνί ἐστιν, ἤδη καὶ αἱ τραχύτητες καὶ αἱ σφο-
δρότητες ἔχον καιρὸν οὐκ ἐλάχιστον· ὥσπερ καὶ τὰ περὶ δεινότη-
τος εἴδη πάντα, καὶ τῶν γε τοῦ πώλου λόγων ἐν γοργίᾳ τινὲς
περὶ φαινομένης εἰσὶ καὶ οὐκ οὔσης δεινότητος· καὶ οὐ μόνον ταῦ-
τά γε τὰ εἴδη τὰ ἀμοιβαῖα, ἀλλὰ καὶ πάντα εἴδη δέχεται διὰ
τὸ μιμητικόν τε καὶ δραματικόν· καὶ οὕτως ὥστε κεχωρίσθαι πως
ἀπ' ἀλλήλων αὐτὰ καὶ μὴ κεκρᾶσθαι, ἀλλ' ἰδίᾳ μὲν ἔχειν εὑ-
ρεῖν ἀφέλειαν, ἰδίᾳ δὲ σεμνότητα, ἰδίᾳ δὲ ἕκαστον τῶν λοιπῶν.
ἔστι δὲ οὖν καὶ εὔζωνον καὶ οἷον εὐτελὲς εἶδος τοῦ λόγου. αἱ γὰρ
μιμήσεις τῶν προσώπων καὶ τούτῳ χώραν ἤδη δεδώκασι, καὶ
ὡς μὲν ἐν λογογραφίᾳ τοιοῦτον εἶδος εἶναι δεῖ τὸ πανηγυρικόν, ὡς
δὲ ἐν ζητήμασι πολιτικοῖς, ἔνθα τοῦ πολιτικοῦ πανηγυρικοῦ εἴδους δεῖ,
περὶ οὗ μικρῷ πρότερον ἐπηγγειλάμην ἐρεῖν. ἔστι γάρ τινα καὶ πο-
λιτικὰ ζητήματα καὶ πανηγυρικά· οἷον, εἰ περὶ τῆς προπομπείας
ἀμφισβητοῖεν ἀθηναῖοι καὶ λακεδαιμόνιοι μετὰ τὰ μηδικά, ἢ
ὅσα τοιαῦτα, ὡς ἐν τοῖς τοιούτοις ζητήμασιν, οὐκ ἔτι ὁμοίως ὁ

πανηγυρικός, ἀλλὰ πολιτικώτερος γίνεται, ἢ καὶ σχεδὸν δι᾽ ὧν περ καὶ ὁ συμβουλευτικός, μᾶλλόν γε μὴν ἐνταῦθα ἢ ἐκεῖ, ἥ τε λαμπρότης καὶ ἡ σεμνότης πλεονάζειν ὀφείλουσιν. ἐπανιτέον δὲ πάλιν ὅθεν ἐπὶ τοῦτο ἐξέβημεν. ὁ μὲν γὰρ πολιτικὸς πανηγυρικός, τοιοῦτος, τῶν δὲ κατὰ λογογραφίαν πανηγυρικῶν ὄντος κάλλιστος, ὁ πλατωνικός, καὶ τοῦτον παράδειγμα φαίημεν ἂν ἡμεῖς εἶναι τὸ ἄριστον τοῖς βουλομένοις τε καὶ δυναμένοις πανηγυρικὸν λόγον ἐργάζεσθαι· ὡς δ᾽ ἐν ποιήσει. πανηγυρικὸν γὰρ πρᾶγμα δήπουθέν ἐστι ποίησις ἅπασα, καὶ πάντων γε λόγων πανηγυρικώτατον. ὡς οὖν ἐν ταύτῃ καὶ τί τὸ κράτιστον κατὰ ταύτην εἶδος (τοῦτο γὰρ δὴ χαρακτηριστέον ἡμῖν κἀνταῦθα πρῶτον ὥσπερ καὶ τὰ ἄλλα πάντα τῶν γενικῶν εἰδῶν ἐχαρακτηρίζομεν, ἀπὸ τῶν καλλίστων χαρακτηρίζοντες οὐχ ὅμοια) ἡ διοίκησις· ἀλλὰ προσεῖναι δεῖ πολλὰ καὶ ἄλλα τοῖς περὶ λόγου πανηγυρικοῦ προειρημένοις ἅπασιν, ἃ δὴ καὶ ἴδιά τις ἂν εἶναι φαίη ποιήσεως, περὶ ὧν λεκτέον. ἀνάγκη δὲ πάλιν ταυτὸν εἰπεῖν, καὶ τὴν αὐτὴν ἀναλογίαν σῶσαι κἀνταῦθα τοῖς ἔμπροσθεν κατὰ τῆς γεωμετρίας. ὅπερ γὰρ ἦν ὁ δημοσθένης ἡμῖν κατὰ τὸν πολιτικὸν λόγον ἔν τε τῷ συμβουλευτικῷ καὶ δικανικῷ, καὶ ὁ πλάτων ἐν τῷ πεζῷ πανηγυρικῷ, τοῦτ᾽ ἂν ὅμηρος εἴη κατὰ τὴν ποίησιν· ἢν δή, πανηγυρικὸν λόγον ἐν μέτρῳ λέγων εἶναί τις, οὐκ οἶδα εἰ διαμαρτήσεται. ἐπεὶ κἀνταῦθα ὁμοίως ἀναστρέφει τὸ πρᾶγμα, καθάπερ ἀνέστρεφεν ἐπ᾽ ἀμφοῖν κἀκεῖ. ἀρίστη τε γὰρ ποιήσεων ἡ ὁμήρου, καὶ ὅμηρος ποιητῶν ἄριστος. φαίην δ᾽ ἂν ὅτι καὶ ῥητόρων καὶ λογογράφων, λέγω δ᾽ ἴσως ταυτόν. ἐπεὶ γάρ ἐστιν ἡ ποίησις μίμησις ἁπάντων, ὁ δὲ μετὰ τῆς περὶ τὴν λέξιν κατασκευῆς ἄριστα μιμούμενος καὶ ῥήτορας δημηγοροῦντας, καὶ κιθαρῳ-

δὲ τοὺς πανηγυρίζοντας, ὥσπερ τὸν Φήμιον καὶ τὸν Δημόδοκον, καὶ τὰ ἄλλα πρόσωπά τε καὶ πάντα πράγματα, οὗτος ἄριστός ἐστι ποιητής. ἐπειδὴ οὖν ταῦθ' οὕτως ἔχει, τάχ' ἂν ταὐτὸν εἰρηκὼς εἴην, εἰπὼν εἶναι ποιητῶν ἄριστον, ὡς εἰ καὶ ῥητόρων ἄριστον καὶ λογογράφων ἔλεγον. στρατηγῶν μὲν γὰρ ἢ τεκτόνων ἢ τῶν τοιούτων ἴσως οὐκ ἄριστος. καί τοι καὶ τὰ τοιαῦτα, ἄριστα μιμούμενος. ἀλλ' οὐ λόγος ἐκείνοις. ἡ τέχνη οὐδὲ ἐν λόγοις· οἷς δέ ἐστιν ἐν λόγῳ τὸ ἔργον, οἷον ῥήτορσι λέγω καὶ λογογράφοις, ὁ τούτους ἄριστα μιμούμενος καὶ λέγων, ὥσπερ ἂν ὁ ἐκείνων ἄριστος εἴποι, πάντως ἂν εἴη καὶ αὐτὸς ἐκείνων ἄριστος. ἄριστος οὖν κατὰ πάντα λόγων εἴδη καὶ ποιητῶν ἁπάντων, καὶ ῥητόρων καὶ λογογράφων Ὅμηρος. καὶ γὰρ μεγέθη καὶ ἡδονὰς καὶ ἐπιμελείας καὶ δεινότητας, καὶ (τὸ μέγιστον) κρίσεως μίμησιν ἐναργῆ καὶ πρέπουσαν τοῖς ὑποκειμένοις, κἂν τοῖς κατὰ λέξιν καὶ ταῖς εἰσαγωγαῖς τῶν προσώπων, καὶ μύθων διατυπώσεις καὶ μέτρων διαφόρους τομάς, δι' ὧν καὶ διαφορά πως συμβαίνει γίνεσθαι τὰ μέτρα, καὶ ταῦτα ἐν δέοντι καὶ κατὰ λόγον μεταβαλλόμενα πρός τὸ καὶ τό, φύσει πάντων ἄριστον μέτρον προκεκρῖσθαι· καὶ ὅλως τὸ ποικίλον καὶ δι' ἁπάντων ἓν ὅτι κάλλιστον ὁ μάλιστα ἐργασάμενος, παρὰ πάντας ποιητὰς οὗτός ἐστιν. ἱκανὰ μὲν οὖν καὶ ταῦτα, τήν τε ἀρίστην ποίησιν, καὶ αὐτὸν Ὅμηρον χαρακτηρίσαι· ἵνα δὲ συντελέστερον ᾖ τὸ λεγόμενον, ἐπὶ τὸ ἐξ ἀρχῆς ἐπανέλθωμεν. ὁ τοίνυν ὡς ἐν ποιήσει λόγος ἄριστος πανηγυρικὸς γίνεται διά τε τῶν προειρημένων περὶ πανηγυρικοῦ λόγου, πάντων τε ὡσαύτως, καὶ ἔτι διὰ τῶν ἰδίων κρίσεων παρὰ τὰ προειρημένα, οἷς ὁ μὲν δικανικὸς καὶ συμβουλευτικὸς ἥκιστα χρῆται, ἢ ὅτι σπανιώτατα. καὶ οὕτω δὲ οὐκ ἅπασιν, ἀλλά τισιν· ὁ δὲ ἐν τῷ καταλογάδην πανηγυρικὸς, χρῆται μὲν χεδὸν

ἅπασιν, ἀλλὰ μετά τινος παραμυθίας, καὶ οὐχ ἁπλῶς. ἔστι δὲ ἴδια ποιήσεως παρὰ τὸν ἄλλον λόγον πάντως μὲν πού καὶ τὰ μέτρα, τά τε ὁμολογούμενα, καὶ ὑπ' αὐτῆς ψιλῆς τῆς ἀκοῆς κρινόμενα, μάλιστα δὲ ποιήσεως ἴδια, αἵ τε μυθικαὶ ἔννοιαι πᾶσαι, οἷον τὰ περὶ κρόνου καὶ τιτάνων, καὶ ἔτι γιγάντων, καὶ διὸς αὐτοῦ, καὶ τῶν ἄλλων θεῶν ἀνθρωποπαθῶς λεγόμενα, ὡς ἐγένετο καὶ ὅσα ἔπραξαν ἢ πράττουσιν αὐτοί τε πρὸς ἑαυτοὺς καὶ πρὸς ἀνθρώπους, καὶ ἔρωτες αὐτῶν, καὶ πόλεμοι, καὶ φιλίαι, καὶ γοναὶ, καὶ τροφαὶ, καὶ ὅσα τοιαῦτα· πρὸς δὲ ταύταις ὅσα περὶ ἀνθρώπων ἢ τινων ἄλλων ζώων παραδοξολογοῦσιν· οἷον, ὡς κάδμος δράκων ἐγένετο ἐξ ἀνθρώπου· καὶ ὡς ἀλκυὼν ὄρνις, καὶ ὅσα περί ἀηδόνων ἢ χελιδόνων λέγουσι. ταύτης δὲ τῆς ἰδέας καὶ τὸ, γυναῖκας ἐξ ἀνδρῶν ποιεῖν, ὡς τὸν τειρεσίαν, καὶ ἄνδρας ἐκ γυναικῶν, ὥσπερ τὸν καινέα· τοιοῦτον δὲ καὶ τὸ, περὶ τοὺς ἀνθρώπους λέγειν ὡς ἔφυσαν· καὶ ὅλως σύνθετά τινα ζῶα ἢ ἐκτράπελα· οἷον, πήγασοι, καὶ γοργόνες, καὶ κένταυροι, καὶ σειρῆνες, καὶ τρίτονες, καὶ λαιστρυγόνες, καὶ κύκλωπες, καὶ περσεύς, καὶ ὅσα τοιαῦτα. μυθικὰ δὲ κἀκεῖνα καὶ ποιητικὰ τὰ ὑπερβάλλοντα μὲν ἀνθρώπου φύσιν, ὑπὸ ἐκείνων δὲ τερατολογούμενα, ὡς γεγονότα καὶ πιστεύεσθαι ἄξια· οἷον, ὅτι ἀχιλλεὺς τοσόνδε ἐπήδα, καὶ ὅτι ὁ αἴας ἢ ὁ ἕκτωρ τηλικοῦτον ῥαδίως ἐρρίπτει λίθον, καὶ ὅτι τηλικοίδε ἦσαν, καὶ ὅλως τὰ τοιουτότροπα ποιητικὰ, καὶ τὸ τὰ ἄψυχα τοῖς θεοῖς μετ' αἰσθήσεώς τινος ὑπουργεῖν φάσκειν· οἷον, αὐτόματοι δὲ πύλαι μύκον οὐρανοῦ· καὶ τὸ, τοῖσι δ᾽ ὑπὸ χθὼν δῖα φύε. καὶ ὅλως τὸ τὰ ἀδύνατα καὶ ἄπιστα τερατεύεσθαι. τὸ μέν τοι, ἄταλε δὲ κήτε ὑπ' αὐτοῦ, καὶ ὅσα τοιαῦτα, ποιητικὰ μὲν καὶ ἡδέα, ὡς ἐν τῷ περὶ γλυκύτητος ἡμῖν εἴρηται,

ἧττον

ἧττον δὲ ἔχει τερατολογίας· πλὴν εἰ τύχοι ἵππους αὐτοῖς ἤ τινα ἄλλα ζῶα φωνὰς ἀνθρωπίνας προΐεσθαι, ὡς λίαν μυθικά τις ἐστὶ ποιητικὰ εἶναι λέγοι. ἀφελὲς δὲ καὶ ποιητικὸν ὁμοῦ, καὶ τὸ λεπτῶς εἰς τὰ κατὰ μέρος ἰέναι· οἷον, κνίση δ' οὐρανὸν ἷκεν ἑλισσομένη περὶ καπνῷ· καὶ ὅτι ὁ δεῖνα τὸν δεῖνα οὑτωσὶ ἀπέκτεινε· καὶ ὅτι κύμβαχος ἐν κονίῃ πέσε· καὶ ὅτι ἀσθμαίνων· καὶ ὅσα τοιαῦτα. ἐν μὲν γὰρ ποιήσει χρήσιμα, ἐν ἱστορίᾳ δὲ εὐτέλειαν ποιεῖ, πλὴν ἔνθα ἂν ἀφελῶς τις πάνυ βούλοιτο τὴν ἱστορίαν γράφειν. ἀφελῆ γὰρ καὶ ἡδέα ὁμοῦ τὰ κατὰ μέρος. ἴδιαι μὲν οὖν ἔννοιαι ποιήσεως αὗται παρὰ τὰς ἄλλας ἐννοίας τοῦ λόγου τοῦ πανηγυρικοῦ, αἵπερ εἰσὶ καὶ αὐταὶ ποιήσεως οἰκεῖαι, μέθοδος δὲ αὖ ποιήσεως ἰδία πάλιν παρὰ τὰς τοῦ πανηγυρικοῦ λόγου μεθόδους μία, τὸ μὴ παρ' ἑαυτῶν δοκεῖν λέγειν ἅττ' ἂν λέγωσι· τὰς μούσας δὲ παρακαλεῖν, ἢ τὸν ἀπόλλωνα, ἤ τινα ἄλλον θεόν, κἀκείνου ποιεῖν δοκεῖν εἶναι τὸν λόγον ἴδιον. πάλιν δὲ αὖ ταύτῃ ὁ μὲν συμβουλευτικὸς ἢ δικανικὸς ἥκιστα χρήσεται, ὁ δὲ πανηγυρικός, μετά τινος παραμυθίας· λέξις γε μὴν φανερὰ πᾶσιν ἥτις ἐστὶν ἡ ποιητική, καὶ ὡς τῶν κατὰ ποίησιν καλλίστη λέξεων, ἡ ὁμήρου· καθαρὸς γὰρ ὡς ἐν ποιήσει κινδυνεύει μόνος, ἢ σύν γε ἡσιόδῳ, κατ' αὐτὴν εἶναι. σχήματα δὲ ἴδια ποιήσεως, οὐκ ἔστιν, ὥσπερ ἦν νοήματα καὶ μέθοδός τις ἐστὶ λέξις, ἀλλὰ τὰ αὐτὰ ἔχει ταῦτα τῷ πανηγυρικῷ· κατὰ δὲ τὸ μιμητικόν, ὡς ἂν τὰ εἴδη τῶν λόγων ἀπαιτῇ· κῶλά γε μὴν ἴδια ποιήσεως ἐστὶ συνθῆκαι, ῥυθμοί τε καὶ ἀναπαύσεις, ῥᾴδιον μὲν εἰπεῖν ὅτι τὰ μέτρα, καὶ ὡς ἀληθές γε τοῦτο κατιδεῖν ἕως ἐφ' ἑαυτῆς ἡ ποίησις μόνη ψιλή, ὅταν δὲ περὶ ὁμήρου λέγωμεν, ἀνάγκη προστιθέναι ὅτι τόδε τὸ μέτρον· καὶ τοῦτο δὲ οὐχ ἁπλῶς, ὅτι ἑξάμετρον

δακτυλικὸν καταληκτικόν· οὐδὲ ὅτι ἥδε ἡ ὁμηρικὴ ἀνάπαυσις, ἢ ὅδε ὁ ῥυθμός, ἢ ἥδε ἡ συνθήκη, ἀλλ᾽ ὥσπερ καὶ περὶ τῶν σχημάτων ἐν τοῖς κατὰ μίμησιν ἐλέγομεν, οὕτω συμβαίνει τοῦτο κἀνταῦθα γίνεσθαι. ὅταν γὰρ ἢ διάθεσιν ἐμπαθῆ τοῦ λέγοντος προσλάβῃ ὁ ποιητής, ἢ τι ἄλλο προσώπου ἦθος μιμῆται, ἢ καὶ αὐτὸς ἀφ᾽ ἑαυτοῦ τοιόνδε τι ἢ τοιόνδε πρᾶγμα ἐξαγγέλλῃ, ἀνάγκη τὰς προσηκούσας ἐνταῦθα καθ᾽ ἕκαστον γίνεσθαι κατὰ τὰ εἴδη τῶν λόγων ἀναπαύσεις καὶ βάσεις καὶ συνθήκας καὶ ῥυθμούς, οἷον σεμνοὺς ἢ τραχεῖς ἢ ἀφελεῖς ἢ περικαλλεῖς καὶ ἐπιμελεῖς, ἢ ὅσα εἴδη ῥυθμῶν τε καὶ λόγων ἐλέγομεν. τοῦτο δὲ συμβαίνει μάλιστα μὲν καὶ διὰ τὸ πλῆθος τῶν τοῦ ἑξαμέτρου σχημάτων (ἔστι γὰρ αὐτοῦ σχήματα δύο καὶ τριάκοντα, ὡς διδάσκουσιν ἡμᾶς οἱ γραμματικοί), ἔπειτα καὶ διὰ τὴν ποιὰν ἀνάπαυσιν, ὃ καὶ μέγιστον ἐν τοῖς τοιούτοις. ἐξίσταται γὰρ καὶ τοῦ οἰκείου πολλάκις τὸ μέτρον ῥυθμοῦ, καὶ τὰς ποιὰς τῶν στίχων τομὰς καὶ ἀναπαύσεις ἐννοιῶν κατὰ κῶλα. τὸ γοῦν, αὐτὸς δ᾽ ἑλώρια τεῦχε κύνεσσιν, ἀναπαιστικόν πως ἐστί, γινομένης ἀναπαύσεως ἐν τῷ δ᾽ ἡρώων· διότι δὲ ἢ τοῦτον ἐλέησεν αὐτῷ ἐνταῦθα, ἢ ἑτέρωθί που ἄλλων τινῶν ῥυθμῶν, οὐ χαλεπῶς ἐπιγνοίη ἂν ὁ τὰ προειρημένα πάντα περὶ τῶν ἰδεῶν ἁπασῶν τοῦ λόγου ὀρθῶς ἐπεσκεμμένος, καὶ ἔτι τὸν περὶ δεινότητος μεθόδου, ὃς μετὰ τήνδε ἡμῖν τὴν πραγματείαν τέτακται. νυνὶ δὲ ἤδη περὶ τῶν μετὰ τούτους τοὺς προειρημένους ἄνδρας τρεῖς, ὑφ᾽ ἑκάστῳ τούτων τεταγμένων, καὶ οἷον τὰ δεύτερα καὶ τρίτα φερομένων, καθ᾽ ἕκαστον ἐκείνων ἐν τοῖς κατ᾽ αὐτοὺς εἴδεσι λεκτέον· καὶ πρῶτόν γε περὶ τῶν πολιτικῶν. δεῖ δὲ ἀναγκαίως πρότερον εἰπόντα διὰ βραχέων τίς ὁ ἁπλῶς πολιτικὸς λόγος, οὐχ ὁ δημοσθενικὸς ἢ τοῦ ἄλλου,

ἀλλ᾽

ἀλλ' ἁπλῶς ὁ πολιτικός· καὶ τίς ὁ ἁπλῶς πανηγυρικός, ἀλλ'
οὐχ ὁ κάλλιστος πανηγυρικός, ἢ πλατωνικός, ἢ ὁμηρικός, οὕτω
καὶ περὶ τῶν καθ' ἕνα λόγου ἀξίων ἀνδρῶν διὰ βραχέων χαρα=
κτηρίσαι. περὶ γὰρ τοῦ δικανικοῦ ἱκανῶς εἴρηται. ἀλλὰ πρότε
ρόν γε περὶ τοῦ ἁπλῶς πολιτικοῦ, ὅπερ ἐλέγομεν, ῥητέον. ὁ
τοίνυν, ἁπλῶς εἰπεῖν, λόγος πολιτικὸς γίνεται μὲν διά τε τῶν
τὴν σαφήνειαν ποιουσῶν κατὰ τὸν λόγον ἰδεῶν, καὶ τοῦ κατ' ἐπιεί=
κειαν καὶ ἀφέλειαν ἤθους, καὶ ἔτι τῆς τὸν ἀληθινὸν ποιούσης λό=
γον ἰδέας, ὃ δή ἐστι τοῦ πιθανοῦ· δεῖ δὲ ταῦτα, ὡς ἓν ἀκούειν
πάντα. ἐκ γὰρ τῆς μίξεως τούτων καὶ οἷον ἑνώσεως, ὁ ἁπλῶς
πολιτικὸς γίνεται λόγος· οὗ δὴ καὶ πάντες μετέχουσιν, οὓς ὀ=
νομάζομεν πολιτικούς, πλὴν ἴσως τοῦ ἰσοκράτους· κατά τι πλεῖ=
στόν γε μὴν αὐτοῦ μέτεστι λυσίᾳ τε, καὶ ἰσαίῳ, καὶ ὑπερίδῃ.
διὸ δὴ καὶ μάλιστά εἰσι πιθανοί. διαφέρουσι δὲ οὗτοι ἀλλήλων,
ὅτι τῷ μὲν λυσίᾳ μετὰ τούτων καὶ τὰ τῆς ἐπιμελείας μετρίως
ὕπεστι, καὶ τὸ τοῦ κόσμου σφόδρα ἀνεμφάτως· γοργότητος δὲ
ὡς ἐλάχιστον· περιβολῆς δὲ τῆς μὲν κατ' ἔννοιαν μετρίως πως· τῆς
δὲ κατὰ μέθοδον, ἢ λέξιν, ἢ τὰ ἑπόμενα ταύτῃ, σχεδὸν οὐδ' ὅλως·
καὶ τῶν ἄλλων δὲ ἃ τὸν ἀξιωματικὸν ποιεῖ λόγον, ὡς ἐλάχιστον αὐ=
τῷ μέτεστι· πλεῖστόν γε μὴν δεινότητος ἔχει τῆς κατὰ μέθοδον.
τῷ δὲ ἰσαίῳ πρὸς ἐκείνοις, ἃ τὸν ἁπλῶς ποιεῖ πολιτικὸν λόγον, πολὺ
τὸ τῆς γοργότητος, ὡς ἐγγὺς εἶναι τοῦ καλλίστου λόγου τῶν πολιτικῶν·
καὶ τὸ ἐπιμελές, περιττότερον ἢ κατὰ λυσίαν· περιβολή τε ὡσαύτως
καὶ τὰ λοιπὰ τοῦ μεγέθους εἴδη, καὶ πού τις καὶ ἀκμῆς ἔμφασις· ὡς ἀπολεί
πεσθαι μὲν τοῦ δημοσθενικοῦ κατὰ ταῦτα οὐκ ὀλίγῳ, ὑπερβάλλειν δὲ καὶ
πολλῷ τὸν λυσίαν. δεινότης δὲ ἡ κατὰ μέθοδον πολλὴ μὲν καὶ παρὰ τού
τῳ, δεινότερος δὲ ὁ λυσίας. ὁ δ' αὖ ὑπερίδης τοῦ μὲν ἐπιμελὲς ἥκιστα ἔχει,
διὸ

διὸ καὶ ἧττον δυνατὸς εἶναί πως δοκεῖ. μέγεθος δὲ αὐτῷ ἐστὶν ὑπέρογκον, σκληρὸν δὲ τοῦτο καὶ οὐ κεκραμένον, ὥστε μὴ σφόδρα ἐν τῷ καθαρῷ τε καὶ ἠθικῷ κεκρᾶσθαι· κίνησις δὲ καὶ γοργότης σχημάτων πάνυ ὀλίγοι παρὰ τούτῳ· δεινότης δὲ ἡ κατὰ μέθοδον, ἔστι μὲν καὶ παρὰ πᾶσι τοῖς ἄλλοις ῥήτορσι, καὶ παρὰ τούτῳ, ἔλαττον δὲ ἢ κατὰ τὴν παρὰ τῷ Λυσίᾳ τε καὶ Ἰσαίῳ, καὶ ἔτι τῷ κορυφαίῳ αὐτῶν, λέγω τῷ Δημοσθένει· παρὰ δὲ Ὑπερείδῃ κἀκείνην εὕροι τις ἂν τὴν δεινότητα, ἣ καὶ φαίνεται, καὶ ἐστὶν, οὐχὶ τὴν κατὰ μέθοδον μόνην· σπανίως μέν τοι, ὅπου γε παρὰ τῷ Δημοσθένει σπάνιον τοῦτο, ἴδιον δὲ Ὑπερείδου τὸ καὶ ταῖς λέξεσιν ἀφελέστερόν πως καὶ ἀμελέστερον χρῆσθαι, ὥσπερ ὅταν μονώτατος λέγῃ, καὶ γαλεάγρα, καὶ ἐκκονύζειν, καὶ ἐστηλοκόπηται, καὶ ἐπήβολος, καὶ ὅσα τοιαῦτα. ἀλλ' οὗτοι μὲν ταύτῃ διαφέρουσιν ἀλλήλων, λέγοιμεν δὲ ἂν ἤδη καὶ περὶ τῶν λοιπῶν, ᾗπερ ἕκαστος αὐτῶν ὁ αὐτὸς ὢν τοῖς ἄλλοις κατὰ τὸν πολιτικόν, ἕτερος αὐτῶν ἰδίοις τισὶν ἑτέροις γίνεται, δηλαδὴ τῷ πλεονάζειν περί τι λόγων εἶδος, ἢ (τοὐναντίον) ἐλάττονι χρῆσθαι τούτῳ, ἢ καὶ μέσως πως. καὶ πρῶτόν γε περὶ τοῦ Ἰσοκράτους λεκτέον. ὁ τοίνυν Ἰσοκράτης ἕνεκα μὲν καθαρότητος καὶ εὐκρινείας, αἳ δὴ τὸν σαφῆ ποιοῦσι λόγον ἰδέαι, πολιτικώτατός ἐστι πάντως, ἤθους δὲ καὶ ἀληθείας ἀμοιρῶν, ἧττόν ἐστι πιθανός· τῇ ἐπιμελείᾳ μέν τοι καὶ κόσμῳ περιττεύει, μεγέθει τε ὡσαύτως, πλὴν ὅτι τὴν σφοδρότητα ἢ τραχύτητα, ἤν που καὶ χρῶτο ταύταις, τῇ ἐπιμελείᾳ ἔκλυε, καὶ τὴν περιβολὴν δὲ ἧττον ἐν τοῖς περὶ τὴν λέξιν ποιεῖ καὶ τὴν μέθοδον, τοῖς κατ' ἔννοιαν δὲ μάλιστα περιβάλλει· γοργότητος δὲ οὐδὲν ὅλως παρὰ τούτῳ· πλέον γὰρ (εἰ καὶ δυσχερὲς εἰπεῖν) τὸ ὕπτιόν τε καὶ ἀναβεβλημένον παρ' αὐτῷ· καὶ ὅλως τὸ πρεσβυτι-

κὸν

κὸν καὶ διδασκαλικόν. τῷ δὲ, φύσει ἀληθείας ἀμοιρεῖν καὶ ταῖς ἐργασίαις, περιττός ἐστιν, ὥσπερ ἐπίδειξιν εὑρέσεως ἐννοιῶν ποιούμενος, καὶ πολλὰ οὐ χρησίμως λέγων. δῆλον δὲ ἐξ ὧν εἰς τὰς αὐτὰς ὁ ῥήτωρ ἐμπεσὼν ἐννοίας αὐτῷ, οὐχ ὁμοίως ἐχρήσατο ταῖς ἐργασίαις καὶ πίστεσι. πολλὰ δὲ τούτου τὰ παραδείγματα· καταφανέστερον μέν τοι ὃ λέγω γίνεται ἔκ τε τοῦ προοιμίου τοῦ τετάρτου τῶν φιλιππικῶν· οἷον, εἰ μὲν περὶ καινοῦ τινὸς πράγματος προὐτίθετο, καὶ τὰ ἑξῆς· καὶ τοῦ ἀρχιδάμου. περὶ αὐτῆς γὰρ οὔσης προτάσεως, ὅτι δεῖ τῶν νεωτέρων πρὸ τῶν πρεσβυτέρων ἀνισταμένων ἀνέχεσθαι, ὁ μὲν ὥσπερ θέσιν τινὰ ὁ ἰσοκράτης διὰ πλειόνων κατεσκεύασεν, ὁ δὲ μιᾷ ἠρκέσθη κατασκευῇ. εἰ δέ τι καὶ ἄλλο ἔχει τὸ προοίμιον τοῦ λόγου, τούτου ὑπαίτιον, ἑτέρου καιροῦ ἐξετάζειν. ἡ μέν τοι κατὰ μέθοδον δεινότης, ἐστὶν οὐκ ὀλίγη παρὰ τούτῳ. ταῦτα καὶ περὶ ἰσοκράτους.

Ὁ δὲ δείναρχος πολιτικὸς ὢν, ὡς οἷα σαφὴς καὶ ἀληθὴς καὶ πιθανός, πολὺ τὸ σφοδρὸν ἔχει καὶ τὸ τραχὺ, κατά τε τὴν ἔννοιαν καὶ τὴν μέθοδον· κατὰ δὲ αὐτὴν τὴν λέξιν, ἧττόν ἐστι σφοδρός· κατὰ μέν τοι τὰ περὶ τὴν λέξιν, οἷον σχήματα, κῶλα, συνθήκας, ἀναπαύσεις, ῥυθμοὺς, καὶ πάνυ σφοδρός τε καὶ τραχύς ἐστι· διὸ καὶ ἧττον ἐμμελὴς ὁ λόγος αὐτῷ. γοργὸς μέν τοι καὶ δεινὸς, οὐ μετρίως· μᾶλλον δὲ εἶναι δοκεῖ, ἢ ἐστὶ δεινὸς, διὰ τὸ περὶ τοιαύτης μετέχειν δεινότητος μᾶλλον. καθόλου τε, ὁ ἀνὴρ ἐμφαινόμενον ἔχει πολὺ τὸ δημοσθενικὸν, διὰ τὸ τραχὺ, καὶ γοργὸν, καὶ σφοδρόν· ὥστ᾽ ἤδη τινὲς καὶ προσπαίζοντες, αὐτὸν οὐκ ἀχαρίτως, κρίθινον δημοσθένην εἰρήκασι. ταῦτα καὶ περὶ δεινάρχου.

Ὁ δὲ αἰσχίνης, πολιτικὸς μέν ἐστι, εἴπερ ἕτερός τις, σοφιστικὸς δὲ καὶ γαῦρος, καὶ τῷ μεγέθει μετὰ τοῦ κατὰ σχῆμα κάλλους

TTT πλεο

πλεονάζων· οὐ γὰρ διὰ τοῦ μετὰ παντὸς ἐπιμελοῦς. ἐπεὶ τούτου γε αὐτῷ τοῦ κόσμου βραχύ τι μέτεστι, καὶ δι' ὀλίγου μὲν ἐστὶν ἐπιμελής, ἀμελέστερος δὲ καὶ ἀτονώτερός πως· ταῖς δὲ ἠθικαῖς ταῖς κατ' ἐπιείκειαν χρώμενος οὐκ ὀλίγῳ, τῆς πίστεως τῆς ἀληθοῦς ἧττον μετέχει. διό, καίτοι πολλῇ τῇ σφοδρότητί τε καὶ τραχύτητι χρώμενος, ἔστιν οὗ τόνον οὐδένα ἔχει διὰ τὸ μὴ πεπονθότως μηδὲ ἀληθινῶς προφέρεσθαι τὸν λόγον. ταυτὸ δὲ αἴτιον καὶ τοῦ μὴ πάνυ γοργὸν μηδὲ εὐκίνητον εἶναι. Δεινότης δὲ ἡ κατὰ μέθοδον μέν, ἔστιν οὐκ ὀλίγη παρ' αὐτῷ, ἡ δὲ φαινομένη τε ὁμοῦ καὶ οὖσα, ἀναγκαίως ἐκ τῶν προειρημένων. περὶ δὲ ἀντιφῶντος λέγοντας, ἀνάγκη προειπεῖν, ὅτι καθάπερ ἄλλοι τέ φασιν οὐκ ὀλίγοι, καὶ δίδυμος ὁ γραμματικός· πρὸς δέ, καὶ ἀπὸ ἱστορίας φαίνεται, πλείους γεγόνασι μὲν ἀντιφῶντες, δύο δὲ οἱ σοφιστεύσαντες, ὧν καὶ λόγον ἀνάγκη ποιήσασθαι· ὧν εἷς μέν ἐστιν ὁ ῥήτωρ, οὗπερ οἱ φονικοὶ φέρονται λόγοι, καὶ δημηγορικοί, καὶ ὅσοι τούτοις ὅμοιοι. ἕτερος δὲ ὁ καὶ τερατοσκόπος καὶ ὀνειροκρίτης λεγόμενος γενέσθαι, οὗπερ οἵ τε περὶ τῆς ἀληθείας λέγονται λόγοι, καὶ ὁ περὶ ὁμονοίας, καὶ οἱ δημηγορικοί, καὶ ὁ πολιτικός· ἐγὼ δέ, ἕνεκα μὲν τοῦ διαφόρου τῶν ἐν τοῖς λόγοις τούτοις ἰδεῶν, πείθομαι δύο τοὺς ἀντιφῶντας γενέσθαι (πολὺ γὰρ ὡς ὄντως τὸ παραλλάττον τῶν ἐπιγραφομένων τῆς ἀληθείας λόγων πρὸς τοὺς λοιπούς), ἕνεκα δὲ τοῦ καὶ παρὰ πλάτωνι καὶ παρ' ἄλλοις ἱστορουμένου, πάλιν οὐ πείθομαι. θουκυδίδην γὰρ ἀντιφῶντος εἶναι τοῦ ῥαμνουσίου μαθητήν, ἀκούω πολλῶν λεγόντων· καὶ τὸν μὲν ῥαμνούσιον εἰδὼς ἐκεῖνον, οὗπέρ εἰσιν οἱ φονικοί, τὸν θουκυδίδην δὲ πολλῷ κεχωρισμένον καὶ κεκοινωνηκότα τῷ εἴδει τῶν τῆς ἀληθείας λόγων, πάλιν οὐ

πείθο

πείθομαι. ὧν μὲν ἀλλ', εἴ τε εἷς ὁ ἀντιφῶν ἐγένετο, δύο λόγων εἴδεσι, τοσοῦτον ἀλλήλων διεστηκότων χρησάμενος· εἴ τε καὶ δύο, χωρὶς ἑκάτερος, ὁ μὲν τοῦτο, ὁ δὲ ἐκεῖνο μετελθών, ἀνάγκη χωρὶς περὶ ἑκατέρου διεξελθεῖν· πλεῖστον γάρ, ὡς ἔφαμεν, τὸ μεταξύ. ὁ τοίνυν ῥαμνούσιος ἀντιφῶν, οὗ περ οἱ φονικοὶ φέρονται, πολιτικὸς μέν, καὶ μετὰ τὸ σαφές, καὶ μετὰ τὸ ἀληθινόν, καὶ ἄλλως ἠθικός, ὥστε καὶ πιθανός· ἧττον δὲ ἅπαντα ταῦτα ἢ μετὰ τῶν ἄλλων. ἐπεὶ καὶ πρῶτος λέγεται τοῦτο μετελθεῖν τὸ εἶδος καὶ ὅλως εὑρετὴς καὶ ἀρχηγὸς γενέσθαι τοῦ τύπου τοῦ πολιτικοῦ. καὶ γάρ ἐστι τοῖς χρόνοις τῶν δέκα ῥητόρων τούτων πρεσβύτατος ἁπάντων· μεγέθει δὲ χρῆται μετ' οὐκ ὀλίγῳ, καλλωπισμῷ δέ πως, καὶ οὐ μετὰ τῆς ὑπερβολῆς διεστηκότι τῶν ἄλλων, οὐδὲ ἂν κατὰ τὴν ἀρχὴν σοφιστικῶς, καί τοι τῆς λέξεως αὐτῷ πολλαχοῦ διῃρημένης, ἐπιμελής γε μὴν οὕτως, ὡς μὴ εἶναι προσκορής· γοργὸς δὲ μετρίως ἐστὶ καὶ δεινὸς ὡσαύτως. ὁ δὲ ἕτερος ἀντιφῶν, οὗ περ οἱ τῆς ἀληθείας εἰσὶ λεγόμενοι λόγοι, πολιτικὸς μὲν ἥκιστά ἐστι, σεμνὸς δὲ καὶ ὑπέρογκος τοῖς τε ἄλλοις, καὶ τῷ διὰ ἀποφάνσεων περαίνειν τὸ πᾶν, ὃ δὴ τοῦ ἀξιωματικοῦ λόγου ἐστί, καὶ πρὸς μέγεθος ὁρῶντος· ὑψηλὸς δὲ τῇ λέξει καὶ τραχύς, ὥστε καὶ μὴ πόρρω σκληρότητος εἶναι· καὶ περιβάλλει δὲ χωρὶς εὐκρινείας· διὸ καὶ συγχεῖ τὸν λόγον, καὶ ἔστιν ἀσαφὴς τὰ πολλά, καὶ ἐπιμελὴς δὲ κατὰ τὴν συνθήκην, καὶ ταῖς παρισώσεσι χαίρων, οὗ μὴν ἤθους γέ τι οὐδὲ ἀληθινοῦ τύπου μέτεστι τῷ ἀνδρί. φαίην δ' ἂν ὡς οὐδὲ δεινότητος πλὴν τῆς φαινομένης μέν, οὐ μὴν οὔσης γε ὡς ἀληθῶς. ἐγγὺς δὲ τῆς ἰδέας ἐστὶ ταύτης καὶ ὁ κριτίας· διὸ καὶ μετὰ τοῦτον εὐθὺς περὶ κριτίου λέξομεν. ἔστι γὰρ καὶ οὗτος σεμνὸς μετὰ παραπλησίως τῷ ἀντιφῶντι καὶ διῃρημένος πρὸς ὄγκον, καὶ τὰ πολλὰ

λέγων ἀποφαντικῶς, καθαρώτερος δὲ τὴν λέξιν, καὶ ὅτι περιβάλλει, διευκρινῶν, ὥστε εἶναι καὶ σαφὴς ἅμα τῷ μεγέθει, καὶ εὐκρινής. ἔχει δὲ πολλαχοῦ, καὶ μάλιστα ἐν τοῖς δημηγορικοῖς προοιμίοις καὶ τὸ ἀληθινόν τε καὶ πιθανόν. ἐπιμελὴς δὲ ὢν οὐ μετρίως, ὅμως οὐχ ἁπλῶς χρῆται τῷ τοιούτῳ κόσμῳ, οὐδὲ κατὰ τὴν ἀντιφῶντα ἀπροσκόρως, καὶ σαφῆ τὴν ἐπιτήδευσιν ἔχοντι, ἀλλ' ὥστε μετέχειν καὶ κατὰ τοῦτο τοῦ ἀληθοῦς· τοῖς δὲ ἄλλοις τοῦ ἤθους εἴδεσιν οὐ σφόδρα τι χρῆται, οἷον ἐπιεικείᾳ καὶ ἀφελείᾳ, ἢ ὅσα τοιαῦτα. ταῦτα καὶ περὶ κριτίου. ἕπεται δὲ τῷ περὶ ἀντιφῶντος τοῦ ῥαμνουσίου λόγῳ ὁ περὶ λυκούργου τοῦ καὶ ὀνομασθέντος οὕτω ῥήτορος.

*Lycurgus*

ὁ τοίνυν λυκοῦργος, πολιτικὸς μέν ἐστιν, εἴπερ τις ἕτερος, πλὴν ἴσως τοῦ κατὰ τὴν ἀφέλειαν ἤθους ἕνεκα· πολὺ δὲ τὸ τραχὺ καὶ σκληρὸν ἔχει χωρὶς ἐπιμελείας· ἦν γὰρ ἂν ὁ αὐτός πως τῷ δεινάρχῳ, τῇ δὲ λέξει καὶ πολὺ τραχύτερός ἐστιν· ὅθεν φημὶ καὶ τοῦτον τὴν φαινομένην, οὐ μὴν οὖσαν ὡς ὄντως δεινότητα ἔχειν. τροπικώτεροι γάρ εἰσιν οἱ λόγοι μᾶλλον αὐτοῦ, καὶ κατασκευὴν ἔχοντες ἔστιν οὗ, κατὰ τῶν ἀποδεδειγμένων πραγμάτων. χρῆται δὲ πολλαῖς πολλάκις καὶ ταῖς παρεκβάσεσιν, ἐπὶ μύθους καὶ ἱστορίας καὶ ποιήματα φερόμενος, ἃ δὴ καὶ φαινομένης ἐστὶ καὶ αὐτὰ δεινότητος.

*Andocides*

ὁ δὲ ἀνδοκίδης, πολιτικὸς μὲν εἶναι προαιρεῖται, οὐ μὴν πάνυ γε ἐπιτυγχάνει τούτου· ἀδιάρθρωτος γάρ ἐστιν ἐν τοῖς σχήμασι καὶ ἀδιευκρίνητος, καὶ τὰ πολλὰ, ἐπισυνάπτει τε καὶ περιβάλλει ἀτάκτως, διὰ τὸ ταῖς ἐπιβολαῖς χωρὶς εὐκρινείας χρῆσθαι· ὅθεν ἔδοξε τις φλύαρος, καὶ ἄλλως ἀσαφὴς εἶναι· ἐπιμελείας δὲ αὐτῷ καὶ κόσμου πάνυ βραχὺ μέτεστι, γοργότητός τε ὡσαύτως· καὶ μέντοι καὶ τῆς κατὰ μέθοδον δεινότητος ὀλίγον, ἀλλὰ καὶ σφόδρα ὀλίγον ἔχει, καὶ τῆς

ἄλλης

ἄλλης, σχεδὸν οὐδ᾽ ὅλως. τῷ μὲν οὖν δημοσθένει οἱ λοιποὶ τῶν δέκα, μεθ᾽ ὧν καὶ ὁ κριτίας, ὑποτεταγμένοι οὑτωσί πως, τὰ δεύτερα καὶ τὰ τρίτα τοῦ δικανικοῦ τε καὶ συμβουλευτικοῦ τῶν λόγων εἴδους ἀποφέρονται· τούτῳ δὲ ἕπεται μὲν περὶ τοῦ ἁπλῶς πανηγυρικοῦ λόγου εἰπόντας, περὶ τῶν κατὰ τοῦτο μετὰ πλάτωνα εὐδοκιμούντων λέγειν, ὥσπερ ἐκεῖ περὶ τῶν μετὰ τὸν δημοσθένην εἰρήκαμεν. ἔστι δὲ σχεδὸν οὐ ῥᾴδιον περὶ τοῦ ἁπλῶς πανηγυρικοῦ ἀποφήνασθαί τι, πλὴν τοσοῦτον, ὅτι πάντ᾽ ἔοικε τὰ εἴδη, ἐξ ὧν ἔφαμεν τὸν κάλλιστον πανηγυρικὸν καὶ πλατωνικὸν γίνεσθαι λόγον, δύναται καὶ καθ᾽ ἑαυτὰ ἕκαστα πλεονάζοντα ποιῆσαί τινα τύπον πανηγυρικόν· οἷον σεμνότης μόνη, ἀφέλεια πάλιν, γλυκύτης, καθαρότης, ἐπιμέλεια, ἅπαντα ἁπλῶς τὰ προειρημένα. καὶ φαίνονταί γε οὕτω καὶ οἱ εὐδοκιμοῦντες τῶν ἀρχαίων κατὰ τὸ πανηγυρικὸν, χρησάμενοι τῷ λόγῳ, περὶ ὧν ῥητέον. ἀνάγκη δὲ πρῶτον, τοσοῦτον προειπεῖν, ὅτι (τοῦ καλλίστου τῶν πανηγυρικῶν ὀφείλοντος ἔχειν μέγεθος μεθ᾽ ἡδονῆς, ἔτι κόσμον καὶ σαφήνειαν, ἤδη δὲ καὶ προσώπων μιμήσεις καὶ ὅσα ἄλλα τοιαῦτα ἐν τῷ περὶ πανηγυρικοῦ εἴδους ἡμῖν λέλεκται, ἃ δὴ καὶ οὐχ ἡ ποίησις μόνη, οὐδὲ μὴν ἡ λογογραφία, ἀλλὰ καὶ ἡ ἱστορία ἔχει πλεονάζοντα πάντα) πάντως δεῖ τὸ τῆς ἱστοριογραφῆς ἐν τοῖς πανηγυρικοῖς τετάχθαι, ὥσπερ (οἶμαι) καὶ εἰσίν. ἐπεὶ καὶ μεγέθους καὶ ἡδονῶν στοχάζονται, καὶ τῶν ἄλλων οἶμαι σχεδὸν ἁπάντων, εἰ καὶ μὴ παραπλησίως ἐκείνῳ τυγχάνουσι, λέγω τῷ πλάτωνι· ὥστε ἀνάγκη καὶ περὶ τούτων ἐνταῦθα εἰπεῖν. ἀλλ᾽ ἐπ᾽ ἐκείνους ἰτέον πρῶτον, τοὺς μετὰ τὸν πλάτωνα κατὰ τὸ πανηγυρικὸν εὐδοκιμοῦντας· ἄλλως τε ἐπειδή τινες αὐτῶν καὶ ἀμφοῖν μετέχουσιν, ἱστορίας τε καὶ τῆς ἄλλης λογογραφίας,

ὥσπερ ὁ Ξενοφῶν, περὶ οὗ δὴ καὶ πρῶτον λεκτέον. ἔστι τοίνυν οὗτος ἀφελὴς μὲν ὡς ὅτι μάλιστα, καὶ τούτῳ πλεονάζων τοῦ εἴδει παρὰ τὰ ἄλλα εἴδη πάντα τοῦ πανηγυρικοῦ· ταῖς μὲν ἀπὸ τῆς ἀφελείας αὐτῆς ἡδοναῖς πολλαῖς χρώμενος, γλυκύτησι δὲ ταῖς ἀπὸ τούτων, οἷον ταῖς ἀπὸ τῶν μύθων καὶ τῶν τοιούτων, μανώτερον. ἐπεὶ καὶ ὅτε περὶ τῶν καινῶν διέξεισιν, ἡδονὰς ποιῶν, κατὰ τὴν τῆς ἀφελείας αὐτῆς ἐπίτασιν τοῦτο ποιεῖ, καὶ οὐ κατ' ἄλλο τι τῆς φύσει γλυκύτητος ἰδίων. τὸ μέν τοι περὶ τὸν Ἀβραδάτην καὶ τὴν Πανθίαν, πᾶν ἦθός τε καὶ πάθος πολλὰς ἔχει τὰς ἡδονὰς μυθικῶς πλασθέν, καὶ τὰ περὶ τὸν Τιγράνην δὲ ὡσαύτως, καὶ τὴν γυναῖκα αὐτοῦ τὴν Ἀρμενίαν. ἔφαμεν δὲ ὅτι μανῶς καὶ χρῆται ταῖς τοιαύταις γλυκύτησι, χρῆται μέν τοι καὶ ταύταις. μεγέθους δὲ κατὰ μὲν ἔννοιαν ἅπτεται πολλαχοῦ· καθαιρεῖ δὲ καὶ τοῦτο, καὶ βιάζεται πρὸς τὸ ἀφελὲς, ταῖς μεθόδοις καὶ τῇ λέξει, καὶ τοῖς περὶ τὴν λέξιν ἅπασι. καθαρὸς δὲ καὶ εὐκρινὴς, εἴπερ τις ἕτερος, ὁ Ξενοφῶν· δριμύτησι δὲ καὶ ὀξύτησι χαίρων, ὧν τὴν φύσιν ἐν τοῖς περὶ γλυκύτητός τε καὶ ἀφελείας εἰρήκαμεν. ἐπιμελείᾳ δὲ ὡς ἐν ἀφελείᾳ τε καὶ ἀπλέστῳ λόγῳ χρῆται πολλῇ· τῆς δὲ παρὰ τῷ Πλάτωνι ἀφελείας πολλῷ ἡ παρὰ τούτῳ ἀφελεστέρα ἐστὶ, κατ' αὐτὰς τὰς ὑποθέσεις τῶν πραγμάτων τοιαύτη γινομένη, οὐ μόνον κατὰ τὴν λέξιν καὶ τὰ ἑπόμενα τῇ λέξει. συμπόσια γοῦν ἀμφοτέροις ἐστὶ γεγραμμένα· ἀλλ' ὁ μὲν καὶ ὀρχηστρίδων εἰσόδους καὶ ὀρχημάτων εἴδη τινὰ καὶ φιλήματα καὶ πολλὰ τοιαῦτα λέγειν μεθ' ἡδονῆς οὐ παραιτεῖται· ὁ δὲ ταῦτα (ὡς αὐτός φησιν) ἀφεὶς ταῖς γυναιξὶν, ἐπὶ τὸ σεμνότερον ἄγει τὴν ἀφέλειαν τῶν πραγμάτων. τοιοῦτος δὲ ὁ Ξενοφῶν κἀν τοῖς ἱστορικοῖς, οἷος κἀν τοῖς ἄλλοις· οἷον ὅτι χιλὸν ἐσέφαντο ὅταν

λέγῃ

λέγει, καὶ ὅτι τοῖς παισὶν ὡς συνετοῖς διαλέγονται, καὶ ὅτι πίνειν ἀπὸ τοῦ κρατῆρος ἐπικύψαντας ἔδει καθάπερ βοῦς. ταῦτα γὰρ καὶ τὰ τοιαῦτα, καθ' ὑπερβάλλουσαν ἀφέλειαν ἔχει τὴν ἡδονήν, ᾗ περ οὐχ ὁμοίως ὁ πλάτων χρῆται. κἂν ταῖς μιμήσεσι δὲ τῶν προσώπων μᾶλλον εὐδοκιμεῖ, ὅτε ἀφελῆ καὶ ὡς ὄντως ἄπλαστα καὶ ἁπαλὰ καὶ ἡδέα ἤδη ψυχῶν μιμοῖτο· ὥσπερ καὶ τὸ τοῦ κύρου, παιδὸς ἔτι ὄντος· καὶ ὅσα τοιαῦτα. παρὰ δὲ τῷ πλάτωνι τοιοῦτον οὐδέν ἐστιν, πλὴν ὅσον ἐν ταῖς κατὰ μειρακίων ἡλικίαν· οἷον ὅτε τὸν θεαίτητον, ἤτοι τοιοῦτον πρόσωπον εἰσάγει, πάντως οὖν κατὰ τὸ τοῦ κύρου δήπουθεν, ὃν λέγω, παιδὸς ἔτι ὄντος, ἢ κατὰ τὸ τῆς ἀρμενίας γυναικός, ἢ ὅσα τοιαῦτα· ἴδιον δὲ ξενοφῶντος καὶ τὸ κατὰ πόσα διαστήματα χρῆσθαι ποιητικαῖς πως λέξεσι, πολὺ τῶν ἄλλων τῇ φύσει διεστηκυίας λέξεων, ὥσπερ ὅταν λέγῃ πορσύνειν καὶ ὅσα τοιαῦτα. μετὰ δὲ ξενοφῶντα τάττοιτ' ἂν ὁ αἰσχίνης ἡμῖν· λέγω δὲ τὸν σωκρατικόν. οὗτος τοίνυν, ἔστι μὲν ἀφελὴς καὶ αὐτός, εἴπερ τις ἕτερος· πλείονι δὲ τῷ καθαρῷ καὶ εὐκρινεῖ ἢ τῷ ἀφελεῖ χρῆται. ταῦτά τοι καὶ λεπτότερός ἐστι κατὰ τὴν λέξιν τοῦ ξενοφῶντος. ἐννοίαις τε οὐκ ὀλίγαις καὶ αὐτὸς σεμνοτέραις χρῆται, ἡδοναῖς δὲ ταῖς ἀπὸ τῶν μύθων τε καὶ μυθικῶν, μετριώτερον. ὅσον δὲ ὁ ξενοφῶν ἀφελείᾳ τῇ κατ' αὐτὴν ὑπερβέβληκε τὴν πλάτωνος ἀφέλειαν, φαίης ἂν ὅτι τοσοῦτον πάλιν αὖ τὸν ξενοφῶντα ὑπερβέβληκεν ὁ αἰσχίνης τῇ λεπτότητι. διὸ καὶ πολλῷ καθαρώτερός ἐστιν· ἐπιμελής τε ὡς ἐν ἀφελείᾳ σφόδρα, καὶ μᾶλλόν γε ἢ ξενοφῶν.

Ὁ δὲ νικόστρατος (ἄξιον γὰρ οἶμαι, τάχα ἴσως δὲ καὶ ἀναγκαῖον, μετ' ἐκείνους καὶ τούτου ποιήσασθαι μνήμην) ἀφελὴς μὲν οὐδενὸς ἧττόν ἐστι τῶν προειρημένων· λεπτότερος δὲ καὶ πολλῷ κα

θαρώ

καθαρώτερος σχεδὸν ἁπάντων. ὑπέρισχνον γὰρ αὐτῷ τὸ εἶδος, καὶ οὐδαμοῦ μέγεθος ἔχον, πλὴν εἴ που κατ᾽ ἔννοιαν μόνην· μύθοις μέν τοι χαίρων καὶ ταῖς ἀπὸ τούτων ἡδοναῖς· ὅς γε καὶ μύθους αὐτὸς πολλοὺς ἔπλασεν· οὐκ αἰσωπείους μόνον, ἀλλ᾽ οἵους εἶναί πως καὶ δραματικούς. ἐπιμελὴς δὲ κατὰ τὴν σύνταξιν, ἀλλ᾽ ὅτι μάλιστα· μετὰ μέν τοι τοῦ μὴ λυμαίνεσθαι τῇ ἀφελείᾳ. ἀλλὰ περὶ μὲν τῶν κατὰ τὸ τοιοῦτο τῶν πανηγυρικῶν εἶδος λόγων εὐδοκιμησάντων ἀνδρῶν, μεθ᾽ ὧν καὶ τὸν Νικόστρατον ἐτάξαμεν, τοσαῦτα εἰρήσθω· ἑξῆς δ᾽ ἂν λέγοιμεν περὶ τῶν κατὰ τὸ ἱστορικὸν εἶδος ἐλλογίμων. οἱ γὰρ Ἰσοκράτους τε καὶ Λυσίου ὀλυμπικοί τε καὶ παναθηναϊκοί, καὶ αὐτὸ τοῦτο πανηγυρικοί, κἂν ἐπιγράφωνται οὕτω πανηγυρικοί, δῆλόν ἐστιν ὡς ἄλλο τι βούλονται. μετρίως γάρ πως ἔχουσι τὸ πανηγυρικὸν καὶ ὅσον τάχα ἂν καὶ συμβουλευτικὸς ἢ δικανικὸς λόγος δέξαιτο. εἰ δὲ ἄρα καὶ ταύτης εἶεν τῆς ἰδέας, τά τε ἄλλα, καὶ διὰ τὸν κόσμον τὸν περὶ τὴν συνθήκην τὴν Ἰσοκράτους, ἀρκεῖ τὰ λεχθέντα περὶ αὐτῶν ἐν τοῖς περὶ τῶν δικανικῶν τε καὶ συμβουλευτικῶν ἀνδρῶν εἰρημένοις. ἀλλὰ λεκτέον γε ἤδη καὶ περὶ τῶν ἱστορικῶν, πλὴν Ξενοφῶντος. ὁποῖος γὰρ εἰς τοὺς λόγους ὁ ἀνήρ, ὀλίγῳ πρότερον εἰρήκαμεν.

Ἐν τοίνυν τοῖς καθ᾽ ἱστορίαν πανηγυρικοῖς, πανηγυρικώτατός ἐστιν ὁ Ἡρόδοτος. τὸ δὲ αἴτιον, ὅτι μετὰ τοῦ καθαροῦ καὶ εὐκρινοῦς, πολύς ἐστι ταῖς ἡδοναῖς. καὶ γὰρ ταῖς ἐννοίαις μυθικαῖς, σχεδὸν ἁπάσαις, καὶ τῇ λέξει ποιητικῇ κέχρηται διόλου· μέγεθος δὲ πολλαχοῦ καὶ ἔχει καὶ τὸ κατ᾽ ἔννοιαν· κατὰ μέν τοι τὴν ἐπιμέλειαν καὶ τὸ περὶ τὸν κόσμον τοῦ συναμφότερον, καὶ τὴν ἡδονὴν ἔχει καὶ τὸ μέγεθος. οἵ τε πλεῖστοι τῶν ῥυθμῶν, αὐτῷ κατά τε τὰς συνθήκας καὶ τὰς βάσεις, δακτυλικοί τε εἰσὶ καὶ ἀναπαιστικοί, σπονδειακοί τε καὶ ὅλως σεμνοί.

ἤθη δὲ καὶ πάθη προσώπων, εἴπερ τις ἄλλος, κάλλιστα καὶ πιθανώτατα μεμίμηται. διὰ δὲ τούτων καὶ πλείονι τῷ μεγέθει πολλαχοῦ κέχρηται, ὡς ἔν τε ἄλλοις, καὶ ἐν τῇ ἑβδόμῃ τῶν ἱστοριῶν ἐπὶ τῶν Ξέρξου πρὸς Ἀρτάβαζον, κἀκείνου πρὸς Ξέρξην περὶ τῶν ἀνθρωπίνων πραγμάτων λόγων. τοσαῦτα καὶ περὶ Ἡροδότου. περὶ δὲ Θουκυδίδου μέλλων λέγειν, προσδιορίσομαι τοσοῦτον, ὡς οὐκ, ἐπειδὴ μεθ' Ἡρόδοτον ἐμνήσθημεν αὐτοῦ καὶ μετ' ἄλλων, διὰ τοῦτο χρὴ νομίζειν, ὡς καὶ τῇ κατὰ λόγων ἕξει τε καὶ δυνάμει μετ' ἐκείνων ἡμῖν τέτακται. ἐπεὶ οὐδὲ Ἡρόδοτον μετὰ Νικόστρατον διηγεύθῃ ἢ μετ' Αἰσχίνην, ἀλλ' οὐδὲ μετὰ Ξενοφῶντα ἡμεῖς τάξαιμεν ἄν, λόγων τε δυνάμεως ἕνεκα καὶ τῆς κατ' αὐτῶν ἕξεως, ἄλλως τε καὶ ἐν εἴδει πανηγυρικῷ· τῇ δὲ ἀκολουθίᾳ τῆς περὶ τῆς ἰδέας ἐκείνης λόγου ἑπόμενοι, ταύτῃ τῇ τάξει κεχρήμεθα· ἰδίᾳ μὲν τοὺς ἄλλους πανηγυρικούς, ἰδίᾳ δὲ καὶ τοὺς ἱστορικοὺς τιθέντες· καὶ τῶν ἱστορικῶν ἐν πρώτοις Ἡροδότου διὰ τοῦτο ἐμνήσθημεν, ὅτι πανηγυρικώτερος, καὶ ἡδίων οὐ μόνον Θουκυδίδου, ἀλλ' ἴσως ἁπάντων ἐστὶ τῶν οὕτω γράφειν λόγους προελομένων. ἐπεὶ Θουκυδίδης γε καὶ ἀμφισβητήσειν τῷ πράγχοι μεθ' ὧν ἐξετάζοιτ' ἂν δικαίως. οὐχ ἧττον γὰρ δικανικός ἐστι καὶ συμβουλευτικός, ἢ πανηγυρικός· λέγω καὶ κατὰ τὰς ἐννοίας, καὶ τὸ μηδὲν ἀκατασκεύως εἰσάγειν· ἀλλὰ τετάχθω μοι, ἔνθα αὐτῷ καὶ προσήκει τετάχθαι καθ' ἑκάτερον· κατά τε τὸ τῶν λόγων εἶδος, καὶ κατὰ τὸ προκεκρίσθαι τινῶν. ἑτέρων δέ, εἰ καὶ τοῦτο συμβαίνει, τὰ δεύτερα φέρεσθαι, περὶ τῆς λόγου ἕξεως ἕνεκα, ἡμεῖς δὲ ὁποῖός τίς ἐστι, χαρακτηρίσωμεν. ὁ τοίνυν Θουκυδίδης, μάλιστα μεγέθους ἐφιέμενος, τυγχάνει μὲν τοῦ μεγέθους· οὐ μὴν οὖν πρὸ ἐφίεσθαί μοι δοκεῖ μεγέθους τυγχάνει. βούλεται μὲν γάρ, ὡς ἔγω γε οἶμαι, σεμνὸν

εἶναι τὸν λόγον αὐτῷ, ὅπερ ἴδιον μεγέθους πανηγυρικοῦ, φαίνεται δὲ ὑπερβαίνων τοῦτο καὶ μάλιστα κατὰ τὴν λέξιν· ὅθεν τὸ τραχύτερον μᾶλλον καὶ τὸ σκληρότερον, καὶ διὰ τοῦτο ὅθεν τὸ ἀσαφέστερον, καὶ ἔτι κατὰ συνθήκην τῆς λέξεως. ὅθεν μελέτη μὲν γὰρ κόσμου, ἀλλ' ὅτι μάλιστα· βουλόμενος δὲ εἶναι καὶ τοῦτο ὑψηλὸν αὐτῷ καὶ ὑπέρογκον, πάλιν ὑπερεκπίπτει· κατά τε τὰς ὑπερβολὰς καὶ τὰς καινότητας τῆς συνθήκης, ὥστε ὅθεν τὸ σκληρότερον, καὶ δι' αὐτὸ ὅθεν τὸ ἀσαφέστερον φέρεσθαι. ἀξιωματικὸς δὲ ὁ ἀνήρ, ἀλλ' ὅτι μάλιστα· ταῖς δὲ ἐννοίαις, εἴπερ τις ἄλλος, περιττικὸς ὁμοῦ καὶ σεμνός. οὐδὲν γὰρ ἀκατάσκευον, οὐδὲ ἐν ταῖς ἱστορίαις ἀπολείπει· ταῖς μέντοι μεθόδοις οὐ τοιοῦτος. μετὰ γοῦν μεγέθους τινὸς γνωρίμου, ἤ τινος ἑτέρου τοιούτου καὶ τὰς κατασκευὰς εἰσάγει, διὸ καὶ ἀγλευκὴς ἐστὶ σχεδὸν δι' ὅλου· εἰ δέ που καὶ γλυκύτητα ἔχει, μάλιστα μὲν, ὥσπερ ἀλλότριόν τι τῆς ἰδέας αὐτοῦ, ἐκφαίνεται τὸ μέρος ἐκεῖνο· οἷον ἐστὶ καὶ τό, τηρεῖ δὲ τὴν πρόκνην τὴν πανδίονος ἀπ' Ἀθηνῶν σχόντι γυναῖκα, καὶ τὰ ἑξῆς, καὶ ὅσα τοιαῦτα. θαυμάζειν δέ, εἰ καὶ μὴ τοιοῦτον ἦν, τοῦτο οὐκ ἐχρῆν, ὅτι καὶ ἡδονήν που ἔχειν ὁ λόγος αὐτῷ· σχεδὸν γὰρ οὐδεὶς ἄλλος τις τῶν κατ' ἄνδρα λόγων ὅλου τοῦ προελόμενός τε καὶ ἐργασάμενος δύναιτ' ἂν καθαρὸς ὀφθῆναι, καὶ μὴ οὐχὶ καὶ τῶν ἄλλων ἁπάντων, ἀμηγέπη προσαψάμενος εἰδῶν τοῦ λόγου. ἔτι ὡς ἱστορικὸς ὁ Θουκυδίδης κέχρηται μὲν καὶ μιμήσει κατά τε τὰς δημηγορίας, καὶ ἐν τισι διαλόγοις, ὁ αὐτὸς δέ ἐστι κἂν τούτοις· μᾶλλον δὲ μειζόνως ἐστὶ τοιοῦτος, οἷον αὐτὸν ἐχαρακτηρίζομεν. ἐπεὶ ἔν γε τῇ ἱστορίᾳ ἧττόν ἐστι σκληρὸς καὶ τραχύς· ἔχει δὲ πολλὰ ἐνταῦθα καθαρά τε καὶ εὐκρινῆ· καὶ τόν γε διδάσκαλον αὐτοῦ τὸν Ἀντιφῶντα, πολλοῖς μὲν καὶ ἄλλοις, τούτοις δὲ (οἶμαι) καὶ μᾶλλον παρελήλυθε. το-

σαῦτα

σαῦτα καὶ περὶ τῆς Θουκυδίδου. Ἑκαταῖος δὲ ὁ Μιλήσιος, παρ' οὗ δὴ μάλιστα ὠφέληται ὁ Ἡρόδοτος, καθαρὸς μὲν ἐστὶ καὶ σαφής, ἐν δέ τισι καὶ ἡδὺς οὐ μετρίως· τῇ διαλέκτῳ δὲ, ἀκράτῳ Ἰάδι, καὶ οὐ μεμιγμένῃ χρησάμενος, οὐδὲ κατὰ τὴν Ἡρόδοτον ποικίλῃ, ἧττόν ἐστιν ἕνεκά γε τῆς λέξεως ποιητικός· καὶ ἡ ἐπιμέλεια δὲ αὐτῷ οὐ τοιαύτη, οὐδὲ ὅμοιος ὁ κόσμος ὁ περὶ αὐτήν. διὸ καὶ ταῖς ἡδοναῖς ἐλαττοῦται πολλῷ τῆς Ἡροδότου· ἀλλὰ πάνυ πολλῷ· καίτοι γε μύθοις γε τὰ πάντα σχεδόν, καὶ τοιαύτην τινὰ ἱστορίαν συγγραψάμενος. ἀλλ' οὐ μόνον ἡ ἔννοια ἱκανὴ, λόγων εἶδος τοιοῦτο διαγράψασθαι, πολὺ δὲ ἔχει καὶ ἡ λέξις καὶ τὰ περὶ τὴν λέξιν· οἷον, σχήματα, κῶλα συνθῆκαι, ῥυθμοί, ἀναπαύσεις, πρὸς τὸ ἡδονὰς ποιῆσαι καὶ γλυκύτητας, οἷαί εἰσιν αἱ παρὰ Ἡροδότῳ· καὶ νὴ Δία γε ἄλλο τι λόγου εἶδος, ὡς ἕκασται πεφύκασιν ἐργάζεσθαι λόγων ἰδέαι. εἰκότως οὖν τοῦτο ὁ Ἑκαταῖος πέπονθε, τῆς ἐπιμελείας καὶ τοῦ περὶ τὴν λέξιν κόσμου μὴ ὁμοίως φροντίσας. τοσαῦτα καὶ περὶ Ἑκαταίου. περὶ δὲ Θεοπόμπου καὶ Ἐφόρου καὶ Ἑλλανίκου καὶ Φιλίσου καὶ τῶν ὁμοίων τούτοις, περιττὸν ἔδοξεν εἶναί μοι γράφειν· μάλιστα μὲν καὶ διὰ τὸ περὶ ἀπό τε τῶν περὶ τῶν ἰδεῶν λόγου, καὶ τῶν κατ' ἄνδρα εἰρημένων μὴ χαλεπῶς ἡγεῖσθαι δύνασθαί τινας καὶ περὶ ἐκείνων χαρακτηρίσαι· πρὸς δὲ τούτῳ καὶ ὅτι ζήλου καὶ μιμήσεως τὰ εἴδη τῶν λόγων αὐτῶν οὐ πάνυ τοι, μᾶλλον δὲ οὐδ' ὅλως (ὅσα γε ἐμὲ γινώσκειν) ἠξίωται παρὰ τοῖς ἄλλοις, καθάπερ τὰ τῶν ἄλλων· οἷον Θουκυδίδου, Ἡροδότου, Ἑκαταίου, Ξενοφῶντος, τῶν λοιπῶν. τούτοις ἑπόμενόν ἐστι, τοὺς μεθ' Ὅμηρον ποιητὰς χαρακτηρίσαι, ὥσπερ τοὺς μετὰ Δημοσθένην ῥήτορας ἐχαρακτηρίζομεν, καὶ τοὺς μετὰ Πλάτωνα λογογράφους, πρῶτον περὶ αὐτῶν εἰπόντες, Πλάτωνος καὶ Δημοσθένους, ὥσπερ καὶ περὶ Ὁμήρου. ἴσως δὲ καὶ περὶ τούτων οὐκ ἀναγ-



Universitäts- und Landesbibliothek Düsseldorf

καίως εἰρήκαμεν, δυναμένων ῥᾳδίως χαρακτηρίζειν, καὶ πάνθ' ὄντιναοῦν, καὶ νέον καὶ παλαιόν, καὶ ποιητὴν καὶ λογογράφον, καὶ ῥήτορα, τῶν τὰ γενικὰ δὴ ταῦτα εἴδη τοῦ λόγου καὶ οἷον στοιχεῖα πάσης ἰδέας ἐπεσκεμμένων, περὶ ὧν τὴν πᾶσαν πραγματείαν ταύτην συνεστησάμεθα· ὥστε περιττῶς ἂν πλεονάζοιμεν, καὶ περὶ τῶν ποιητῶν καθέκαστον διεξιόντες· ἄλλως τε καὶ πάνυ πολλοῦ γενησομένου τοῦ λόγου, μὴ μόνον περιττοῦ. δεῖ γὰρ δήπου πρότερον, εἰ μέλλει τις ταῦτα ὀρθῶς διευκρινήσειν, ἰδίᾳ μὲν περὶ ἐποποιΐας εἰπεῖν τι, καὶ τῶν κατ' αὐτὴν δευτέρων τε καὶ τρίτων μετὰ ὅμηρον· ἰδίᾳ δὲ αὖ περὶ τραγῳδίας, καὶ κωμῳδίας ὡσαύτως· τῶν τε λυρικῶν ποιημάτων καὶ τῶν ἄλλων εἰδῶν τῆς ποιήσεως ἁπάντων, καθ' ἕκαστόν γε αὐτῶν εἰπεῖν, τίς ὁ πρῶτος καὶ διατί· καὶ τίς ὁ δεύτερος, καὶ διατί· ὥστε σχεδὸν εἰς ἀπέραντόν ἐστι τὸν λόγον προελθεῖν. ἀπόχρη οὖν τὰ προειρημένα, καὶ τέλος ἡμῖν ὁ περὶ τῶν ἰδεῶν λόγος τοῦτο ἐχέτω· μεθ' ὃν ὁ περὶ τῆς κατὰ μέθοδον δεινότητος γεγράψεται, ὅς ἐστιν ἔλλειμμά ἐστι τῆς πραγματείας ταύτης, καίτοι πολλῷ καὶ ταύτην προσεληλυθώς· ὡς καὶ μικρῷ πρότερον διωρισάμην, καὶ αὐτὸ δηλώσειν τὸ πρᾶγμα φημί.

ΤΕΛΟΣ.

Universitäts- und
Landesbibliothek Düsseldorf


VNICV
SA
TVMNON
ALIT DVOS ERYTHS
CO